Greek New Testament

Stephanus 1550
Textus Receptus

(With Morphological Data)

Bibles.org.uk, London.

Tables of Morphological Symbols

Noun/Article	Case	Gender	Number
n/d	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singular **p** plural

Pronoun	Type	Case	Gender	Numbe
r	**r** relative **e** reciprocal **d** demonstrative **c** correlative **q** interrogative **i** indefinite **o** correlative or interrogative **x** reflexive **s** possessive **p** personal	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singu **p** plura

Participle	Tense	Voice	Case	Gender	Numbe
vp	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect	**a** active **m** middle **p** passive **e** mid/passive **d** mid/deponent **o** passive deponent **n** mid. or pass. deponent **q** impersonal active **x** no voice stated	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singu **p** plura

Infinitive	Tense	Voice
vn	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect	**a** active **m** middle **p** passive **e** mid/passive **d** mid/deponent **o** passive deponent **n** mid. or pass. deponent **q** impersonal active **x** no voice stated

Verb	Mood	Tense	Voice	Person	Number
v	**i** indicative **d** imperative **s** subjunctive **o** optative	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect **v** adverbial imperative	**a** active **m** middle **p** passive **e** mid/passive **d** mid/deponent **o** passive deponent **n** mid. or pass. deponent **q** impersonal active **x** no voice stated	**1** 1st **2** 2nd **3** 3rd	**s** singular **p** plural

Adjective	Case	Gender	Number	Degree
a	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singular **p** plural	**c** comparative **s** superlative **n** none

Adverb	Type
b	**c** comparative **s** superlative **i** interrogative **n** normal

Conjunction **c**

Preposition **p**

Interjection **i**

Conjunction or Conjunctive Particle	Type
q	**c** contracted **o** not contracted

Particle or Disjunctive Particle	Type
x	**i** interrogative **n** negative **o** negative

Indeclinable	Type
t	**a** Aramaic word **h** Hebrew word **p** proper noun **n** numeral **l** letter **o** other noun

The Books of the New Testament

ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. **1**
Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ Ἰσαὰκ δὲ ἐγέννησεν τὸν Ἰακώβ 2
Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ. Ἰ- 3
ούδας δὲ ἐγέννησεν τὸν Φάρες καὶ τὸν Ζάρα ἐκ τῆς Θαμάρ Φά-
ρες δὲ ἐγέννησεν τὸν Ἐσρώμ Ἐσρὼμ δὲ ἐγέννησεν τὸν Ἀράμ.
Ἀρὰμ δὲ ἐγέννησεν τὸν Ἀμιναδάβ Ἀμιναδὰβ δὲ ἐγέννησεν τὸν 4
Ναασσών Ναασσὼν δὲ ἐγέννησεν τὸν Σαλμών. Σαλμὼν δὲ ἐ- 5
γέννησεν τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ Βοὸζ δὲ ἐγέννησεν τὸν Ὠβὴδ
ἐκ τῆς Ῥούθ Ὠβὴδ δὲ ἐγέννησεν τὸν Ἰεσσαί. Ἰεσσαὶ δὲ ἐγέν- 6
νησεν τὸν Δαβὶδ τὸν βασιλέα Δαβὶδ δὲ ὁ βασιλεὺς ἐγέννησεν
τὸν Σολομῶντα ἐκ τῆς τοῦ Οὐρίου. Σολομὼν δὲ ἐγέννησεν 7
τὸν Ῥοβοάμ Ῥοβοὰμ δὲ ἐγέννησεν τὸν Ἀβιά Ἀβιὰ δὲ ἐγέννησεν
τὸν Ἀσά, Ἀσὰ δὲ ἐγέννησεν τὸν Ἰωσαφάτ Ἰωσαφὰτ δὲ ἐγέν- 8
νησεν τὸν Ἰωράμ Ἰωρὰμ δὲ ἐγέννησεν τὸν Ὀζίαν. Ὀζίας δὲ 9
ἐγέννησεν τὸν Ἰωαθάμ Ἰωαθὰμ δὲ ἐγέννησεν τὸν Ἀχάζ Ἀχὰζ δὲ
ἐγέννησεν τὸν Ἑζεκίαν. Ἑζεκίας δὲ ἐγέννησεν τὸν Μανασσῆ 10
Μανασσῆς δὲ ἐγέννησεν τὸν Ἀμών, Ἀμὼν δὲ ἐγέννησεν τὸν Ἰ-
ωσίαν. Ἰωσίας δὲ ἐγέννησεν τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς 11
αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος. Μετὰ δὲ τὴν μετοικε- 12
σίαν Βαβυλῶνος Ἰεχονίας ἐγέννησεν τὸν Σαλαθιήλ Σαλαθιὴλ δὲ

---

1. v.1 βίβλος[nnfs] γένεσις[ngfs] Ἰησοῦς[ngms] Χριστός[ngms] υἱός[ngms] Δαυίδ[tp] υἱός[ngms] Ἀβραάμ[tp]. **v.2** Ἀβραάμ[tp] γεννάω[viaa3s] ὁ[dams] Ἰσαάκ[tp] Ἰσαάκ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰακώβ[tp] Ἰακώβ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰούδας[nams] καί[c] ὁ[damp] ἀδελφός[namp] αὐτός[rpgms]. **v.3** Ἰούδας[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Φάρες[tp] καί[c] ὁ[dams] Ζάρα[tp] ἐκ[p] ὁ[dgfs] Θαμάρ[tp] Φάρες[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἐσρώμ[tp] Ἐσρώμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀράμ[tp]. **v.4** Ἀράμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀμιναδάβ[tp] Ἀμιναδάβ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ναασσών[tp] Ναασσών[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Σαλμών[tp]. **v.5** Σαλμών[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Βόες[tp] ἐκ[p] ὁ[dgfs] Ῥαχάβ[tp] Βόες[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωβήδ[tp] ἐκ[p] ὁ[dgfs] Ῥούθ[tp] Ἰωβήδ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰεσσαί[tp]. **v.6** Ἰεσσαί[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Δαυίδ[tp] ὁ[dams] βασιλεύς[nams] Δαυίδ[tp] δέ[c] ὁ[dnms] βασιλεύς[nnms] γεννάω[viaa3s] ὁ[dams] Σολομών[nams] ἐκ[p] ὁ[dgfs] ὁ[dgms] Οὐρίας[ngms]. **v.7** Σολομών[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ῥοβοάμ[tp] Ῥοβοάμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀβιά[tp] Ἀβιά[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀσάφ[tp]. **v.8** Ἀσάφ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωσαφάτ[tp] Ἰωσαφάτ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωράμ[tp] Ἰωράμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ὀζίας[nams]. **v.9** Ὀζίας[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωαθάμ[tp] Ἰωαθάμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀχάζ[tp] Ἀχάζ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἑζεκίας[nams]. **v.10** Ἑζεκίας[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Μανασσῆ[nams] Μανασσῆ[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀμώς[tp] Ἀμώς[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωσίας[nams]. **v.11** Ἰωσίας[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰεχονίας[nams] καί[c] ὁ[damp] ἀδελφός[namp] αὐτός[rpgms] ἐπί[p] ὁ[dgfs] μετοικεσία[ngfs] Βαβυλών[ngfs].

13 ἐγέννησεν τὸν Ζοροβαβέλ. Ζοροβαβὲλ δὲ ἐγέννησεν τὸν Ἀβιούδ
Ἀβιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλιακείμ, Ἐλιακεὶμ δὲ ἐγέννησεν τὸν
14 Ἀζώρ. Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ Σαδὼκ δὲ ἐγέννησεν τὸν
15 Ἀχείμ, Ἀχεὶμ δὲ ἐγέννησεν τὸν Ἐλιούδ. Ἐλιοὺδ δὲ ἐγέννη-
σεν τὸν Ἐλεάζαρ Ἐλεάζαρ δὲ ἐγέννησεν τὸν Ματθάν Ματθὰν
16 δὲ ἐγέννησεν τὸν Ἰακώβ. Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ τὸν
ἄνδρα Μαρίας ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός.
17 Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαβὶδ γενεαὶ δεκατέσ-
σαρες καὶ ἀπὸ Δαβὶδ, ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ
δεκατέσσαρες καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χρι-
18 στοῦ γενεαὶ δεκατέσσαρες. Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις
οὕτως ἦν μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰ-
ωσήφ πρὶν ἤ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ
19 πνεύματος ἁγίου. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς δίκαιος ὢν καὶ
μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρᾳ ἀπολῦσαι
20 αὐτήν. ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος ἰδοὺ ἄγγελος κυρίου
κατ ὄναρ ἐφάνη αὐτῷ λέγων Ἰωσὴφ υἱὸς Δαβίδ, μὴ φοβηθῇς
παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου, τὸ γὰρ ἐν αὐτῇ γεννη-
21 θὲν ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱὸν καὶ καλέσεις
τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀ-
22 πὸ τῶν ἁμαρτιῶν αὐτῶν. Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ

---

v.12 μετά[p] δέ[c] ὁ[dafs] μετοικεσία[nafs] Βαβυλών[ngfs] Ἰεχονίας[nnms] γεννάω[viaa3s] ὁ[dams] Σαλαθιήλ[tp] Σαλαθιήλ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ζοροβαβέλ[tp]. **v.13** Ζοροβαβέλ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀβιούδ[tp] Ἀβιούδ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἐλιακίμ[tp] Ἐλιακίμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀζώρ[tp]. **v.14** Ἀζώρ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Σαδώκ[tp] Σαδώκ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀχίμ[tp] Ἀχίμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἐλιούδ[tp]. **v.15** Ἐλιούδ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἐλεάζαρ[tp] Ἐλεάζαρ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ματθάν[tp] Ματθάν[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰακώβ[tp]. **v.16** Ἰακώβ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωσήφ[tp] ὁ[dams] ἀνήρ[nams] Μαρία[ngfs] ἐκ[p] ὅς[rrgfs] γεννάω[viap3s] Ἰησοῦς[nnms] ὁ[dnms] λέγω[vpppnms] Χριστός[nnms]. **v.17** πᾶς[anfpn] οὖν[c] ὁ[dnfp] γενεά[nnfp] ἀπό[p] Ἀβραάμ[tp] ἕως[c] Δαυίδ[tp] γενεά[nnfp] δεκατέσσαρες[nnfp] καί[c] ἀπό[p] Δαυίδ[tp] ἕως[c] ὁ[dgfs] μετοικεσία[ngfs] Βαβυλών[ngfs] γενεά[nnfp] δεκατέσσαρες[nnfp] καί[c] ἀπό[p] ὁ[dgfs] μετοικεσία[ngfs] Βαβυλών[ngfs] ἕως[c] ὁ[dgms] Χριστός[ngms] γενεά[nnfp] δεκατέσσαρες[nnfp]. **v.18** ὁ[dgms] δέ[c] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dnfs] γέννησις[nnfs] οὕτω[bo] εἰμί[viix3s] μνηστεύω[vpapgfs] γάρ[c] ὁ[dgfs] μήτηρ[ngfs] αὐτός[rpgms] Μαρία[ngfs] ὁ[ddms] Ἰωσήφ[tp] πρίν[bo] ἤ[xo] συνέρχομαι[vnaa] αὐτός[rpamp] εὑρίσκω[viap3s] ἐν[p] γαστήρ[ndfs] ἔχω[vppanfs] ἐκ[p] πνεῦμα[ngns] ἅγιος[agnsn]. **v.19** Ἰωσήφ[tp] δέ[c] ὁ[dnms] ἀνήρ[nnms] αὐτός[rpgfs] δίκαιος[anmsn] εἰμί[vppxnms] καί[c] μή[xo] θέλω[vppanms] αὐτός[rpafs] παραδειγματίζω[vnaa] βούλομαι[viao3s] λάθρᾳ[bo] ἀπολύω[vnaa] αὐτός[rpafs]. **v.20** οὗτος[rdanp] δέ[c] αὐτός[rpgms] ἐνθυμέομαι[vpaogms] ἰδού[vdaa2s] ἄγγελος[nnms] κύριος[ngms] κατά[p] ὄναρ[to] φαίνω[viap3s] αὐτός[rpdms] λέγω[vppanms] Ἰωσήφ[tp] υἱός[nnms] Δαυίδ[tp] μή[xo] φοβέομαι[vsao2s] παραλαμβάνω[vnaa] Μαρία[tp] ὁ[dafs] γυνή[nafs] σύ[rpg-s] ὁ[dnns] γάρ[c] ἐν[p] αὐτός[rpdfs] γεννάω[vpapnns] ἐκ[p] πνεῦμα[ngns] εἰμί[vipx3s] ἅγιος[agnsn]. **v.21** τίκτω[vifd3s] δέ[c] υἱός[nams] καί[c] καλέω[vifa2s] ὁ[dans] ὄνομα[nans] αὐτός[rpgms] Ἰησοῦς[nams] αὐτός[rpnms] γάρ[c] σῴζω[vifa3s] ὁ[dams] λαός[nams] αὐτός[rpgms] ἀπό[p] ὁ[dgfp] ἁμαρτία[ngfp] αὐτός[rpgmp].

τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου λέγοντος. Ἰδοὺ 23
ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν καὶ καλέσουσιν τὸ
ὄνομα αὐτοῦ Ἐμμανουήλ ὅ ἐστιν μεθερμηνευόμενον Μεθ ἡ-
μῶν ὁ θεός. διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν 24
ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος κυρίου καὶ παρέλαβεν τὴν γυ-
ναῖκα αὐτοῦ. καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκεν τὸν υἱόν, 25
αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλέεμ τῆς Ἰουδαίας ἐν ἡμέ- **2**
ραις Ἡρῴδου τοῦ βασιλέως ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγέ-
νοντο εἰς Ἱεροσόλυμα. λέγοντες Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς 2
τῶν Ἰουδαίων εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ
ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ Ἡρῴδης ὁ βασιλεὺς 3
ἐταράχθη καὶ πᾶσα Ἱεροσόλυμα μετ αὐτοῦ. καὶ συναγαγὼν 4
πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο
παρ αὐτῶν ποῦ ὁ Χριστὸς γεννᾶται. οἱ δὲ εἶπον αὐτῷ Ἐν Βη- 5
θλέεμ τῆς Ἰουδαίας, οὕτως γὰρ γέγραπται διὰ τοῦ προφήτου,
Καὶ σύ Βηθλέεμ γῆ Ἰούδα οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμό- 6
σιν Ἰούδα, ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος ὅστις ποιμανεῖ
τὸν λαόν μου τὸν Ἰσραήλ. Τότε Ἡρῴδης λάθρᾳ καλέσας τοὺς 7
μάγους ἠκρίβωσεν παρ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀ-
στέρος. καὶ πέμψας αὐτοὺς εἰς Βηθλέεμ εἶπεν Πορευθέντες 8

---

v.22 οὗτος[rdnns] δέ[c] ὅλος[annsn] γίνομαι[vixa3s] ἵνα[c] πληρόω[vsap3s] ὁ[dnns] λέγω[vpapnns] ὑπό[p] ὁ[dgms] κύριος[ngms] διά[p] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns]. **v.23** ἰδού[vdaa2s] ὁ[dnfs] παρθένος[nnfs] ἐν[p] γαστήρ[ndfs] ἔχω[vifa3s] καί[c] τίκτω[vifd3s] υἱός[nams] καί[c] καλέω[vifa3p] ὁ[dans] ὄνομα[nans] αὐτός[rpgms] Ἐμμανουήλ[tp] ὅς[rrnns] εἰμί[vipx3s] μεθερμηνεύω[vpppnns] μετά[p] ἐγώ[rpg-p] ὁ[dnms] θεός[nnms]. **v.24** διεγείρω[vpapnms] δέ[c] ὁ[dnms] Ἰωσήφ[tp] ἀπό[p] ὁ[dgms] ὕπνος[ngms] ποιέω[viaa3s] ὡς[bo] προστάσσω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] ἄγγελος[nnms] κύριος[ngms] καί[c] παραλαμβάνω[viaa3s] ὁ[dafs] γυνή[nafs] αὐτός[rpgms]. **v.25** καί[c] οὐ[xo] γινώσκω[viia3s] αὐτός[rpafs] ἕως[c] ὅς[bo] τίκτω[viaa3s] ὁ[dams] υἱός[nams] αὐτός[rpgfs] ὁ[dams] πρωτότοκος[aamsn] καί[c] καλέω[viaa3s] ὁ[dans] ὄνομα[nans] αὐτός[rpgms] Ἰησοῦς[nams]. **2. v.1** ὁ[dgms] δέ[c] Ἰησοῦς[ngms] γεννάω[vpapgms] ἐν[p] Βηθλέεμ[tp] ὁ[dgfs] Ἰουδαία[ngfs] ἐν[p] ἡμέρα[ndfp] Ἡρῴδης[ngms] ὁ[dgms] βασιλεύς[ngms] ἰδού[vdaa2s] μάγος[nnmp] ἀπό[p] ἀνατολή[ngfp] παραγίνομαι[viad3p] εἰς[p] Ἱεροσόλυμα[nafs]. **v.2** λέγω[vppanmp] ποῦ[xo] εἰμί[vipx3s] ὁ[dnms] τίκτω[vpapnms] βασιλεύς[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn] ὁράω[viaa1p] γάρ[c] αὐτός[rpgms] ὁ[dams] ἀστήρ[nams] ἐν[p] ὁ[ddfs] ἀνατολή[ndfs] καί[c] ἔρχομαι[viaa1p] προσκυνέω[vnaa] αὐτός[rpdms]. **v.3** ἀκούω[vpaanms] δέ[c] Ἡρῴδης[nnms] ὁ[dnms] βασιλεύς[nnms] ταράσσω[viap3s] καί[c] πᾶς[anfsn] Ἱεροσόλυμα[nnfs] μετά[p] αὐτός[rpgms]. **v.4** καί[c] συνάγω[vpaanms] πᾶς[aampn] ὁ[damp] ἀρχιερεύς[namp] καί[c] γραμματεύς[namp] ὁ[dgms] λαός[ngms] πυνθάνομαι[viin3s] παρά[p] αὐτός[rpgmp] ποῦ[xo] ὁ[dnms] Χριστός[nnms] γεννάω[vipp3s]. **v.5** ὁ[dnmp] δέ[c] λέγω[viaa3p] αὐτός[rpdms] ἐν[p] Βηθλέεμ[tp] ὁ[dgfs] Ἰουδαία[ngfs] οὕτω[bo] γάρ[c] γράφω[vixp3s] διά[p] ὁ[dgms] προφήτης[ngms]. **v.6** καί[c] σύ[rpn-s] Βηθλέεμ[tp] γῆ[nvfs] Ἰούδας[ngms] οὐδαμῶς[bo] ἐλάχιστος[anfsn] εἰμί[vipx2s] ἐν[p] ὁ[ddmp] ἡγεμών[ndmp] Ἰούδας[ngms] ἐκ[p] σύ[rpg-s] γάρ[c] ἐξέρχομαι[vifd3s] ἡγέομαι[vppnnms] ὅστις[rrnms] ποιμαίνω[vifa3s] ὁ[dams] λαός[nams] ἐγώ[rpg-s] ὁ[dams] Ἰσραήλ[tp]. **v.7** τότε[bo] Ἡρῴδης[nnms] λάθρᾳ[bo] καλέω[vpaanms] ὁ[damp] μάγος[namp] ἀκριβόω[viaa3s] παρά[p] αὐτός[rpgmp] ὁ[dams] χρόνος[nams] ὁ[dgms] φαίνω[vppegms] ἀστήρ[ngms].

ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρητε ἀπαγγεί-
9 λατέ μοι ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. οἱ δὲ ἀκούσαν-
τες τοῦ βασιλέως ἐπορεύθησαν καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ
ἀνατολῇ προῆγεν αὐτοὺς ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παι-
10 δίον. ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα.
11 καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εὗρον τὸ παιδίον μετὰ Μαρίας τῆς
μητρὸς αὐτοῦ καὶ πεσόντες προσεκύνησαν αὐτῷ καὶ ἀνοίξαν-
τες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα χρυσὸν
12 καὶ λίβανον καὶ σμύρναν. καὶ χρηματισθέντες κατ ὄναρ μὴ
ἀνακάμψαι πρὸς Ἡρῴδην δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν
13 χώραν αὐτῶν. Ἀναχωρησάντων δὲ αὐτῶν ἰδοὺ ἄγγελος κυ-
ρίου φαίνεται κατ ὄναρ τῷ Ἰωσὴφ λέγων Ἐγερθεὶς παράλαβε
τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον καὶ
ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι, μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον
14 τοῦ ἀπολέσαι αὐτό. ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ
15 τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον. καὶ
ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρῴδου, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ
τοῦ κυρίου διὰ τοῦ προφήτου λέγοντος Ἐξ Αἰγύπτου ἐκάλεσα
16 τὸν υἱόν μου. Τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μά-
γων ἐθυμώθη λίαν καὶ ἀποστείλας ἀνεῖλεν πάντας τοὺς παῖδας
τοὺς ἐν Βηθλέεμ καὶ ἐν πάσιν τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς

---

v.8 καί[c] πέμπω[vpaanms] αὐτός[rpamp] εἰς[p] Βηθλέεμ[tp] λέγω[viaa3s] πορεύομαι[vpaonmp] ἀκριβῶς[bo] ἐξετάζω[vdaa2p] περί[p] ὁ[dgns] παιδίον[ngns] ἐπάν[c] δέ[c] εὑρίσκω[vsaa2p] ἀπαγγέλλω[vdaa2p] ἐγώ[rpd-s] ὅπως[bo] κἀγώ[rpn-s] ἔρχομαι[vpaanms] προσκυνέω[vsaa1s] αὐτός[rpdms]. **v.9** ὁ[dnmp] δέ[c] ἀκούω[vpaanmp] ὁ[dgms] βασιλεύς[ngms] πορεύομαι[viao3p] καί[c] ἰδού[vdaa2s] ὁ[dnms] ἀστήρ[nnms] ὅς[rrams] ὁράω[viaa3p] ἐν[p] ὁ[ddfs] ἀνατολή[ndfs] προάγω[viia3s] αὐτός[rpamp] ἕως[c] ἔρχομαι[vpaanms] ἵστημι[viaa3s] ἐπάνω[bo] ὅς[bo] εἰμί[viix3s] ὁ[dnns] παιδίον[nnns]. **v.10** ὁράω[vpaanmp] δέ[c] ὁ[dams] ἀστήρ[nams] χαίρω[viao3p] χαρά[nafs] μέγας[aafsn] σφόδρα[bo]. **v.11** καί[c] ἔρχομαι[vpaanmp] εἰς[p] ὁ[dafs] οἰκία[nafs] εὑρίσκω[viaa3p] ὁ[dans] παιδίον[nans] μετά[p] Μαρία[ngfs] ὁ[dgfs] μήτηρ[ngfs] αὐτός[rpgns] καί[c] πίπτω[vpaanmp] προσκυνέω[viaa3p] αὐτός[rpdms] καί[c] ἀνοίγω[vpaanmp] ὁ[damp] θησαυρός[namp] αὐτός[rpgmp] προσφέρω[viaa3p] αὐτός[rpdms] δῶρον[nanp] χρυσός[nams] καί[c] λίβανος[nams] καί[c] σμύρνα[nafs]. **v.12** καί[c] χρηματίζω[vpapnmp] κατά[p] ὄναρ[to] μή[xo] ἀνακάμπτω[vnaa] πρός[p] Ἡρῴδης[nams] διά[p] ἄλλος[agfsn] ὁδός[ngfs] ἀναχωρέω[viaa3p] εἰς[p] ὁ[dafs] χώρα[nafs] αὐτός[rpgmp]. **v.13** ἀναχωρέω[vpaagmp] δέ[c] αὐτός[rpgmp] ἰδού[vdaa2s] ἄγγελος[nnms] κύριος[ngms] φαίνω[vipe3s] κατά[p] ὄναρ[to] ὁ[ddms] Ἰωσήφ[tp] λέγω[vppanms] ἐγείρω[vpapnms] παραλαμβάνω[vdaa2s] ὁ[dans] παιδίον[nans] καί[c] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] καί[c] φεύγω[vdpa2s] εἰς[p] Αἴγυπτος[nafs] καί[c] εἰμί[vdpx2s] ἐκεῖ[bo] ἕως[c] ἄν[xo] λέγω[vsaa1s] σύ[rpd-s] μέλλω[vipa3s] γάρ[c] Ἡρῴδης[nnms] ζητέω[vnpa] ὁ[dans] παιδίον[nans] ὁ[dgms] ἀπόλλυμι[vnaa] αὐτός[rpans]. **v.14** ὁ[dnms] δέ[c] ἐγείρω[vpapnms] παραλαμβάνω[viaa3s] ὁ[dans] παιδίον[nans] καί[c] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] νύξ[ngfs] καί[c] ἀναχωρέω[viaa3s] εἰς[p] Αἴγυπτος[nafs]. **v.15** καί[c] εἰμί[viix3s] ἐκεῖ[bo] ἕως[c] ὁ[dgfs] τελευτή[ngfs] Ἡρῴδης[ngms] ἵνα[c] πληρόω[vsap3s] ὁ[dnns] λέγω[vpapnns] ὑπό[p] ὁ[dgms] κύριος[ngms] διά[p] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns] ἐκ[p] Αἴγυπτος[ngfs] καλέω[viaa1s] ὁ[dams] υἱός[nams] ἐγώ[rpg-s].

καὶ κατωτέρω κατὰ τὸν χρόνον ὃν ἠκρίβωσεν παρὰ τῶν μάγων.
τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἰερεμίου τοῦ προφήτου λέγοντος. 17
Φωνὴ ἐν Ῥαμὰ ἠκούσθη θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς 18
πολύς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς καὶ οὐκ ἤθελεν παρα-
κληθῆναι ὅτι οὐκ εἰσίν. Τελευτήσαντος δὲ τοῦ Ἡρῴδου ἰδοὺ 19
ἄγγελος κυρίου κατ ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ. λέ- 20
γων Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ
πορεύου εἰς γῆν Ἰσραήλ, τεθνήκασιν γὰρ οἱ ζητοῦντες τὴν ψυ-
χὴν τοῦ παιδίου. ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ τὴν 21
μητέρα αὐτοῦ καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ. ἀκούσας δὲ ὅτι Ἀρ- 22
χέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ Ἡρῴδου τοῦ πατρὸς
αὐτοῦ ἐφοβήθη ἐκεῖ ἀπελθεῖν, χρηματισθεὶς δὲ κατ ὄναρ ἀνε-
χώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας. καὶ ἐλθὼν κατῴκησεν 23
εἰς πόλιν λεγομένην Ναζαρέτ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν
προφητῶν ὅτι Ναζωραῖος κληθήσεται.

Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτι- **3**
στὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας. καὶ λέγων Μετα- 2
νοεῖτε, ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. οὗτος γάρ ἐστιν 3
ὁ ῥηθεὶς ὑπὸ Ἠσαΐου τοῦ προφήτου λέγοντος Φωνὴ βοῶντος ἐν
τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου εὐθείας ποιεῖτε τὰς τρί-

---

v.16 τότε[bo] Ἡρῴδης[nnms] ὁράω[vpaanms] ὅτι[c] ἐμπαίζω[viap3s] ὑπό[p] ὁ[dgmp] μάγος[ngmp] θυμόω[viap3s] λίαν[bo] καί[c] ἀποστέλλω[vpaanms] ἀναιρέω[viaa3s] πᾶς[aampn] ὁ[damp] παῖς[namp] ὁ[damp] ἐν[p] Βηθλέεμ[tp] καί[c] ἐν[p] πᾶς[adnpn] ὁ[ddnp] ὅριον[ndnp] αὐτός[rpgfs] ἀπό[p] διετής[agmsn] καί[c] κατωτέρω[bo] κατά[p] ὁ[dams] χρόνος[nams] ὅς[rrams] ἀκριβόω[viaa3s] παρά[p] ὁ[dgmp] μάγος[ngmp]. **v.17** τότε[bo] πληρόω[viap3s] ὁ[dnns] λέγω[vpapnns] ὑπό[p] Ἰερεμίας[ngms] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns]. **v.18** φωνή[nnfs] ἐν[p] Ῥαμά[tp] ἀκούω[viap3s] θρῆνος[nnms] καί[c] κλαυθμός[nnms] καί[c] ὀδυρμός[nnms] πολύς[anmsn] Ῥαχήλ[tp] κλαίω[vppanfs] ὁ[danp] τέκνον[nanp] αὐτός[rpgfs] καί[c] οὐ[xo] θέλω[viia3s] παρακαλέω[vnap] ὅτι[c] οὐ[xo] εἰμί[vipx3p]. **v.19** τελευτάω[vpaagms] δέ[c] ὁ[dgms] Ἡρῴδης[ngms] ἰδού[vdaa2s] ἄγγελος[nnms] κύριος[ngms] κατά[p] ὄναρ[to] φαίνω[vipe3s] ὁ[ddms] Ἰωσήφ[tp] ἐν[p] Αἴγυπτος[ndfs]. **v.20** λέγω[vppanms] ἐγείρω[vpapnms] παραλαμβάνω[vdaa2s] ὁ[dans] παιδίον[nans] καί[c] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] καί[c] πορεύομαι[vdpn2s] εἰς[p] γῆ[nafs] Ἰσραήλ[tp] θνῄσκω[vixa3p] γάρ[c] ὁ[dnmp] ζητέω[vppanmp] ὁ[dafs] ψυχή[nafs] ὁ[dgns] παιδίον[ngns]. **v.21** ὁ[dnms] δέ[c] ἐγείρω[vpapnms] παραλαμβάνω[viaa3s] ὁ[dans] παιδίον[nans] καί[c] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] καί[c] ἔρχομαι[viaa3s] εἰς[p] γῆ[nafs] Ἰσραήλ[tp]. **v.22** ἀκούω[vpaanms] δέ[c] ὅτι[c] Ἀρχέλαος[nnms] βασιλεύω[vipa3s] ἐπί[p] ὁ[dgfs] Ἰουδαία[ngfs] ἀντί[p] Ἡρῴδης[ngms] ὁ[dgms] πατήρ[ngms] αὐτός[rpgms] φοβέομαι[viao3s] ἐκεῖ[bo] ἀπέρχομαι[vnaa] χρηματίζω[vpapnms] δέ[c] κατά[p] ὄναρ[to] ἀναχωρέω[viaa3s] εἰς[p] ὁ[danp] μέρος[nanp] ὁ[dgfs] Γαλιλαία[ngfs]. **v.23** καί[c] ἔρχομαι[vpaanms] κατοικέω[viaa3s] εἰς[p] πόλις[nafs] λέγω[vpppafs] Ναζαρά[tp] ὅπως[bo] πληρόω[vsap3s] ὁ[dnns] λέγω[vpapnns] διά[p] ὁ[dgmp] προφήτης[ngmp] ὅτι[c] Ναζωραῖος[nnms] καλέω[vifp3s]. **3. v.1** ἐν[p] δέ[c] ὁ[ddfp] ἡμέρα[ndfp] ἐκεῖνος[rddfp] παραγίνομαι[vipn3s] Ἰωάννης[nnms] ὁ[dnms] βαπτιστής[nnms] κηρύσσω[vppanms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] ὁ[dgfs] Ἰουδαία[ngfs]. **v.2** καί[c] λέγω[vppanms] μετανοέω[vdpa2p] ἐγγίζω[vixa3s] γάρ[c] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp].

4 βους αὐτοῦ. Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχεν τὸ ἔνδυμα αὐτοῦ ἀπὸ
τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ ἡ
5 δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον. τότε ἐξεπορεύετο
πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ περί-
6 χωρος τοῦ Ἰορδάνου. καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ αὐτοῦ
7 ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Ἰδὼν δὲ πολλοὺς τῶν
Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐ-
τοῦ εἶπεν αὐτοῖς Γεννήματα ἐχιδνῶν τίς ὑπέδειξεν ὑμῖν φυγεῖν
8 ἀπὸ τῆς μελλούσης ὀργῆς. ποιήσατε οὖν καρποὺς ἄξιους τῆς
9 μετανοίας. καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς Πατέρα ἔχομεν
τὸν Ἀβραάμ λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων
10 τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν
ῥίζαν τῶν δένδρων κεῖται, πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν
11 καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. ἐγὼ μὲν βαπτίζω ὑμᾶς
ἐν ὕδατι εἰς μετάνοιαν ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός
μού ἐστιν οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι, αὐτὸς
12 ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί, οὗ τὸ πτύον ἐν τῇ
χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ συνάξει τὸν
σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ
13 ἀσβέστῳ. Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ

---

v.3 οὗτος[rdnms] γάρ[c] εἰμί[vipx3s] ὁ[dnms] λέγω[vpapnms] ὑπό[p] Ἠσαΐας[ngms] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagms] φωνή[nnfs] βοάω[vppagms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] ἑτοιμάζω[vdaa2p] ὁ[dafs] ὁδός[nafs] κύριος[ngms] εὐθύς[aafpn] ποιέω[vdpa2p] ὁ[dafp] τρίβος[nafp] αὐτός[rpgms]. **v.4** αὐτός[rpnms] δέ[c] ὁ[dnms] Ἰωάννης[nnms] ἔχω[viia3s] ὁ[dans] ἔνδυμα[nans] αὐτός[rpgms] ἀπό[p] θρίξ[ngfp] κάμηλος[ngms] καί[c] ζώνη[nafs] δερμάτινος[aafsn] περί[p] ὁ[dafs] ὀσφύς[nafs] αὐτός[rpgms] ὁ[dnfs] δέ[c] τροφή[nnfs] αὐτός[rpgms] εἰμί[viix3s] ἀκρίς[nnfp] καί[c] μέλι[nnns] ἄγριος[annsn]. **v.5** τότε[bo] ἐκπορεύομαι[viin3s] πρός[p] αὐτός[rpams] Ἱεροσόλυμα[nnfs] καί[c] πᾶς[anfsn] ὁ[dnfs] Ἰουδαία[nnfs] καί[c] πᾶς[anfsn] ὁ[dnfs] περίχωρος[anmsn] ὁ[dgms] Ἰορδάνης[ngms]. **v.6** καί[c] βαπτίζω[viip3p] ἐν[p] ὁ[ddms] Ἰορδάνης[ndms] ὑπό[p] αὐτός[rpgms] ἐξομολογέω[vppmnmp] ὁ[dafp] ἁμαρτία[nafp] αὐτός[rpgmp]. **v.7** ὁράω[vpaanms] δέ[c] πολύς[aampn] ὁ[dgmp] Φαρισαῖος[ngmp] καί[c] Σαδδουκαῖος[ngmp] ἔρχομαι[vppnamp] ἐπί[p] ὁ[dans] βάπτισμα[nans] αὐτός[rpgms] λέγω[viaa3s] αὐτός[rpdmp] γέννημα[nvnp] ἔχιδνα[ngfp] τίς[rqnms] ὑποδείκνυμι[viaa3s] σύ[rpd-p] φεύγω[vnaa] ἀπό[p] ὁ[dgfs] μέλλω[vppagfs] ὀργή[ngfs]. **v.8** ποιέω[vdaa2p] οὖν[c] καρπός[namp] ἄξιος[aampn] ὁ[dgfs] μετάνοια[ngfs]. **v.9** καί[c] μή[xo] δοκέω[vsaa2p] λέγω[vnpa] ἐν[p] ἑαυτοῦ[rxdmp] πατήρ[nams] ἔχω[vipa1p] ὁ[dams] Ἀβραάμ[tp] λέγω[vipa1s] γάρ[c] σύ[rpd-p] ὅτι[c] δύναμαι[vipn3s] ὁ[dnms] θεός[nnms] ἐκ[p] ὁ[dgmp] λίθος[ngmp] οὗτος[rdgmp] ἐγείρω[vnaa] τέκνον[nanp] ὁ[ddms] Ἀβραάμ[tp]. **v.10** ἤδη[bo] δέ[c] καί[c] ὁ[dnfs] ἀξίνη[nnfs] πρός[p] ὁ[dafs] ῥίζα[nafs] ὁ[dgnp] δένδρον[ngnp] κεῖμαι[vipn3s] πᾶς[annsn] οὖν[c] δένδρον[nnns] μή[xo] ποιέω[vppanns] καρπός[nams] καλός[aamsn] ἐκκόπτω[vipp3s] καί[c] εἰς[p] πῦρ[nans] βάλλω[vipp3s]. **v.11** ἐγώ[rpn-s] μέν[xo] βαπτίζω[vipa1s] σύ[rpa-p] ἐν[p] ὕδωρ[ndns] εἰς[p] μετάνοια[nafs] ὁ[dnms] δέ[c] ὀπίσω[bo] ἐγώ[rpg-s] ἔρχομαι[vppnnms] ἰσχυρός[anmsc] ἐγώ[rpg-s] εἰμί[vipx3s] ὅς[rrgms] οὐ[xo] εἰμί[vipx1s] ἱκανός[anmsn] ὁ[danp] ὑπόδημα[nanp] βαστάζω[vnaa] αὐτός[rpnms] σύ[rpa-p] βαπτίζω[vifa3s] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn] καί[c] πῦρ[ndns]. **v.12** ὅς[rrgms] ὁ[dnns] πτύον[nnns] ἐν[p] ὁ[ddfs] χείρ[ndfs] αὐτός[rpgms] καί[c] διακαθαρίζω[vifa3s] ὁ[dafs] ἅλων[nafs] αὐτός[rpgms] καί[c] συνάγω[vifa3s] ὁ[dams] σῖτος[nams] αὐτός[rpgms] εἰς[p] ὁ[dafs] ἀποθήκη[nafs] ὁ[dans] δέ[c] ἄχυρον[nans] κατακαίω[vifa3s] πῦρ[ndns] ἄσβεστος[adnsn].

τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ αὐτοῦ. ὁ 14
δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ
βαπτισθῆναι καὶ σὺ ἔρχῃ πρός με. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς 15
εἶπεν πρὸς αὐτόν Ἄφες ἄρτι οὕτως γὰρ πρέπον ἐστὶν ἡμῖν πλη-
ρῶσαι πᾶσαν δικαιοσύνην τότε ἀφίησιν αὐτόν. καὶ βαπτισθεὶς 16
ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος, καὶ ἰδοὺ ἀνεῴχθησαν
αὐτῷ οἱ οὐρανοί καὶ εἶδεν τὸ πνεῦμα τοῦ θεοῦ καταβαῖνον ὡσεὶ
περιστερὰν καὶ ἐρχόμενον ἐπ αὐτόν, καὶ ἰδοὺ φωνὴ ἐκ τῶν 17
οὐρανῶν λέγουσα Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός ἐν ᾧ
εὐδόκησα.

Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος **4**
πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. καὶ νηστεύσας ἡμέρας τεσ- 2
σαράκοντα καὶ νύκτας τεσσαράκοντα ὕστερον ἐπείνασεν. Καὶ 3
προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν Εἰ υἱὸς εἶ τοῦ θεοῦ εἰπὲ ἵνα οἱ
λίθοι οὗτοι ἄρτοι γένωνται. ὁ δὲ ἀποκριθεὶς εἶπεν Γέγραπται 4
Οὐκ ἐπ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος ἀλλ ἐπὶ παντὶ ῥήματι ἐκ-
πορευομένῳ διὰ στόματος θεοῦ. Τότε παραλαμβάνει αὐτὸν ὁ 5
διάβολος εἰς τὴν ἁγίαν πόλιν καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον
τοῦ ἱεροῦ. καὶ λέγει αὐτῷ Εἰ υἱὸς εἶ τοῦ θεοῦ βάλε σεαυτὸν 6
κάτω, γέγραπται γὰρ ὅτι Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ
σοῦ καὶ ἐπὶ χειρῶν ἀροῦσίν σε μήποτε προσκόψῃς πρὸς λίθον

---

v.13 τότε^{bo} παραγίνομαι^{vipn3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀπό^{p} ὁ^{dgfs} Γαλιλαία^{ngfs} ἐπί^{p} ὁ^{dams} Ἰορδάνης^{nams} πρός^{p} ὁ^{dams} Ἰωάννης^{nams} ὁ^{dgms} βαπτίζω^{vnap} ὑπό^{p} αὐτός^{rpgms}. **v.14** ὁ^{dnms} δέ^{c} Ἰωάννης^{nnms} διακωλύω^{viia3s} αὐτός^{rpams} λέγω^{vppanms} ἐγώ$^{rpn-s}$ χρεία^{nafs} ἔχω^{vipa1s} ὑπό^{p} σύ$^{rpg-s}$ βαπτίζω^{vnap} καί^{c} σύ$^{rpn-s}$ ἔρχομαι^{vipn2s} πρός^{p} ἐγώ$^{rpa-s}$. **v.15** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} πρός^{p} αὐτός^{rpams} ἀφίημι^{vdaa2s} ἄρτι^{bo} οὕτω^{bo} γάρ^{c} πρέπω^{vppqnns} εἰμί^{vipx3s} ἐγώ$^{rpd-p}$ πληρόω^{vnaa} πᾶς^{aafsn} δικαιοσύνη^{nafs} τότε^{bo} ἀφίημι^{vipa3s} αὐτός^{rpams}. **v.16** καί^{c} βαπτίζω^{vpapnms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀναβαίνω^{viaa3s} εὐθύς^{bo} ἀπό^{p} ὁ^{dgns} ὕδωρ^{ngns} καί^{c} ἰδού^{vdaa2s} ἀνοίγω^{viap3p} αὐτός^{rpdms} ὁ^{dnmp} οὐρανός^{nnmp} καί^{c} ὁράω^{viaa3s} ὁ^{dans} πνεῦμα^{nans} ὁ^{dgms} θεός^{ngms} καταβαίνω^{vppaans} ὡσεί^{bo} περιστερά^{nafs} καί^{c} ἔρχομαι^{vppnans} ἐπί^{p} αὐτός^{rpams}. **v.17** καί^{c} ἰδού^{vdaa2s} φωνή^{nnfs} ἐκ^{p} ὁ^{dgmp} οὐρανός^{ngmp} λέγω^{vppanfs} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} υἱός^{nnms} ἐγώ$^{rpg-s}$ ὁ^{dnms} ἀγαπητός^{anmsn} ἐν^{p} ὅς^{rrdms} εὐδοκέω^{viaa1s}. **4. v.1** τότε^{bo} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀνάγω^{viap3s} εἰς^{p} ὁ^{dafs} ἔρημος^{aafsn} ὑπό^{p} ὁ^{dgns} πνεῦμα^{ngns} πειράζω^{vnap} ὑπό^{p} ὁ^{dgms} διάβολος^{agmsn}. **v.2** καί^{c} νηστεύω^{vpaanms} ἡμέρα^{nafp} τεσσεράκοντα^{tn} καί^{c} νύξ^{nafp} τεσσεράκοντα^{tn} ὕστερος^{bo} πεινάω^{viaa3s}. **v.3** καί^{c} προσέρχομαι^{vpaanms} αὐτός^{rpdms} ὁ^{dnms} πειράζω^{vppanms} λέγω^{viaa3s} εἰ^{qo} υἱός^{nnms} εἰμί^{vipx2s} ὁ^{dgms} θεός^{ngms} λέγω^{vdaa2s} ἵνα^{c} ὁ^{dnmp} λίθος^{nnmp} οὗτος^{rdnmp} ἄρτος^{nnmp} γίνομαι^{vsad3p}. **v.4** ὁ^{dnms} δέ^{c} ἀποκρίνομαι^{vpaonms} λέγω^{viaa3s} γράφω^{vixp3s} οὐ^{xo} ἐπί^{p} ἄρτος^{ndms} μόνος^{admsn} ζάω^{vifd3s} ἄνθρωπος^{nnms} ἀλλά^{c} ἐπί^{p} πᾶς^{adnsn} ῥῆμα^{ndns} ἐκπορεύομαι^{vppndns} διά^{p} στόμα^{ngns} θεός^{ngms}. **v.5** τότε^{bo} παραλαμβάνω^{vipa3s} αὐτός^{rpams} ὁ^{dnms} διάβολος^{anmsn} εἰς^{p} ὁ^{dafs} ἅγιος^{aafsn} πόλις^{nafs} καί^{c} ἵστημι^{vipa3s} αὐτός^{rpams} ἐπί^{p} ὁ^{dans} πτερύγιον^{nans} ὁ^{dgns} ἱερόν^{ngns}.

7 τὸν πόδα σου. ἔφη αὐτῷ ὁ Ἰησοῦς Πάλιν γέγραπται Οὐκ ἐκ-
8 πειράσεις κύριον τὸν θεόν σου. Πάλιν παραλαμβάνει αὐτὸν
ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν καὶ δείκνυσιν αὐτῷ πάσας
9 τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν. καὶ λέγει αὐ-
10 τῷ Ταῦτά πάντα σοι δώσω ἐὰν πεσὼν προσκυνήσῃς μοι. τότε
λέγει αὐτῷ ὁ Ἰησοῦς Ὕπαγε Σατανᾶ, γέγραπται γάρ Κύριον
11 τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις. Τότε
ἀφίησιν αὐτὸν ὁ διάβολος καὶ ἰδοὺ ἄγγελοι προσῆλθον καὶ δι-
12 ηκόνουν αὐτῷ. Ἀκούσας δὲ ὁ Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη
13 ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν. καὶ καταλιπὼν τὴν Ναζαρὲτ ἐλ-
θὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν ἐν ὁρίοις
14 Ζαβουλὼν καὶ Νεφθαλείμ, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσα-
15 ΐου τοῦ προφήτου λέγοντος. Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ,
16 ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου Γαλιλαία τῶν ἐθνῶν. ὁ
λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα καὶ τοῖς καθημένοις
17 ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς. Ἀπὸ τότε ἤρ-
ξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν Μετανοεῖτε, ἤγγικεν γὰρ
18 ἡ βασιλεία τῶν οὐρανῶν. Περιπατῶν δὲ ὁ Ἰησοῦς παρὰ τὴν
θάλασσαν τῆς Γαλιλαίας εἶδεν δύο ἀδελφούς Σίμωνα τὸν λε-
γόμενον Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ βάλλοντας

---

v.6 καί[c] λέγω[vipa3s] αὐτός[rpdms] εἰ[qo] υἱός[nnms] εἰμί[vipx2s] ὁ[dgms] θεός[ngms] βάλλω[vdaa2s] σεαυτοῦ[rxams] κάτω[p] γράφω[vixp3s] γάρ[c] ὅτι[c] ὁ[ddmp] ἄγγελος[ndmp] αὐτός[rpgms] ἐντέλλομαι[vifn3s] περί[p] σύ[rpg-s] καί[c] ἐπί[p] χείρ[ngfp] αἴρω[vifa3p] σύ[rpa-s] μήποτε[bo] προσκόπτω[vsaa2s] πρός[p] λίθος[nams] ὁ[dams] πούς[nams] σύ[rpg-s]. **v.7** φημί[viix3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] πάλιν[bo] γράφω[vixp3s] οὐ[xo] ἐκπειράζω[vifa2s] κύριος[nams] ὁ[dams] θεός[nams] σύ[rpg-s]. **v.8** πάλιν[bo] παραλαμβάνω[vipa3s] αὐτός[rpams] ὁ[dnms] διάβολος[anmsn] εἰς[p] ὄρος[nans] ὑψηλός[aansn] λίαν[bo] καί[c] δείκνυμι[vipa3s] αὐτός[rpdms] πᾶς[aafpn] ὁ[dafp] βασιλεία[nafp] ὁ[dgms] κόσμος[ngms] καί[c] ὁ[dafs] δόξα[nafs] αὐτός[rpgfp]. **v.9** καί[c] λέγω[vipa3s] αὐτός[rpdms] οὗτος[rdanp] πᾶς[aanpn] σύ[rpd-s] δίδωμι[vifa1s] ἐάν[qo] πίπτω[vpaanms] προσκυνέω[vsaa2s] ἐγώ[rpd-s]. **v.10** τότε[bo] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὑπάγω[vdpa2s] Σατανᾶς[nvms] γράφω[vixp3s] γάρ[c] κύριος[nams] ὁ[dams] θεός[nams] σύ[rpg-s] προσκυνέω[vifa2s] καί[c] αὐτός[rpdms] μόνος[admsn] λατρεύω[vifa2s]. **v.11** τότε[bo] ἀφίημι[vipa3s] αὐτός[rpams] ὁ[dnms] διάβολος[anmsn] καί[c] ἰδού[vdaa2s] ἄγγελος[nnmp] προσέρχομαι[viaa3p] καί[c] διακονέω[viia3p] αὐτός[rpdms]. **v.12** ἀκούω[vpaanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] Ἰωάννης[nnms] παραδίδωμι[viap3s] ἀναχωρέω[viaa3s] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs]. **v.13** καί[c] καταλείπω[vpaanms] ὁ[dafs] Ναζαρά[tp] ἔρχομαι[vpaanms] κατοικέω[viaa3s] εἰς[p] Καπερναούμ[tp] ὁ[dafs] παραθαλάσσιος[aafsn] ἐν[p] ὅριον[ndnp] Ζαβουλών[tp] καί[c] Νεφθαλίμ[tp]. **v.14** ἵνα[c] πληρόω[vsap3s] ὁ[dnns] λέγω[vpapnns] διά[p] Ἠσαΐας[ngms] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns]. **v.15** γῆ[nnfs] Ζαβουλών[tp] καί[c] γῆ[nnfs] Νεφθαλίμ[tp] ὁδός[nafs] θάλασσα[ngfs] πέραν[bo] ὁ[dgms] Ἰορδάνης[ngms] Γαλιλαία[nnfs] ὁ[dgnp] ἔθνος[ngnp]. **v.16** ὁ[dnms] λαός[nnms] ὁ[dnms] κάθημαι[vppnnms] ἐν[p] σκότος[ndns] οἶδα[viaa3s] φῶς[nans] μέγας[aansn] καί[c] ὁ[ddmp] κάθημαι[vppndmp] ἐν[p] χώρα[ndfs] καί[c] σκιά[ndfs] θάνατος[ngms] φῶς[nnns] ἀνατέλλω[viaa3s] αὐτός[rpdmp]. **v.17** ἀπό[p] τότε[bo] ἄρχω[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] κηρύσσω[vnpa] καί[c] λέγω[vnpa] μετανοέω[vdpa2p] ἐγγίζω[vixa3s] γάρ[c] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp].

ἀμφίβληστρον εἰς τὴν θάλασσαν, ἦσαν γὰρ ἁλιεῖς. καὶ λέγει 19
αὐτοῖς Δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. οἱ 20
δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. Καὶ προβὰς 21
ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου
καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου
τοῦ πατρὸς αὐτῶν καταρτίζοντας τὰ δίκτυα αὐτῶν καὶ ἐκάλεσεν
αὐτούς. οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐ- 22
τῶν ἠκολούθησαν αὐτῷ. Καὶ περιῆγεν ὅλην τήν Γαλιλαίαν ὁ 23
Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ
εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶ-
σαν μαλακίαν ἐν τῷ λαῷ. καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην 24
τὴν Συρίαν, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας
ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους καὶ δαιμονιζομέ-
νους καὶ σεληνιαζομένους καὶ παραλυτικούς καὶ ἐθεράπευσεν
αὐτούς. καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γα- 25
λιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας καὶ
πέραν τοῦ Ἰορδάνου.

Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος καὶ καθίσαντος αὐτοῦ **5**
προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀνοίξας τὸ στόμα αὐ- 2
τοῦ ἐδίδασκεν αὐτοὺς λέγων. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι 3

---

v.18 περιπατέω[vppanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] παρά[p] ὁ[dafs] θάλασσα[nafs] ὁ[dgfs] Γαλιλαία[ngfs] ὁράω[viaa3s] δύο[tn] ἀδελφός[namp] Σίμων[nams] ὁ[dams] λέγω[vpppams] Πέτρος[nams] καί[c] Ἀνδρέας[nams] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] βάλλω[vppaamp] ἀμφίβληστρον[nans] εἰς[p] ὁ[dafs] θάλασσα[nafs] εἰμί[viix3p] γάρ[c] ἁλιεύς[nnmp]. **v.19** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] δεῦτε[vdvx2p] ὀπίσω[bo] ἐγώ[rpg-s] καί[c] ποιέω[vifa1s] σύ[rpa-p] ἁλιεύς[namp] ἄνθρωπος[ngmp]. **v.20** ὁ[dnmp] δέ[c] εὐθέως[bo] ἀφίημι[vpaanmp] ὁ[danp] δίκτυον[nanp] ἀκολουθέω[viaa3p] αὐτός[rpdms]. **v.21** καί[c] προβαίνω[vpaanms] ἐκεῖθεν[bo] ὁράω[viaa3s] ἄλλος[aampn] δύο[tn] ἀδελφός[namp] Ἰάκωβος[nams] ὁ[dams] ὁ[dgms] Ζεβεδαῖος[ngms] καί[c] Ἰωάννης[nams] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] μετά[p] Ζεβεδαῖος[ngms] ὁ[dgms] πατήρ[ngms] αὐτός[rpgmp] καταρτίζω[vppaamp] ὁ[danp] δίκτυον[nanp] αὐτός[rpgmp] καί[c] καλέω[viaa3s] αὐτός[rpamp]. **v.22** ὁ[dnmp] δέ[c] εὐθέως[bo] ἀφίημι[vpaanmp] ὁ[dans] πλοῖον[nans] καί[c] ὁ[dams] πατήρ[nams] αὐτός[rpgmp] ἀκολουθέω[viaa3p] αὐτός[rpdms]. **v.23** καί[c] περιάγω[viia3s] ὅλος[aafsn] ὁ[dafs] Γαλιλαία[nafs] ὁ[dnms] Ἰησοῦς[nnms] διδάσκω[vppanms] ἐν[p] ὁ[ddfp] συναγωγή[ndfp] αὐτός[rpgmp] καί[c] κηρύσσω[vppanms] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dgfs] βασιλεία[ngfs] καί[c] θεραπεύω[vppanms] πᾶς[aafsn] νόσος[nafs] καί[c] πᾶς[aafsn] μαλακία[nafs] ἐν[p] ὁ[ddms] λαός[ndms]. **v.24** καί[c] ἀπέρχομαι[viaa3s] ὁ[dnfs] ἀκοή[nnfs] αὐτός[rpgms] εἰς[p] ὅλος[aafsn] ὁ[dafs] Συρία[nafs] καί[c] προσφέρω[viaa3p] αὐτός[rpdms] πᾶς[aampn] ὁ[damp] κακῶς[bo] ἔχω[vppaamp] ποικίλος[adfpn] νόσος[ndfp] καί[c] βάσανος[ndfp] συνέχω[vpppamp] καί[c] δαιμονίζομαι[vppnamp] καί[c] σεληνιάζομαι[vppnamp] καί[c] παραλυτικός[aampn] καί[c] θεραπεύω[viaa3s] αὐτός[rpamp]. **v.25** καί[c] ἀκολουθέω[viaa3p] αὐτός[rpdms] ὄχλος[nnmp] πολύς[anmpn] ἀπό[p] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] Δεκάπολις[ngfs] καί[c] Ἱεροσόλυμα[ngnp] καί[c] Ἰουδαία[ngfs] καί[c] πέραν[bo] ὁ[dgms] Ἰορδάνης[ngms]. **5. v.1** ὁράω[vpaanms] δέ[c] ὁ[damp] ὄχλος[namp] ἀναβαίνω[viaa3s] εἰς[p] ὁ[dans] ὄρος[nans] καί[c] καθίζω[vpaagms] αὐτός[rpgms] προσέρχομαι[viaa3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms]. **v.2** καί[c] ἀνοίγω[vpaanms] ὁ[dans] στόμα[nans] αὐτός[rpgms] διδάσκω[viia3s] αὐτός[rpamp] λέγω[vppanms].

4 ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. μακάριοι οἱ πενθοῦν-
5 τες ὅτι αὐτοὶ παρακληθήσονται. μακάριοι οἱ πραεῖς ὅτι αὐτοὶ
6 κληρονομήσουσιν τὴν γῆν. μακάριοι οἱ πεινῶντες καὶ διψῶν-
7 τες τὴν δικαιοσύνην ὅτι αὐτοὶ χορτασθήσονται. μακάριοι οἱ
8 ἐλεήμονες ὅτι αὐτοὶ ἐλεηθήσονται. μακάριοι οἱ καθαροὶ τῇ
9 καρδίᾳ ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. μακάριοι οἱ εἰρηνοποι-
10 οί ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. μακάριοι οἱ δεδιωγμένοι
ἕνεκεν δικαιοσύνης ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.
11 μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν καὶ εἴπωσιν
12 πᾶν πονηρὸν ῥῆμα καθ ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. χαί-
ρετε καὶ ἀγαλλιᾶσθε ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς,
13 οὕτως γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. Ὑμεῖς ἐστε
τὸ ἅλας τῆς γῆς, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ ἐν τίνι ἁλισθήσεται
εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθῆναι ἔξω καὶ καταπατεῖσθαι ὑπὸ
14 τῶν ἀνθρώπων. Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου οὐ δύναται πό-
15 λις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσιν λύχνον καὶ
τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον ἀλλ ἐπὶ τὴν λυχνίαν καὶ λάμπει
16 πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπρο-
σθεν τῶν ἀνθρώπων ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξά-
17 σωσιν τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε ὅτι
ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, οὐκ ἦλθον κατα-

---

v.3 μακάριος[anmpn] ὁ[dnmp] πτωχός[anmpn] ὁ[ddns] πνεῦμα[ndns] ὅτι[c] αὐτός[rpgmp] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.4** μακάριος[anmpn] ὁ[dnmp] πενθέω[vppanmp] ὅτι[c] αὐτός[rpnmp] παρακαλέω[vifp3p]. **v.5** μακάριος[anmpn] ὁ[dnmp] πραΰς[anmpn] ὅτι[c] αὐτός[rpnmp] κληρονομέω[vifa3p] ὁ[dafs] γῆ[nafs]. **v.6** μακάριος[anmpn] ὁ[dnmp] πεινάω[vppanmp] καί[c] διψάω[vppanmp] ὁ[dafs] δικαιοσύνη[nafs] ὅτι[c] αὐτός[rpnmp] χορτάζω[vifp3p]. **v.7** μακάριος[anmpn] ὁ[dnmp] ἐλεήμων[anmpn] ὅτι[c] αὐτός[rpnmp] ἐλεέω[vifp3p]. **v.8** μακάριος[anmpn] ὁ[dnmp] καθαρός[anmpn] ὁ[ddfs] καρδία[ndfs] ὅτι[c] αὐτός[rpnmp] ὁ[dams] θεός[nams] ὁράω[vifd3p]. **v.9** μακάριος[anmpn] ὁ[dnmp] εἰρηνοποιός[anmpn] ὅτι[c] αὐτός[rpnmp] υἱός[nnmp] θεός[ngms] καλέω[vifp3p]. **v.10** μακάριος[anmpn] ὁ[dnmp] διώκω[vpxpnmp] ἕνεκα[bo] δικαιοσύνη[ngfs] ὅτι[c] αὐτός[rpgmp] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.11** μακάριος[anmpn] εἰμί[vipx2p] ὅταν[c] ὀνειδίζω[vsaa3p] σύ[rpa-p] καί[c] διώκω[vsaa3p] καί[c] λέγω[vsaa3p] πᾶς[aansn] πονηρός[aansn] ῥῆμα[nans] κατά[p] σύ[rpg-p] ψεύδομαι[vppenmp] ἕνεκα[bo] ἐγώ[rpg-s]. **v.12** χαίρω[vdpa2p] καί[c] ἀγαλλιάω[vdpn2p] ὅτι[c] ὁ[dnms] μισθός[nnms] σύ[rpg-p] πολύς[anmsn] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] οὕτω[bo] γάρ[c] διώκω[viaa3p] ὁ[damp] προφήτης[namp] ὁ[damp] πρό[p] σύ[rpg-p]. **v.13** σύ[rpn-p] εἰμί[vipx2p] ὁ[dnns] ἅλας[nnns] ὁ[dgfs] γῆ[ngfs] ἐάν[qo] δέ[c] ὁ[dnns] ἅλας[nnns] μωραίνω[vsap3s] ἐν[p] τίς[rqdns] ἁλίζω[vifp3s] εἰς[p] οὐδείς[aansn] ἰσχύω[vipa3s] ἔτι[bo] εἰ[qo] μή[xo] βάλλω[vnap] ἔξω[bo] καί[c] καταπατέω[vnpp] ὑπό[p] ὁ[dgmp] ἄνθρωπος[ngmp]. **v.14** σύ[rpn-p] εἰμί[vipx2p] ὁ[dnns] φῶς[nnns] ὁ[dgms] κόσμος[ngms] οὐ[xo] δύναμαι[vipn3s] πόλις[nnfs] κρύπτω[vnap] ἐπάνω[bo] ὄρος[ngns] κεῖμαι[vppnnfs]. **v.15** οὐδέ[bo] καίω[vipa3p] λύχνος[nafs] καί[c] τίθημι[vipa3p] αὐτός[rpams] ὑπό[p] ὁ[dams] μόδιος[nams] ἀλλά[c] ἐπί[p] ὁ[dafs] λυχνία[nafs] καί[c] λάμπω[vipa3s] πᾶς[admpn] ὁ[ddmp] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs]. **v.16** οὕτω[bo] λάμπω[vdaa3s] ὁ[dnns] φῶς[nnns] σύ[rpg-p] ἔμπροσθεν[p] ὁ[dgmp] ἄνθρωπος[ngmp] ὅπως[bo] ὁράω[vsaa3p] σύ[rpg-p] ὁ[danp] καλός[aanpn] ἔργον[nanp] καί[c] δοξάζω[vsaa3p] ὁ[dams] πατήρ[nams] σύ[rpg-p] ὁ[dams] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp].

λῦσαι ἀλλὰ πληρῶσαι. ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ 18
ὁ οὐρανὸς καὶ ἡ γῆ ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ
τοῦ νόμου ἕως ἂν πάντα γένηται. ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν 19
ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώ-
πους ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὃς δ ἂν
ποιήσῃ καὶ διδάξῃ οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν
οὐρανῶν. λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη 20
ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων οὐ μὴ εἰσέλθητε
εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρ- 21
χαίοις Οὐ φονεύσεις, ὃς δ ἂν φονεύσῃ ἔνοχος ἔσται τῇ κρίσει.
ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ 22
ἔνοχος ἔσται τῇ κρίσει, ὃς δ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ Ῥακά
ἔνοχος ἔσται τῷ συνεδρίῳ, ὃς δ ἂν εἴπῃ Μωρέ ἔνοχος ἔσται εἰς
τὴν γέενναν τοῦ πυρός. ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ 23
τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ
σοῦ. ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου 24
καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου καὶ τότε ἐλθὼν
πρόσφερε τὸ δῶρόν σου. ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ 25
ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ αὐτοῦ μήποτέ σε παραδῷ ὁ ἀντίδικος
τῷ κριτῇ καὶ ὁ κριτὴς σε παραδῷ τῷ ὑπηρέτῃ καὶ εἰς φυλακὴν

---

v.17 μή[xo] νομίζω[vsaa2p] ὅτι[c] ἔρχομαι[viaa1s] καταλύω[vnaa] ὁ[dams] νόμος[nams] ἤ[xo] ὁ[damp] προφήτης[namp] οὐ[xo] ἔρχομαι[viaa1s] καταλύω[vnaa] ἀλλά[c] πληρόω[vnaa]. **v.18** ἀμήν[th] γάρ[c] λέγω[vipa1s] σύ[rpd-p] ἕως[c] ἄν[xo] παρέρχομαι[vsaa3s] ὁ[dnms] οὐρανός[nnms] καί[c] ὁ[dnfs] γῆ[nnfs] ἰῶτα[tl] εἷς[nnns] ἤ[xo] εἷς[nnfs] κεραία[nnfs] οὐ[xo] μή[xo] παρέρχομαι[vsaa3s] ἀπό[p] ὁ[dgms] νόμος[ngms] ἕως[c] ἄν[xo] πᾶς[annpn] γίνομαι[vsad3s]. **v.19** ὅς[rrnms] ἐάν[qo] οὖν[c] λύω[vsaa3s] εἷς[nafs] ὁ[dgfp] ἐντολή[ngfp] οὗτος[rdgfp] ὁ[dgfp] ἐλάχιστος[agfpn] καί[c] διδάσκω[vsaa3s] οὕτω[bo] ὁ[damp] ἄνθρωπος[namp] ἐλάχιστος[anmsn] καλέω[vifp3s] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgmp] οὐρανός[ngmp] ὅς[rrnms] δέ[c] ἄν[xo] ποιέω[vsaa3s] καί[c] διδάσκω[vsaa3s] οὗτος[rdnms] μέγας[anmsn] καλέω[vifp3s] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgmp] οὐρανός[ngmp].
v.20 λέγω[vipa1s] γάρ[c] σύ[rpd-p] ὅτι[c] ἐάν[qo] μή[xo] περισσεύω[vsaa3s] ὁ[dnfs] δικαιοσύνη[nnfs] σύ[rpg-p] πολύς[aansc] ὁ[dgmp] γραμματεύς[ngmp] καί[c] Φαρισαῖος[ngmp] οὐ[xo] μή[xo] εἰσέρχομαι[vsaa2p] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.21** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὁ[ddmp] ἀρχαῖος[admpn] οὐ[xo] φονεύω[vifa2s] ὅς[rrnms] δέ[c] ἄν[xo] φονεύω[vsaa3s] ἔνοχος[anmsn] εἰμί[vifx3s] ὁ[ddfs] κρίσις[ndfs].
v.22 ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] πᾶς[anmsn] ὁ[dnms] ὀργίζω[vpppnms] ὁ[ddms] ἀδελφός[ndms] αὐτός[rpgms] εἰκῇ[bo] ἔνοχος[anmsn] εἰμί[vifx3s] ὁ[ddfs] κρίσις[ndfs] ὅς[rrnms] δέ[c] ἄν[xo] λέγω[vsaa3s] ὁ[ddms] ἀδελφός[ndms] αὐτός[rpgms] ῥακά[ta] ἔνοχος[anmsn] εἰμί[vifx3s] ὁ[ddns] συνέδριον[ndns] ὅς[rrnms] δέ[c] ἄν[xo] λέγω[vsaa3s] μωρός[avmsn] ἔνοχος[anmsn] εἰμί[vifx3s] εἰς[p] ὁ[dafs] γέεννα[nafs] ὁ[dgns] πῦρ[ngns].
v.23 ἐάν[qo] οὖν[c] προσφέρω[vspa2s] ὁ[dans] δῶρον[nans] σύ[rpg-s] ἐπί[p] ὁ[dans] θυσιαστήριον[nans] κἀκεῖ[bo] μιμνῄσκομαι[vsap2s] ὅτι[c] ὁ[dnms] ἀδελφός[nnms] σύ[rpg-s] ἔχω[vipa3s] τι-σριανσ κατά[p] σύ[rpg-s].
v.24 ἀφίημι[vdaa2s] ἐκεῖ[bo] ὁ[dans] δῶρον[nans] σύ[rpg-s] ἔμπροσθεν[p] ὁ[dgns] θυσιαστήριον[ngns] καί[c] ὑπάγω[vdpa2s] πρῶτος[bo] διαλλάσσω[vdap2s] ὁ[ddms] ἀδελφός[ndms] σύ[rpg-s] καί[c] τότε[bo] ἔρχομαι[vpaanms] προσφέρω[vdpa2s] ὁ[dans] δῶρον[nans] σύ[rpg-s].

26 βληθήσῃ, ἀμὴν λέγω σοι οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως ἂν ἀποδῷς
27 τὸν ἔσχατον κοδράντην. Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις,
28 Οὐ μοιχεύσεις. ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ βλέπων γυναῖκα
πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ
29 αὐτοῦ. εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε ἔξελε
αὐτὸν καὶ βάλε ἀπὸ σοῦ, συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν
30 μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. καὶ εἰ
ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ
σοῦ, συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου καὶ μὴ
31 ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. Ἐρρέθη δέ ὅτι Ὃς ἂν
32 ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ δότω αὐτῇ ἀποστάσιον. ἐγὼ δὲ
λέγω ὑμῖν ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λό-
γου πορνείας ποιεῖ αὐτὴν μοιχᾶσθαι, καὶ ὃς ἐὰν ἀπολελυμένην
33 γαμήσῃ μοιχᾶται. Πάλιν ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις
34 Οὐκ ἐπιορκήσεις ἀποδώσεις δὲ τῷ κυρίῳ τοὺς ὅρκους σου. ἐ-
γὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως, μήτε ἐν τῷ οὐρανῷ ὅτι θρόνος
35 ἐστὶν τοῦ θεοῦ. μήτε ἐν τῇ γῇ ὅτι ὑποπόδιόν ἐστιν τῶν ποδῶν
αὐτοῦ μήτε εἰς Ἱεροσόλυμα ὅτι πόλις ἐστὶν τοῦ μεγάλου βα-
36 σιλέως. μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς ὅτι οὐ δύνασαι μίαν

---

v.25 εἰμί[vdpx2s] εὐνοέω[vppanms] ὁ[ddms] ἀντίδικος[ndms] σύ[rpg-s] ταχύς[bo] ἕως[c] ὅστις[rrgns] εἰμί[vipx2s] ἐν[p] ὁ[ddfs] ὁδός[ndfs] μετά[p] αὐτός[rpgms] μήποτε[bo] σύ[rpa-s] παραδίδωμι[vsaa3s] ὁ[dnms] ἀντίδικος[nnms] ὁ[ddms] κριτής[ndms] καί[c] ὁ[dnms] κριτής[nnms] σύ[rpa-s] παραδίδωμι[vsaa3s] ὁ[ddms] ὑπηρέτης[ndms] καί[c] εἰς[p] φυλακή[nafs] βάλλω[vifp2s]. **v.26** ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-s] οὐ[xo] μή[xo] ἐξέρχομαι[vsaa2s] ἐκεῖθεν[bo] ἕως[c] ἄν[xo] ἀποδίδωμι[vsaa2s] ὁ[dams] ἔσχατος[aamsn] κοδράντης[nams]. **v.27** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὁ[ddmp] ἀρχαῖος[admpn] οὐ[xo] μοιχεύω[vifa2s]. **v.28** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] πᾶς[anmsn] ὁ[dnms] βλέπω[vppanms] γυνή[nafs] πρός[p] ὁ[dans] ἐπιθυμέω[vnaa] αὐτός[rpgfs] ἤδη[bo] μοιχεύω[viaa3s] αὐτός[rpafs] ἐν[p] ὁ[ddfs] καρδία[ndfs] αὐτός[rpgms]. **v.29** εἰ[qo] δέ[c] ὁ[dnms] ὀφθαλμός[nnms] σύ[rpg-s] ὁ[dnms] δεξιός[anmsn] σκανδαλίζω[vipa3s] σύ[rpa-s] ἐξαιρέω[vdaa2s] αὐτός[rpams] καί[c] βάλλω[vdaa2s] ἀπό[p] σύ[rpg-s] συμφέρω[vipa3s] γάρ[c] σύ[rpd-s] ἵνα[c] ἀπόλλυμι[vsam3s] εἷς[nans] ὁ[dgnp] μέλος[ngnp] σύ[rpg-s] καί[c] μή[xo] ὅλος[annsn] ὁ[dnns] σῶμα[nnns] σύ[rpg-s] βάλλω[vsap3s] εἰς[p] γέεννα[nafs]. **v.30** καί[c] εἰ[qo] ὁ[dnfs] δεξιός[anfsn] σύ[rpg-s] χείρ[nnfs] σκανδαλίζω[vipa3s] σύ[rpa-s] ἐκκόπτω[vdaa2s] αὐτός[rpafs] καί[c] βάλλω[vdaa2s] ἀπό[p] σύ[rpg-s] συμφέρω[vipa3s] γάρ[c] σύ[rpd-s] ἵνα[c] ἀπόλλυμι[vsam3s] εἷς[nans] ὁ[dgnp] μέλος[ngnp] σύ[rpg-s] καί[c] μή[xo] ὅλος[annsn] ὁ[dnns] σῶμα[nnns] σύ[rpg-s] βάλλω[vsap3s] εἰς[p] γέεννα[nafs]. **v.31** λέγω[viap3s] δέ[c] ὅτι[c] ὅς[rrnms] ἄν[xo] ἀπολύω[vsaa3s] ὁ[dafs] γυνή[nafs] αὐτός[rpgms] δίδωμι[vdaa3s] αὐτός[rpdfs] ἀποστάσιον[nans]. **v.32** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ὅς[rrnms] ἄν[xo] ἀπολύω[vsaa3s] ὁ[dafs] γυνή[nafs] αὐτός[rpgms] παρεκτός[bo] λόγος[ngms] πορνεία[ngfs] ποιέω[vipa3s] αὐτός[rpafs] μοιχάομαι[vnpn] καί[c] ὅς[rrnms] ἐάν[qo] ἀπολύω[vpxpafs] γαμέω[vsaa3s] μοιχάομαι[vipn3s]. **v.33** πάλιν[bo] ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὁ[ddmp] ἀρχαῖος[admpn] οὐ[xo] ἐπιορκέω[vifa2s] ἀποδίδωμι[vifa2s] δέ[c] ὁ[ddms] κύριος[ndms] ὁ[damp] ὅρκος[namp] σύ[rpg-s]. **v.34** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] μή[xo] ὀμνύω[vnaa] ὅλως[bo] μήτε[c] ἐν[p] ὁ[ddms] οὐρανός[ndms] ὅτι[c] θρόνος[nnms] εἰμί[vipx3s] ὁ[dgms] θεός[ngms]. **v.35** μήτε[c] ἐν[p] ὁ[ddfs] γῆ[ndfs] ὅτι[c] ὑποπόδιον[nnns] εἰμί[vipx3s] ὁ[dgmp] πούς[ngmp] αὐτός[rpgms] μήτε[c] εἰς[p] Ἱεροσόλυμα[nafs] ὅτι[c] πόλις[nnfs] εἰμί[vipx3s] ὁ[dgms] μέγας[agmsn] βασιλεύς[ngms].

τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι. ἔστω δὲ ὁ λόγος ὑμῶν ναὶ 37
ναί οὒ οὔ, τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν. Ἠ- 38
κούσατε ὅτι ἐρρέθη Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ
ὀδόντος. ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ ὅσ- 39
τις σε ῥαπίσει ἐπί τὴν δεξιὰν σου σιαγόνα στρέψον αὐτῷ καὶ
τὴν ἄλλην, καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου 40
λαβεῖν ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον, καὶ ὅστις σε ἀγγαρεύσει μί- 41
λιον ἕν ὕπαγε μετ αὐτοῦ δύο. τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν 42
θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. Ἠκούσατε ὅτι 43
ἐρρέθη Ἀγαπήσεις τὸν πλησίον σου καὶ μισήσεις τὸν ἐχθρόν
σου. ἐγὼ δὲ λέγω ὑμῖν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν εὐλογειτε 44
τοὺς καταρωμένους ὑμᾶς καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς,
καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καὶ διωκόντων
ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς 45
ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ
βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. ἐὰν γὰρ ἀγαπήσητε τοὺς 46
ἀγαπῶντας ὑμᾶς τίνα μισθὸν ἔχετε οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ
ποιοῦσιν. καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον τί 47
περισσὸν ποιεῖτε οὐχὶ καὶ οἱ τελῶναι οὕτως ποιοῦσιν. Ἔσε- 48
σθε οὖν ὑμεῖς τέλειοι ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς
τέλειός ἐστιν.

---

v.36 μήτε[c] ἐν[p] ὁ[ddfs] κεφαλή[ndfs] σύ[rpg-s] ὀμνύω[vsaa2s] ὅτι[c] οὐ[xo] δύναμαι[vipn2s] εἷς[nafs] θρίξ[nafs] λευκός[aafsn] ἤ[xo] μέλας[aafsn] ποιέω[vnaa]. **v.37** εἰμί[vdpx3s] δέ[c] ὁ[dnms] λόγος[nnms] σύ[rpg-p] ναί[xo] ναί[xo] οὐ[xo] οὐ[xo] ὁ[dnns] δέ[c] περισσός[annsn] οὗτος[rdgmp] ἐκ[p] ὁ[dgms] πονηρός[agmsn] εἰμί[vipx3s]. **v.38** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὀφθαλμός[nams] ἀντί[p] ὀφθαλμός[ngms] καί[c] ὀδούς[nams] ἀντί[p] ὀδούς[ngms]. **v.39** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] μή[xo] ἀνθίστημι[vnaa] ὁ[ddms] πονηρός[admsn] ἀλλά[c] ὅστις[rrnms] σύ[rpa-s] ῥαπίζω[vifa3s] ἐπί[p] ὁ[dafs] δεξιός[aafsn] σύ[rpg-s] σιαγών[nafs] στρέφω[vdaa2s] αὐτός[rpdms] καί[c] ὁ[dafs] ἄλλος[aafsn]. **v.40** καί[c] ὁ[ddms] θέλω[vppadms] σύ[rpd-s] κρίνω[vnap] καί[c] ὁ[dams] χιτών[nams] σύ[rpg-s] λαμβάνω[vnaa] ἀφίημι[vdaa2s] αὐτός[rpdms] καί[c] ὁ[dans] ἱμάτιον[nans]. **v.41** καί[c] ὅστις[rrnms] σύ[rpa-s] ἀγγαρεύω[vifa3s] μίλιον[nans] εἷς[nans] ὑπάγω[vdpa2s] μετά[p] αὐτός[rpgms] δύο[tn]. **v.42** ὁ[ddms] αἰτέω[vppadms] σύ[rpa-s] δίδωμι[vdpa2s] καί[c] ὁ[dams] θέλω[vppaams] ἀπό[p] σύ[rpg-s] δανίζω[vnam] μή[xo] ἀποστρέφω[vsap2s]. **v.43** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ἀγαπάω[vifa2s] ὁ[dams] πλησίον[bo] σύ[rpg-s] καί[c] μισέω[vifa2s] ὁ[dams] ἐχθρός[aamsn] σύ[rpg-s]. **v.44** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ἀγαπάω[vdpa2p] ὁ[damp] ἐχθρός[aampn] σύ[rpg-p] εὐλογέω[vdpa2p] ὁ[damp] καταράομαι[vppnamp] σύ[rpa-p] καλῶς[bo] ποιέω[vdpa2p] ὁ[damp] μισέω[vppaamp] σύ[rpa-p] καί[c] προσεύχομαι[vdpn2p] ὑπέρ[p] ὁ[dgmp] ἐπηρεάζω[vppagmp] σύ[rpa-p] καί[c] διώκω[vppagmp] σύ[rpa-p]. **v.45** ὅπως[bo] γίνομαι[vsad2p] υἱός[nnmp] ὁ[dgms] πατήρ[ngms] σύ[rpg-p] ὁ[dgms] ἐν[p] οὐρανός[ndmp] ὅτι[c] ὁ[dams] ἥλιος[nams] αὐτός[rpgms] ἀνατέλλω[vipa3s] ἐπί[p] πονηρός[aampn] καί[c] ἀγαθός[aampn] καί[c] βρέχω[vipa3s] ἐπί[p] δίκαιος[aampn] καί[c] ἄδικος[aampn]. **v.46** ἐάν[qo] γάρ[c] ἀγαπάω[vsaa2p] ὁ[damp] ἀγαπάω[vppaamp] σύ[rpa-p] τίς[rqams] μισθός[nams] ἔχω[vipa2p] οὐχί[xo] καί[c] ὁ[dnmp] τελώνης[nnmp] ὁ[dans] αὐτός[rpans] ποιέω[vipa3p]. **v.47** καί[c] ἐάν[qo] ἀσπάζομαι[vsad2p] ὁ[damp] ἀδελφός[namp] σύ[rpg-p] μόνος[bo] τίς[rqans] περισσός[aansn] ποιέω[vipa2p] οὐχί[xo] καί[c] ὁ[dnmp] τελώνης[nnmp] οὕτω[bo] ποιέω[vipa3p]. **v.48** εἰμί[vifx2p] οὖν[c] σύ[rpn-p] τέλειος[anmpn] ὥσπερ[bo] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ὁ[dnms] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] τέλειος[anmsn] εἰμί[vipx3s].

6 Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν
ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς, εἰ δὲ μήγε, μισθὸν οὐκ
2 ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. Ὅταν οὖν
ποιῇς ἐλεημοσύνην μὴ σαλπίσῃς ἔμπροσθέν σου ὥσπερ οἱ ὑ-
ποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις ὅπως
δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων, ἀμὴν λέγω ὑμῖν ἀπέχουσιν τὸν
3 μισθὸν αὐτῶν. σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ ἀ-
4 ριστερά σου τί ποιεῖ ἡ δεξιά σου. ὅπως ᾖ σου ἡ ἐλεημοσύνη
ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ αὐτὸς
5 ἀποδώσει σοι ἐν τῷ φανερῷ. Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσ-
περ οἱ ὑποκριταί ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς
γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι ὅπως ἂν φανῶσιν
τοῖς ἀνθρώποις, ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσιν τὸν μισθὸν αὐ-
6 τῶν. σὺ δὲ ὅταν προσεύχῃ εἴσελθε εἰς τὸ ταμιεῖόν σου καὶ
κλείσας τὴν θύραν σου πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυ-
πτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν
7 τῷ φανερῷ. Προσευχόμενοι δὲ μὴ βαττολογήσητε, ὥσπερ οἱ
ἐθνικοί δοκοῦσιν γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθή-
8 σονται. μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς, οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὧν
9 χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. Οὕτως οὖν προσ-
εύχεσθε ὑμεῖς, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἁγιασθήτω τὸ

---

57 τούτῳ ταῦτα πάντα. καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ ὁ δὲ Ἰησοῦς
εἶπεν αὐτοῖς Οὐκ ἔστιν προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι
58 αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις
πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν.

14 Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετράρχης τὴν ἀ-
2 κοὴν Ἰησοῦ. καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ Οὗτός ἐστιν Ἰωάν-
νης ὁ βαπτιστής, αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν καὶ διὰ τοῦτο

---

v.49 οὕτω[bo] εἰμί[vifx3s] ἐν[p] ὁ[ddfs] συντέλεια[ndfs] ὁ[dgms] αἰών[ngms] ἐξέρχομαι[vifd3p] ὁ[dnmp] ἄγγελος[nnmp] καί[c] ἀφορίζω[vifa3p] ὁ[damp] πονηρός[aampn] ἐκ[p] μέσος[agnsn] ὁ[dgmp] δίκαιος[agmpn]. **v.50** καί[c] βάλλω[vifa3p] αὐτός[rpamp] εἰς[p] ὁ[dafs] κάμινος[nafs] ὁ[dgns] πῦρ[ngns] ἐκεῖ[bo] εἰμί[vifx3s] ὁ[dnms] κλαυθμός[nnms] καί[c] ὁ[dnms] βρυγμός[nnms] ὁ[dgmp] ὀδούς[ngmp]. **v.51** λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] συνίημι[viaa2p] οὗτος[rdanp] πᾶς[aanpn] λέγω[vipa3p] αὐτός[rpdms] ναί[xo] κύριος[nvms]. **v.52** ὁ[dnms] δέ[c] λέγω[viaa3s] αὐτός[rpdmp] διά[p] οὗτος[rdans] πᾶς[anmsn] γραμματεύς[nnms] μαθητεύω[vpapnms] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgmp] οὐρανός[ngmp] ὅμοιος[anmsn] εἰμί[vipx3s] ἄνθρωπος[ndms] οἰκοδεσπότης[ndms] ὅστις[rrnms] ἐκβάλλω[vipa3s] ἐκ[p] ὁ[dgms] θησαυρός[ngms] αὐτός[rpgms] καινός[aanpn] καί[c] παλαιός[aanpn]. **v.53** καί[c] γίνομαι[viad3s] ὅτε[bo] τελέω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dafp] παραβολή[nafp] οὗτος[rdafp] μεταίρω[viaa3s] ἐκεῖθεν[bo]. **v.54** καί[c] ἔρχομαι[vpaanms] εἰς[p] ὁ[dafs] πατρίς[nafs] αὐτός[rpgms] διδάσκω[viia3s] αὐτός[rpamp] ἐν[p] ὁ[ddfs] συναγωγή[ndfs] αὐτός[rpgmp] ὥστε[c] ἐκπλήσσω[vnpp] αὐτός[rpamp] καί[c] λέγω[vnpa] πόθεν[bo] οὗτος[rddms] ὁ[dnfs] σοφία[nnfs] οὗτος[rdnfs] καί[c] ὁ[dnfp] δύναμις[nnfp]. **v.55** οὐ[xo] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] ὁ[dgms] τέκτων[ngms] υἱός[nnms] οὐχί[xo] ὁ[dnfs] μήτηρ[nnfs] αὐτός[rpgms] λέγω[vipp3s] Μαρία[tp] καί[c] ὁ[dnmp] ἀδελφός[nnmp] αὐτός[rpgms] Ἰάκωβος[nnms] καί[c] Ἰωσῆς[nnms] καί[c] Σίμων[nnms] καί[c] Ἰούδας[nnms]. **v.56** καί[c] ὁ[dnfp] ἀδελφή[nnfp] αὐτός[rpgms] οὐχί[xo] πᾶς[anfpn] πρός[p] ἐγώ[rpa-p] εἰμί[vipx3p] πόθεν[bo] οὖν[c] οὗτος[rddms] οὗτος[rdnnp] πᾶς[annpn]. **v.57** καί[c] σκανδαλίζω[viip3p] ἐν[p] αὐτός[rpdms] ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] οὐ[xo] εἰμί[vipx3s] προφήτης[nnms] ἄτιμος[anmsn] εἰ[qo] μή[xo] ἐν[p] ὁ[ddfs] πατρίς[ndfs] αὐτός[rpgms] καί[c] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs] αὐτός[rpgms]. **v.58** καί[c] οὐ[xo] ποιέω[viaa3s] ἐκεῖ[bo] δύναμις[nafp] πολύς[aafpn] διά[p] ὁ[dafs] ἀπιστία[nafs] αὐτός[rpgmp]. **14. v.1** ἐν[p] ἐκεῖνος[rddms] ὁ[ddms] καιρός[ndms] ἀκούω[viaa3s] Ἡρῴδης[nnms] ὁ[dnms] τετραάρχης[nnms] ὁ[dafs] ἀκοή[nafs] Ἰησοῦς[ngms].

αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. Ὁ γὰρ Ἡρῴδης κρατήσας 3
τὸν Ἰωάννην ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρῳδιάδα
τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ἔλεγεν γὰρ αὐ- 4
τῷ ὁ Ἰωάννης Οὐκ ἔξεστίν σοι ἔχειν αὐτήν. καὶ θέλων αὐτὸν 5
ἀποκτεῖναι ἐφοβήθη τὸν ὄχλον ὅτι ὡς προφήτην αὐτὸν εἶχον.
γενεσίων δὲ ἀγομένων τοῦ Ἡρῴδου ὠρχήσατο ἡ θυγάτηρ τῆς 6
Ἡρῳδιάδος ἐν τῷ μέσῳ καὶ ἤρεσεν τῷ Ἡρῴδῃ. ὅθεν μεθ ὅρ- 7
κου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. ἡ δὲ προβι- 8
βασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς Δός μοι φησίν ὧδε ἐπὶ πίνακι
τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. καὶ ἐλυπηθη ὁ βασι- 9
λεὺς διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσεν
δοθῆναι. καὶ πέμψας ἀπεκεφάλισεν τὸν Ἰωάννην ἐν τῇ φυ- 10
λακῇ. καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι καὶ ἐδόθη τῷ 11
κορασίῳ καὶ ἤνεγκεν τῇ μητρὶ αὐτῆς. καὶ προσελθόντες οἱ 12
μαθηταὶ αὐτοῦ ἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό, καὶ ἐλθόντες
ἀπήγγειλαν τῷ Ἰησοῦ. καὶ Ἀκούσας ὁ Ἰησοῦς ἀνεχώρησεν 13
ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ ἰδίαν, Καὶ ἀκούσαντες
οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων. καὶ ἐξελ- 14
θὼν ὁ Ἰησοῦς εἶδεν πολὺν ὄχλον καὶ ἐσπλαγχνίσθη ἐπ αὐτούς,
καὶ ἐθεράπευσεν τοὺς ἀρρώστους αὐτῶν. ὀψίας δὲ γενομένης 15
προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες Ἔρημός ἐστιν ὁ

---

v.2 καί[c] λέγω[viaa3s] ὁ[ddmp] παῖς[ndmp] αὐτός[rpgms] οὗτος[rdnms] εἰμί[vipx3s] Ἰωάννης[nnms] ὁ[dnms] βαπτιστής[nnms] αὐτός[rpnms] ἐγείρω[viap3s] ἀπό[p] ὁ[dgmp] νεκρός[agmpn] καί[c] διά[p] οὗτος[rdans] ὁ[dnfp] δύναμις[nnfp] ἐνεργέω[vipa3p] ἐν[p] αὐτός[rpdms]. **v.3** ὁ[dnms] γάρ[c] Ἡρῴδης[nnms] κρατέω[vpaanms] ὁ[dams] Ἰωάννης[nams] δέω[viaa3s] αὐτός[rpams] καί[c] τίθημι[viam3s] ἐν[p] φυλακή[ndfs] διά[p] Ἡρῳδιάς[nafs] ὁ[dafs] γυνή[nafs] Φίλιππος[ngms] ὁ[dgms] ἀδελφός[ngms] αὐτός[rpgms]. **v.4** λέγω[viia3s] γάρ[c] αὐτός[rpdms] ὁ[dnms] Ἰωάννης[nnms] οὐ[xo] ἔξεστι[vipq3s] σύ[rpd-s] ἔχω[vnpa] αὐτός[rpafs]. **v.5** καί[c] θέλω[vppanms] αὐτός[rpams] ἀποκτείνω[vnaa] φοβέομαι[viao3s] ὁ[dams] ὄχλος[nams] ὅτι[c] ὡς[bo] προφήτης[nams] αὐτός[rpams] ἔχω[viia3p]. **v.6** γενέσια[ngnp] δέ[c] ἄγω[vpppgmp] ὁ[dgms] Ἡρῴδης[ngms] ὀρχέομαι[viad3s] ὁ[dnfs] θυγάτηρ[nnfs] ὁ[dgfs] Ἡρῳδιάς[ngfs] ἐν[p] ὁ[ddns] μέσος[adnsn] καί[c] ἀρέσκω[viaa3s] ὁ[ddms] Ἡρῴδης[ndms]. **v.7** ὅθεν[bo] μετά[p] ὅρκος[ngms] ὁμολογέω[viaa3s] αὐτός[rpdfs] δίδωμι[vnaa] ὅς[rrans] ἐάν[qo] αἰτέω[vsam3s]. **v.8** ὁ[dnfs] δέ[c] προβιβάζω[vpapnfs] ὑπό[p] ὁ[dgfs] μήτηρ[ngfs] αὐτός[rpgfs] δίδωμι[vdaa2s] ἐγώ[rpd-s] φημί[vipx3s] ὧδε[bo] ἐπί[p] πίναξ[ndfs] ὁ[dafs] κεφαλή[nafs] Ἰωάννης[ngms] ὁ[dgms] βαπτιστής[ngms]. **v.9** καί[c] λυπέω[viap3s] ὁ[dnms] βασιλεύς[nnms] διά[p] δέ[c] ὁ[damp] ὅρκος[namp] καί[c] ὁ[damp] συνανάκειμαι[vppnamp] κελεύω[viaa3s] δίδωμι[vnap]. **v.10** καί[c] πέμπω[vpaanms] ἀποκεφαλίζω[viaa3s] ὁ[dams] Ἰωάννης[nams] ἐν[p] ὁ[ddfs] φυλακή[ndfs]. **v.11** καί[c] φέρω[viap3s] ὁ[dnfs] κεφαλή[nnfs] αὐτός[rpgms] ἐπί[p] πίναξ[ndfs] καί[c] δίδωμι[viap3s] ὁ[ddns] κοράσιον[ndns] καί[c] φέρω[viaa3s] ὁ[ddfs] μήτηρ[ndfs] αὐτός[rpgfs]. **v.12** καί[c] προσέρχομαι[vpaanmp] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] αἴρω[viaa3p] ὁ[dans] σῶμα[nans] καί[c] θάπτω[viaa3p] αὐτός[rpans] καί[c] ἔρχομαι[vpaanmp] ἀπαγγέλλω[viaa3p] ὁ[ddms] Ἰησοῦς[ndms]. **v.13** καί[c] ἀκούω[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] ἀναχωρέω[viaa3s] ἐκεῖθεν[bo] ἐν[p] πλοῖον[ndns] εἰς[p] ἔρημος[aamsn] τόπος[nams] κατά[p] ἴδιος[aafsn] καί[c] ἀκούω[vpaanmp] ὁ[dnmp] ὄχλος[nnmp] ἀκολουθέω[viaa3p] αὐτός[rpdms] πεζῇ[bo] ἀπό[p] ὁ[dgfp] πόλις[ngfp]. **v.14** καί[c] ἐξέρχομαι[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁράω[viaa3s] πολύς[aamsn] ὄχλος[nams] καί[c] σπλαγχνίζομαι[viao3s] ἐπί[p] αὐτός[rpamp] καί[c] θεραπεύω[viaa3s] ὁ[damp] ἄρρωστος[aampn] αὐτός[rpgmp].

τόπος καὶ ἡ ὥρα ἤδη παρῆλθεν, ἀπόλυσον τοὺς ὄχλους ἵνα ἀ-
16 πελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα. ὁ δὲ
Ἰησοῦς εἶπεν αὐτοῖς Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν δότε αὐτοῖς
17 ὑμεῖς φαγεῖν. οἱ δὲ λέγουσιν αὐτῷ Οὐκ ἔχομεν ὧδε εἰ μὴ
18 πέντε ἄρτους καὶ δύο ἰχθύας. ὁ δὲ εἶπεν Φέρετέ μοι αὐτούς
19 ὧδε. καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους
καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας
εἰς τὸν οὐρανὸν εὐλόγησεν καὶ κλάσας ἔδωκεν τοῖς μαθηταῖς
20 τοὺς ἄρτους οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. καὶ ἔφαγον πάντες
καὶ ἐχορτάσθησαν καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώ-
21 δεκα κοφίνους πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ
22 πεντακισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων. Καὶ εὐθέως ἠ-
νάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον
καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους.
23 καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ ἰδίαν προσ-
24 εύξασθαι ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ. τὸ δὲ πλοῖον
ἤδη μέσον τῆς θαλάσσης ἦν βασανιζόμενον ὑπὸ τῶν κυμάτων
25 ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀ-
πῆλθεν πρὸς αὐτοὺς ὁ Ἰησοῦς, περιπατῶν ἐπὶ τῆς θαλάσσης.
26 καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τήν θάλασσαν περιπατοῦντα
ἐταράχθησαν λέγοντες ὅτι Φάντασμά ἐστιν καὶ ἀπὸ τοῦ φόβου

---

v.15 ὄψιος[agfsn] δέ[c] γίνομαι[vpadgfs] προσέρχομαι[viaa3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] λέγω[vppanmp] ἔρημος[anmsn] εἰμί[vipx3s] ὁ[dnms] τόπος[nnms] καί[c] ὁ[dnfs] ὥρα[nnfs] ἤδη[bo] παρέρχομαι[viaa3s] ἀπολύω[vdaa2s] ὁ[damp] ὄχλος[namp] ἵνα[c] ἀπέρχομαι[vpaanmp] εἰς[p] ὁ[dafp] κώμη[nafp] ἀγοράζω[vsaa3p] ἑαυτοῦ[rxdmp] βρῶμα[nanp]. **v.16** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] οὐ[xo] χρεία[nafs] ἔχω[vipa3p] ἀπέρχομαι[vnaa] δίδωμι[vdaa2p] αὐτός[rpdmp] σύ[rpn-p] ἐσθίω[vnaa]. **v.17** ὁ[dnmp] δέ[c] λέγω[vipa3p] αὐτός[rpdms] οὐ[xo] ἔχω[vipa1p] ὧδε[bo] εἰ[qo] μή[xo] πέντε[tn] ἄρτος[namp] καί[c] δύο[tn] ἰχθύς[namp]. **v.18** ὁ[dnms] δέ[c] λέγω[viaa3s] φέρω[vdpa2p] ἐγώ[rpd-s] αὐτός[rpamp] ὧδε[bo]. **v.19** καί[c] κελεύω[vpaanms] ὁ[damp] ὄχλος[namp] ἀνακλίνω[vnap] ἐπί[p] ὁ[damp] χόρτος[namp] καί[c] λαμβάνω[vpaanms] ὁ[damp] πέντε[tn] ἄρτος[namp] καί[c] ὁ[damp] δύο[tn] ἰχθύς[namp] ἀναβλέπω[vpaanms] εἰς[p] ὁ[dams] οὐρανός[nams] εὐλογέω[viaa3s] καί[c] κλάω[vpaanms] δίδωμι[viaa3s] ὁ[ddmp] μαθητής[ndmp] ὁ[damp] ἄρτος[namp] ὁ[dnmp] δέ[c] μαθητής[nnmp] ὁ[ddmp] ὄχλος[ndmp]. **v.20** καί[c] ἐσθίω[viaa3p] πᾶς[anmpn] καί[c] χορτάζω[viap3p] καί[c] αἴρω[viaa3p] ὁ[dans] περισσεύω[vppaans] ὁ[dgnp] κλάσμα[ngnp] δώδεκα[tn] κόφινος[namp] πλήρης[aampn]. **v.21** ὁ[dnmp] δέ[c] ἐσθίω[vppanmp] εἰμί[viix3p] ἀνήρ[nnmp] ὡσεί[bo] πεντακισχίλιοι[nnmp] χωρίς[bo] γυνή[ngfp] καί[c] παιδίον[ngnp]. **v.22** καί[c] εὐθέως[bo] ἀναγκάζω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[damp] μαθητής[namp] αὐτός[rpgms] ἐμβαίνω[vnaa] εἰς[p] ὁ[dans] πλοῖον[nans] καί[c] προάγω[vnpa] αὐτός[rpams] εἰς[p] ὁ[dans] πέραν[bo] ἕως[c] ὅς[bo] ἀπολύω[vsaa3s] ὁ[damp] ὄχλος[namp]. **v.23** καί[c] ἀπολύω[vpaanms] ὁ[damp] ὄχλος[namp] ἀναβαίνω[viaa3s] εἰς[p] ὁ[dans] ὄρος[nans] κατά[p] ἴδιος[aafsn] προσεύχομαι[vnad] ὄψιος[agfsn] δέ[c] γίνομαι[vpadgfs] μόνος[anmsn] εἰμί[viix3s] ἐκεῖ[bo]. **v.24** ὁ[dnns] δέ[c] πλοῖον[nnns] ἤδη[bo] μέσος[aansn] ὁ[dgfs] θάλασσα[ngfs] εἰμί[viix3s] βασανίζω[vpppnns] ὑπό[p] ὁ[dgnp] κῦμα[ngnp] εἰμί[viix3s] γάρ[c] ἐναντίος[anmsn] ὁ[dnms] ἄνεμος[nnms]. **v.25** τέταρτος[adfsn] δέ[c] φυλακή[ndfs] ὁ[dgfs] νύξ[ngfs] ἀπέρχομαι[viaa3s] πρός[p] αὐτός[rpamp] ὁ[dnms] Ἰησοῦς[nnms] περιπατέω[vppanms] ἐπί[p] ὁ[dgfs] θάλασσα[ngfs].

ἔκραξαν. εὐθὲως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς λέγων Θαρ- 27
σεῖτε ἐγώ εἰμι, μὴ φοβεῖσθε. ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος 28
εἶπεν Κύριε εἰ σὺ εἶ κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα.
ὁ δὲ εἶπεν Ἐλθέ καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος περι- 29
επάτησεν ἐπὶ τὰ ὕδατα ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. βλέπων δὲ 30
τὸν ἄνεμον ἰσχυρὸν ἐφοβήθη καὶ ἀρξάμενος καταποντίζεσθαι
ἔκραξεν λέγων Κύριε σῶσόν με. εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτεί- 31
νας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ Ὀλιγόπιστε εἰς
τί ἐδίστασας. καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον ἐκόπασεν ὁ 32
ἄνεμος. οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες προσεκύνησαν αὐτῷ λέ- 33
γοντες Ἀληθῶς θεοῦ υἱὸς εἶ. Καὶ διαπεράσαντες ἦλθον εἰς τὴν 34
γῆν Γεννησαρέτ. καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου 35
ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην καὶ προσ-
ήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας. καὶ παρεκάλουν 36
αὐτὸν ἵνα μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ,
καὶ ὅσοι ἥψαντο διεσώθησαν.
Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ Ἱεροσολύμων γραμμα- **15**
τεῖς καὶ Φαρισαῖοι λέγοντες. Διατί οἱ μαθηταί σου παραβαί- 2
νουσιν τὴν παράδοσιν τῶν πρεσβυτέρων οὐ γὰρ νίπτονται τὰς
χεῖρας αὐτῶν ὅταν ἄρτον ἐσθίωσιν. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐ- 3
τοῖς Διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ Διὰ τὴν

---

v.26 καί[c] ὁράω[vpaanmp] αὐτός[rpams] ὁ[dnmp] μαθητής[nnmp] ἐπί[p] ὁ[dafs] θάλασσα[nafs] περιπατέω[vppaams] ταράσσω[viap3p] λέγω[vppanmp] ὅτι[c] φάντασμα[nnns] εἰμί[vipx3s] καί[c] ἀπό[p] ὁ[dgms] φόβος[ngms] κράζω[viaa3p]. **v.27** εὐθέως[bo] δέ[c] λαλέω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[vppanms] θαρσέω[vdpa2p] ἐγώ[rpn-s] εἰμί[vipx1s] μή[xo] φοβέομαι[vdpn2p]. **v.28** ἀποκρίνομαι[vpaonms] δέ[c] αὐτός[rpdms] ὁ[dnms] Πέτρος[nnms] λέγω[viaa3s] κύριος[nvms] εἰ[qo] σύ[rpn-s] εἰμί[vipx2s] κελεύω[vdaa2s] ἐγώ[rpa-s] πρός[p] σύ[rpa-s] ἔρχομαι[vnaa] ἐπί[p] ὁ[danp] ὕδωρ[nanp]. **v.29** ὁ[dnms] δέ[c] λέγω[viaa3s] ἔρχομαι[vdaa2s] καί[c] καταβαίνω[vpaanms] ἀπό[p] ὁ[dgns] πλοῖον[ngns] ὁ[dnms] Πέτρος[nnms] περιπατέω[viaa3s] ἐπί[p] ὁ[danp] ὕδωρ[nanp] ἔρχομαι[vnaa] πρός[p] ὁ[dams] Ἰησοῦς[nams]. **v.30** βλέπω[vppanms] δέ[c] ὁ[dams] ἄνεμος[nams] ἰσχυρός[aamsn] φοβέομαι[viao3s] καί[c] ἄρχω[vpamnms] καταποντίζω[vnpp] κράζω[viaa3s] λέγω[vppanms] κύριος[nvms] σῴζω[vdaa2s] ἐγώ[rpa-s]. **v.31** εὐθέως[bo] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] ἐκτείνω[vpaanfs] ὁ[dafs] χείρ[nafs] ἐπιλαμβάνομαι[viad3s] αὐτός[rpgms] καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ὀλιγόπιστος[avmsn] εἰς[p] τίς[rqans] διστάζω[viaa2s]. **v.32** καί[c] ἐμβαίνω[vpaagmp] αὐτός[rpgmp] εἰς[p] ὁ[dans] πλοῖον[nans] κοπάζω[viaa3s] ὁ[dnms] ἄνεμος[nnms]. **v.33** ὁ[dnmp] δέ[c] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] ἔρχομαι[vpaanmp] προσκυνέω[viaa3p] αὐτός[rpdms] λέγω[vppanmp] ἀληθῶς[bo] θεός[ngms] υἱός[nnms] εἰμί[vipx2s]. **v.34** καί[c] διαπεράω[vpaanmp] ἔρχομαι[viaa3p] εἰς[p] ὁ[dafs] γῆ[nafs] Γεννησαρέτ[tp]. **v.35** καί[c] ἐπιγινώσκω[vpaanmp] αὐτός[rpams] ὁ[dnmp] ἀνήρ[nnmp] ὁ[dgms] τόπος[ngms] ἐκεῖνος[rdgms] ἀποστέλλω[viaa3p] εἰς[p] ὅλος[aafsn] ὁ[dafs] περίχωρος[aafsn] ἐκεῖνος[rdafs] καί[c] προσφέρω[viaa3p] αὐτός[rpdms] πᾶς[aampn] ὁ[damp] κακῶς[bo] ἔχω[vppaamp]. **v.36** καί[c] παρακαλέω[viia3p] αὐτός[rpams] ἵνα[c] μόνος[bo] ἅπτω[vsam3p] ὁ[dgns] κράσπεδον[ngns] ὁ[dgns] ἱμάτιον[ngns] αὐτός[rpgms] καί[c] ὅσος[rcnmp] ἅπτω[viad3p] διασῴζω[viap3p]. **15. v.1** τότε[bo] προσέρχομαι[vipn3p] ὁ[ddms] Ἰησοῦς[ndms] ὁ[dnmp] ἀπό[p] Ἱεροσόλυμα[ngnp] γραμματεύς[nnmp] καί[c] Φαρισαῖος[nnmp] λέγω[vppanmp]. **v.2** διά&τίς[xo] ὁ[dnmp] μαθητής[nnmp] σύ[rpg-s] παραβαίνω[vipa3p] ὁ[dafs] παράδοσις[nafs] ὁ[dgmp] πρεσβύτερος[agmpn] οὐ[xo] γάρ[c] νίπτω[vipm3p] ὁ[dafp] χείρ[nafp] αὐτός[rpgmp] ὅταν[c] ἄρτος[nams] ἐσθίω[vspa3p].

4 παράδοσιν ὑμῶν. ὁ γὰρ θεὸς ἐνετείλατο λέγων, Τίμα τὸν πα-
τέρα σοῦ, καὶ τὴν μητέρα καί Ὁ κακολογῶν πατέρα ἢ μητέρα
5 θανάτῳ τελευτάτω. ὑμεῖς δὲ λέγετε Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ
6 μητρί Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς. καὶ οὐ μὴ τιμήσῃ τὸν
πατέρα αὐτοῦ, ἢ τὴν μητέρα αὐτοῦ, καὶ ἠκυρώσατε τὴν ἐντολὴν
7 τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν. ὑποκριταί καλῶς Προεφή-
8 τευσεν περὶ ὑμῶν Ἠσαΐας λέγων. Ἐγγίζει μοι Ὁ λαὸς οὗτος
τῷ στόματι αὐτῶν καὶ τοῖς χείλεσίν με τιμᾷ ἡ δὲ καρδία αὐτῶν,
9 πόρρω ἀπέχει ἀπ ἐμοῦ, μάτην δὲ σέβονταί με διδάσκοντες δι-
10 δασκαλίας ἐντάλματα ἀνθρώπων. Καὶ προσκαλεσάμενος τὸν
11 ὄχλον εἶπεν αὐτοῖς Ἀκούετε καὶ συνίετε, οὐ τὸ εἰσερχόμενον
εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ
12 τοῦ στόματος τοῦτο κοινοῖ τὸν ἄνθρωπον. Τότε προσελθόντες
οἱ μαθηταὶ αὐτοῦ εἶπον αὐτῷ Οἶδας ὅτι οἱ Φαρισαῖοι ἀκούσαν-
13 τες τὸν λόγον ἐσκανδαλίσθησαν. ὁ δὲ ἀποκριθεὶς εἶπεν Πᾶσα
φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθή-
14 σεται. ἄφετε αὐτούς, ὁδηγοί εἰσιν τυφλοί τυφλῶν, τυφλὸς δὲ
15 τυφλὸν ἐὰν ὁδηγῇ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. Ἀποκρι-
θεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ Φράσον ἡμῖν τὴν παραβολήν ταύ-
16, 17 την. ὁ δὲ Ἰησοῦς εἶπεν Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε. οὔπω

---

v.3 ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] αὐτός[rpdmp] διά&τίς[xo] καί[c] σύ[rpn-p] παραβαίνω[vipa2p] ὁ[dafs] ἐντολή[nafs] ὁ[dgms] θεός[ngms] διά[p] ὁ[dafs] παράδοσις[nafs] σύ[rpg-p]. **v.4** ὁ[dnms] γάρ[c] θεός[nnms] ἐντέλλομαι[viad3s] λέγω[vppanms] τιμάω[vdpa2s] ὁ[dams] πατήρ[nams] σύ[rpg-s] καί[c] ὁ[dafs] μήτηρ[nafs] καί[c] ὁ[dnms] κακολογέω[vppanms] πατήρ[nams] ἤ[xo] μήτηρ[nafs] θάνατος[ndms] τελευτάω[vdpa3s]. **v.5** σύ[rpn-p] δέ[c] λέγω[vipa2p] ὅς[rrnms] ἄν[xo] λέγω[vsaa3s] ὁ[ddms] πατήρ[ndms] ἤ[xo] ὁ[ddfs] μήτηρ[ndfs] δῶρον[nnns] ὅς[rrans] ἐάν[qo] ἐκ[p] ἐγώ[rpg-s] ὠφελέω[vsap2s]. **v.6** καί[c] οὐ[xo] μή[xo] τιμάω[vsaa3s] ὁ[dams] πατήρ[nams] αὐτός[rpgms] ἤ[xo] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] καί[c] ἀκυρόω[viaa2p] ὁ[dafs] ἐντολή[nafs] ὁ[dgms] θεός[ngms] διά[p] ὁ[dafs] παράδοσις[nafs] σύ[rpg-p]. **v.7** ὑποκριτής[nvmp] καλῶς[bo] προφητεύω[viaa3s] περί[p] σύ[rpg-p] Ἠσαΐας[nnms] λέγω[vppanms]. **v.8** ἐγγίζω[vipa3s] ἐγώ[rpd-s] ὁ[dnms] λαός[nnms] οὗτος[rdnms] ὁ[ddns] στόμα[ndns] αὐτός[rpgmp] καί[c] ὁ[ddnp] χεῖλος[ndnp] ἐγώ[rpa-s] τιμάω[vipa3s] ὁ[dnfs] δέ[c] καρδία[nnfs] αὐτός[rpgmp] πόρρω[bo] ἀπέχω[vipa3s] ἀπό[p] ἐγώ[rpg-s]. **v.9** μάτην[bo] δέ[c] σέβω[vipn3p] ἐγώ[rpa-s] διδάσκω[vppanmp] διδασκαλία[nafp] ἔνταλμα[nanp] ἄνθρωπος[ngmp]. **v.10** καί[c] προσκαλέομαι[vpadnms] ὁ[dams] ὄχλος[nams] λέγω[viaa3s] αὐτός[rpdmp] ἀκούω[vdpa2p] καί[c] συνίημι[vdpa2p]. **v.11** οὐ[xo] ὁ[dnns] εἰσέρχομαι[vppnnns] εἰς[p] ὁ[dans] στόμα[nans] κοινόω[vipa3s] ὁ[dams] ἄνθρωπος[nams] ἀλλά[c] ὁ[dnns] ἐκπορεύομαι[vppnnns] ἐκ[p] ὁ[dgns] στόμα[ngns] οὗτος[rdnns] κοινόω[vipa3s] ὁ[dams] ἄνθρωπος[nams]. **v.12** τότε[bo] προσέρχομαι[vpaanmp] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] λέγω[viaa3p] αὐτός[rpdms] οἶδα[vixa2s] ὅτι[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] ἀκούω[vpaanmp] ὁ[dams] λόγος[nams] σκανδαλίζω[viap3p]. **v.13** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] πᾶς[anfsn] φυτεία[nnfs] ὅς[rrafs] οὐ[xo] φυτεύω[viaa3s] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ὁ[dnms] οὐράνιος[anmsn] ἐκριζόω[vifp3s]. **v.14** ἀφίημι[vdaa2p] αὐτός[rpamp] ὁδηγός[nnmp] εἰμί[vipx3p] τυφλός[anmpn] τυφλός[agmpn] τυφλός[anmsn] δέ[c] τυφλός[aamsn] ἐάν[qo] ὁδηγέω[vspa3s] ἀμφότεροι[anmpn] εἰς[p] βόθυνος[nams] πίπτω[vifn3p]. **v.15** ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] Πέτρος[nnms] λέγω[viaa3s] αὐτός[rpdms] φράζω[vdaa2s] ἐγώ[rpd-p] ὁ[dafs] παραβολή[nafs] οὗτος[rdafs]. **v.16** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] ἀκμήν[nafs] καί[c] σύ[rpn-p] ἀσύνετος[anmpn] εἰμί[vipx2p].

νοεῖτε ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν
χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται. τὰ δὲ ἐκπορευόμενα ἐκ 18
τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται κἀκεῖνα κοινοῖ τὸν ἄν-
θρωπον. ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί 19
φόνοι μοιχεῖαι πορνεῖαι κλοπαί ψευδομαρτυρίαι βλασφημίαι.
ταῦτά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον τὸ δὲ ἀνίπτοις χερσὶν 20
φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον. Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς 21
ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. καὶ ἰδοὺ γυνὴ 22
Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἔκραύγασεν αὐτῷ
λέγουσα Ἐλέησόν με κύριε υἱὲ Δαβίδ, ἡ θυγάτηρ μου κακῶς
δαιμονίζεται. ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον καὶ προσελθόν- 23
τες οἱ μαθηταὶ αὐτοῦ ἠρώτων αὐτὸν λέγοντες Ἀπόλυσον αὐτήν
ὅτι κράζει ὄπισθεν ἡμῶν. ὁ δὲ ἀποκριθεὶς εἶπεν Οὐκ ἀπεστά- 24
λην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. ἡ δὲ 25
ἐλθοῦσα προσεκύνει αὐτῷ λέγουσα Κύριε βοήθει μοι. ὁ δὲ 26
ἀποκριθεὶς εἶπεν Οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων
καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δὲ εἶπεν Ναί κύριε καὶ γὰρ τὰ 27
κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέ-
ζης τῶν κυρίων αὐτῶν. τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ 28
Ὦ γύναι μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις καὶ ἰάθη
ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης. Καὶ μεταβὰς ἐκεῖθεν 29

---

v.17 οὔπω[bo] νοέω[vipa2p] ὅτι[c] πᾶς[annsn] ὁ[dnns] εἰσπορεύομαι[vppnnns] εἰς[p] ὁ[dans] στόμα[nans] εἰς[p] ὁ[dafs] κοιλία[nafs] χωρέω[vipa3s] καί[c] εἰς[p] ἀφεδρών[nams] ἐκβάλλω[vipp3s]. **v.18** ὁ[dnnp] δέ[c] ἐκπορεύομαι[vppnnnp] ἐκ[p] ὁ[dgns] στόμα[ngns] ἐκ[p] ὁ[dgfs] καρδία[ngfs] ἐξέρχομαι[vipn3s] κἀκεῖνος[rdnnp] κοινόω[vipa3s] ὁ[dams] ἄνθρωπος[nams]. **v.19** ἐκ[p] γάρ[c] ὁ[dgfs] καρδία[ngfs] ἐξέρχομαι[vipn3p] διαλογισμός[nnmp] πονηρός[anmpn] φόνος[nnmp] μοιχεία[nnfp] πορνεία[nnfp] κλοπή[nnfp] ψευδομαρτυρία[nnfp] βλασφημία[nnfp]. **v.20** οὗτος[rdnnp] εἰμί[vipx3s] ὁ[dnnp] κοινόω[vppannp] ὁ[dams] ἄνθρωπος[nams] ὁ[dnns] δέ[c] ἄνιπτος[admpn] χείρ[ndfp] ἐσθίω[vnaa] οὐ[xo] κοινόω[vipa3s] ὁ[dams] ἄνθρωπος[nams]. **v.21** καί[c] ἐξέρχομαι[vpaanms] ἐκεῖθεν[bo] ὁ[dnms] Ἰησοῦς[nnms] ἀναχωρέω[viaa3s] εἰς[p] ὁ[danp] μέρος[nanp] Τύρος[ngfs] καί[c] Σιδών[ngfs]. **v.22** καί[c] ἰδού[vdaa2s] γυνή[nnfs] Χαναναῖος[anfsn] ἀπό[p] ὁ[dgnp] ὅριον[ngnp] ἐκεῖνος[rdgnp] ἐξέρχομαι[vpaanfs] κραυγάζω[viaa3s] αὐτός[rpdms] λέγω[vppanfs] ἐλεέω[vdaa2s] ἐγώ[rpa-s] κύριος[nvms] υἱός[nvms] Δαυίδ[tp] ὁ[dnfs] θυγάτηρ[nnfs] ἐγώ[rpg-s] κακῶς[bo] δαιμονίζομαι[vipn3s]. **v.23** ὁ[dnms] δέ[c] οὐ[xo] ἀποκρίνομαι[viad3s] αὐτός[rpdfs] λόγος[nams] καί[c] προσέρχομαι[vpaanmp] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ἐρωτάω[viia3p] αὐτός[rpams] λέγω[vppanmp] ἀπολύω[vdaa2s] αὐτός[rpafs] ὅτι[c] κράζω[vipa3s] ὄπισθεν[bo] ἐγώ[rpg-p]. **v.24** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] οὐ[xo] ἀποστέλλω[viap1s] εἰ[qo] μή[xo] εἰς[p] ὁ[danp] πρόβατον[nanp] ὁ[danp] ἀπόλλυμι[vpxaanp] οἶκος[ngms] Ἰσραήλ[tp]. **v.25** ὁ[dnfs] δέ[c] ἔρχομαι[vpaanfs] προσκυνέω[viia3s] αὐτός[rpdms] λέγω[vppanfs] κύριος[nvms] βοηθέω[vdpa2s] ἐγώ[rpd-s]. **v.26** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] οὐ[xo] εἰμί[vipx3s] καλός[annsn] λαμβάνω[vnaa] ὁ[dams] ἄρτος[nams] ὁ[dgnp] τέκνον[ngnp] καί[c] βάλλω[vnaa] ὁ[ddnp] κυνάριον[ndnp]. **v.27** ὁ[dnfs] δέ[c] λέγω[viaa3s] ναί[xo] κύριος[nvms] καί[c] γάρ[c] ὁ[dnnp] κυνάριον[nnnp] ἐσθίω[vipa3s] ἀπό[p] ὁ[dgnp] ψιχίον[ngnp] ὁ[dgnp] πίπτω[vppagnp] ἀπό[p] ὁ[dgfs] τράπεζα[ngfs] ὁ[dgmp] κύριος[ngmp] αὐτός[rpgnp]. **v.28** τότε[bo] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdfs] ὦ[i] γυνή[nvfs] μέγας[anfsn] σύ[rpg-s] ὁ[dnfs] πίστις[nnfs] γίνομαι[vdao3s] σύ[rpd-s] ὡς[bo] θέλω[vipa2s] καί[c] ἰάομαι[viap3s] ὁ[dnfs] θυγάτηρ[nnfs] αὐτός[rpgfs] ἀπό[p] ὁ[dgfs] ὥρα[ngfs] ἐκεῖνος[rdgfs].

ὁ Ἰησοῦς ἦλθεν παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας καὶ ἀναβὰς
30 εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ. καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ
ἔχοντες μεθ ἑαυτῶν χωλούς τυφλούς κωφούς κυλλούς καὶ ἑτέ-
ρους πολλούς καὶ ἔρριψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ
31 καὶ ἐθεράπευσεν αὐτούς, ὥστε τοὺς ὄχλους θαυμάσαι βλέπον-
τας κωφοὺς λαλοῦντας κυλλοὺς ὑγιεῖς χωλοὺς περιπατοῦντας
32 καὶ τυφλοὺς βλέποντας, καὶ ἐδόξασαν τὸν θεὸν Ἰσραήλ. Ὁ δὲ
Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν Σπλαγ-
χνίζομαι ἐπὶ τὸν ὄχλον ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσίν μοι
καὶ οὐκ ἔχουσιν τί φάγωσιν, καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ
33 θέλω μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. καὶ λέγουσιν αὐτῷ οἱ μα-
θηταί αὐτοῦ, Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι ὥστε χορτά-
34 σαι ὄχλον τοσοῦτον. καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς Πόσους ἄρτους
35 ἔχετε οἱ δὲ εἶπον, Ἑπτά καὶ ὀλίγα ἰχθύδια. καὶ ἐκέλευσεν τοῖς
36 ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν. καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ
τοὺς ἰχθύας εὐχαριστήσας ἔκλασεν καὶ ἔδωκεν τοῖς μαθηταῖς
37 αὐτοῦ, οἱ δὲ μαθηταὶ τῷ ὄχλῳ. καὶ ἔφαγον πάντες καὶ ἐχορτά-
σθησαν καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων ἑπτὰ σπυρίδας
38 πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες χωρὶς
39 γυναικῶν καὶ παιδίων. Καὶ ἀπολύσας τοὺς ὄχλους ἐνέβη εἰς
τὸ πλοῖον καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.

---

v.29 καί[c] μεταβαίνω[vpaanms] ἐκεῖθεν[bo] ὁ[dnms] Ἰησοῦς[nnms] ἔρχομαι[viaa3s] παρά[p] ὁ[dafs] θάλασσα[nafs] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] ἀναβαίνω[vpaanms] εἰς[p] ὁ[dans] ὄρος[nans] κάθημαι[viin3s] ἐκεῖ[bo]. **v.30** καί[c] προσέρχομαι[viaa3p] αὐτός[rpdms] ὄχλος[nnmp] πολύς[anmpn] ἔχω[vppanmp] μετά[p] ἑαυτοῦ[rxgmp] χωλός[aampn] τυφλός[aampn] κωφός[aampn] κυλλός[aampn] καί[c] ἕτερος[aampn] πολύς[aampn] καί[c] ῥίπτω[viaa3p] αὐτός[rpamp] παρά[p] ὁ[damp] πούς[namp] ὁ[dgms] Ἰησοῦς[ngms] καί[c] θεραπεύω[viaa3s] αὐτός[rpamp]. **v.31** ὥστε[c] ὁ[damp] ὄχλος[namp] θαυμάζω[vnaa] βλέπω[vppaamp] κωφός[aampn] λαλέω[vppaamp] κυλλός[aampn] ὑγιής[aampn] χωλός[aampn] περιπατέω[vppaamp] καί[c] τυφλός[aampn] βλέπω[vppaamp] καί[c] δοξάζω[viaa3p] ὁ[dams] θεός[nams] Ἰσραήλ[tp]. **v.32** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] προσκαλέομαι[vpadnms] ὁ[damp] μαθητής[namp] αὐτός[rpgms] λέγω[viaa3s] σπλαγχνίζομαι[vipn1s] ἐπί[p] ὁ[dams] ὄχλος[nams] ὅτι[c] ἤδη[bo] ἡμέρα[nafp] τρεῖς[nafp] προσμένω[vipa3p] ἐγώ[rpd-s] καί[c] οὐ[xo] ἔχω[vipa3p] τίς[rqans] ἐσθίω[vsaa3p] καί[c] ἀπολύω[vnaa] αὐτός[rpamp] νῆστις[aampn] οὐ[xo] θέλω[vipa1s] μήποτε[bo] ἐκλύω[vsap3p] ἐν[p] ὁ[ddfs] ὁδός[ndfs]. **v.33** καί[c] λέγω[vipa3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] πόθεν[bo] ἐγώ[rpd-p] ἐν[p] ἐρημία[ndfs] ἄρτος[nnmp] τοσοῦτος[rdnmp] ὥστε[c] χορτάζω[vnaa] ὄχλος[nams] τοσοῦτος[rdams]. **v.34** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] πόσος[roamp] ἄρτος[namp] ἔχω[vipa2p] ὁ[dnmp] δέ[c] λέγω[viaa3p] ἑπτά[tn] καί[c] ὀλίγος[aanpn] ἰχθύδιον[nanp]. **v.35** καί[c] κελεύω[viaa3s] ὁ[ddmp] ὄχλος[ndmp] ἀναπίπτω[vnaa] ἐπί[p] ὁ[dafs] γῆ[nafs]. **v.36** καί[c] λαμβάνω[vpaanms] ὁ[damp] ἑπτά[tn] ἄρτος[namp] καί[c] ὁ[damp] ἰχθύς[namp] εὐχαριστέω[vpaanms] κλάω[viaa3s] καί[c] δίδωμι[viaa3s] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ὁ[dnmp] δέ[c] μαθητής[nnmp] ὁ[ddms] ὄχλος[ndms]. **v.37** καί[c] ἐσθίω[viaa3p] πᾶς[anmpn] καί[c] χορτάζω[viap3p] καί[c] αἴρω[viaa3p] ὁ[dans] περισσεύω[vppaans] ὁ[dgnp] κλάσμα[ngnp] ἑπτά[tn] σπυρίς[nafp] πλήρης[aafpn]. **v.38** ὁ[dnmp] δέ[c] ἐσθίω[vppanmp] εἰμί[viix3p] τετρακισχίλιοι[nnmp] ἀνήρ[nnmp] χωρίς[bo] γυνή[ngfp] καί[c] παιδίον[ngnp]. **v.39** καί[c] ἀπολύω[vpaanms] ὁ[damp] ὄχλος[namp] ἐμβαίνω[viaa3s] εἰς[p] ὁ[dans] πλοῖον[nans] καί[c] ἔρχομαι[viaa3s] εἰς[p] ὁ[danp] ὅριον[nanp] Μαγδαλά[tp].

Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι πειράζον- **16**
τες ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐ-
τοῖς. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς Ὀψίας γενομένης λέγετε 2
Εὐδία πυρράζει γὰρ ὁ οὐρανός, καὶ πρωΐ Σήμερον χειμών 3
πυρράζει γὰρ στυγνάζων ὁ οὐρανός ὑποκριταί, τὸ μὲν πρόσω-
πον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν τὰ δὲ σημεῖα τῶν και-
ρῶν οὐ δύνασθε. Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ 4
καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ
προφήτου. καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθεν. Καὶ ἐλθόντες οἱ 5
μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν ἐπελάθοντο ἄρτους λαβεῖν. ὁ δὲ 6
Ἰησοῦς εἶπεν αὐτοῖς Ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν
Φαρισαίων καὶ Σαδδουκαίων. οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς 7
λέγοντες ὅτι Ἄρτους οὐκ ἐλάβομεν. γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν 8
αὐτοῖς, Τί διαλογίζεσθε ἐν ἑαυτοῖς ὀλιγόπιστοι ὅτι ἄρτους οὐκ
ἐλάβετε· οὔπω νοεῖτε οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν 9
πεντακισχιλίων καὶ πόσους κοφίνους ἐλάβετε. οὐδὲ τοὺς ἑπτὰ 10
ἄρτους τῶν τετρακισχιλίων καὶ πόσας σπυρίδας ἐλάβετε. πῶς 11
οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτοῦ εἶπον ὑμῖν προσέχειν ἀπὸ τῆς ζύ-
μης τῶν Φαρισαίων καὶ Σαδδουκαίων. τότε συνῆκαν ὅτι οὐκ 12
εἶπεν προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλ'λ ἀπὸ τῆς διδα-
χῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων. Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς 13

---

16. **v.1** καί[c] προσέρχομαι[vpaanmp] ὁ[dnmp] Φαρισαῖος[nnmp] καί[c] Σαδδουκαῖος[nnmp] πειράζω[vppanmp] ἐπερωτάω[viaa3p] αὐτός[rpams] σημεῖον[nans] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] ἐπιδείκνυμι[vnaa] αὐτός[rpdmp]. **v.2** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] αὐτός[rpdmp] ὄψιος[agfsn] γίνομαι[vpadgfs] λέγω[vipa2p] εὐδία[nnfs] πυρράζω[vipa3s] γάρ[c] ὁ[dnms] οὐρανός[nnms]. **v.3** καί[c] πρωΐ[bo] σήμερον[bo] χειμών[nnms] πυρράζω[vipa3s] γάρ[c] στυγνάζω[vppanms] ὁ[dnms] οὐρανός[nnms] ὑποκριτής[nvmp] ὁ[dans] μέν[xo] πρόσωπον[nans] ὁ[dgms] οὐρανός[ngms] γινώσκω[vipa2p] διακρίνω[vnpa] ὁ[danp] δέ[c] σημεῖον[nanp] ὁ[dgmp] καιρός[ngmp] οὐ[xo] δύναμαι[vipn2p]. **v.4** γενεά[nnfs] πονηρός[anfsn] καί[c] μοιχαλίς[nnfs] σημεῖον[nans] ἐπιζητέω[vipa3s] καί[c] σημεῖον[nnns] οὐ[xo] δίδωμι[vifp3s] αὐτός[rpdfs] εἰ[qo] μή[xo] ὁ[dnns] σημεῖον[nnns] Ἰωνᾶς[ngms] ὁ[dgms] προφήτης[ngms] καί[c] καταλείπω[vpaanms] αὐτός[rpamp] ἀπέρχομαι[viaa3s]. **v.5** καί[c] ἔρχομαι[vpaanmp] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] εἰς[p] ὁ[dans] πέραν[bo] ἐπιλανθάνομαι[viad3p] ἄρτος[namp] λαμβάνω[vnaa]. **v.6** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] ὁράω[vdpa2p] καί[c] προσέχω[vdpa2p] ἀπό[p] ὁ[dgfs] ζύμη[ngfs] ὁ[dgmp] Φαρισαῖος[ngmp] καί[c] Σαδδουκαῖος[ngmp]. **v.7** ὁ[dnmp] δέ[c] διαλογίζομαι[viin3p] ἐν[p] ἑαυτοῦ[rxdmp] λέγω[vppanmp] ὅτι[c] ἄρτος[namp] οὐ[xo] λαμβάνω[viaa1p]. **v.8** γινώσκω[vpaanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] τίς[rqans] διαλογίζομαι[vipn2p] ἐν[p] ἑαυτοῦ[rxdmp] ὀλιγόπιστος[avmpn] ὅτι[c] ἄρτος[namp] οὐ[xo] λαμβάνω[viaa2p]. **v.9** οὔπω[bo] νοέω[vipa2p] οὐδέ[bo] μνημονεύω[vipa2p] ὁ[damp] πέντε[tn] ἄρτος[namp] ὁ[dgmp] πεντακισχίλιοι[ngmp] καί[c] πόσος[roamp] κόφινος[namp] λαμβάνω[viaa2p]. **v.10** οὐδέ[bo] ὁ[damp] ἑπτά[tn] ἄρτος[namp] ὁ[dgmp] τετρακισχίλιοι[ngmp] καί[c] πόσος[roafp] σπυρίς[nafp] λαμβάνω[viaa2p]. **v.11** πῶς[bo] οὐ[xo] νοέω[vipa2p] ὅτι[c] οὐ[xo] περί[p] ἄρτος[ngms] λέγω[viaa1s] σύ[rpd-p] προσέχω[vnpa] ἀπό[p] ὁ[dgfs] ζύμη[ngfs] ὁ[dgmp] Φαρισαῖος[ngmp] καί[c] Σαδδουκαῖος[ngmp]. **v.12** τότε[bo] συνίημι[viaa3p] ὅτι[c] οὐ[xo] λέγω[viaa3s] προσέχω[vnpa] ἀπό[p] ὁ[dgfs] ζύμη[ngfs] ὁ[dgms] ἄρτος[ngms] ἀλλά[c] ἀπό[p] ὁ[dgfs] διδαχή[ngfs] ὁ[dgmp] Φαρισαῖος[ngmp] καί[c] Σαδδουκαῖος[ngmp].

τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ
λέγων Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώ-
14 που. οἱ δὲ εἶπον, Οἱ μὲν Ἰωάννην τὸν βαπτιστήν ἄλλοι δὲ
15 Ἠλίαν ἕτεροι δὲ Ἰερεμίαν ἢ ἕνα τῶν προφητῶν. λέγει αὐτοῖς
16 Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι. ἀποκριθεὶς δὲ Σίμων Πέτρος
17 εἶπεν Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. καὶ ἀπο-
κριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ Μακάριος εἶ Σίμων Βαρ Ἰωνᾶ, ὅτι
σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι ἀλλ ὁ πατήρ μου ὁ ἐν τοῖς
18 οὐρανοῖς. κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ
τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ
19 κατισχύσουσιν αὐτῆς. καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας
τῶν οὐρανῶν καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένον ἐν
τοῖς οὐρανοῖς καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμένον
20 ἐν τοῖς οὐρανοῖς. τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ ἵνα
21 μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν Ἰησοῦς ὁ Χριστός. Ἀπὸ τότε
ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν
ἀπελθεῖν εἰς Ἱεροσόλυμα καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέ-
ρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ ἀποκτανθῆναι καὶ τῇ
22 τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος
ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων Ἵλεώς σοι κύριε, οὐ μὴ ἔσται σοι
23 τοῦτο. ὁ δὲ στραφεὶς εἶπεν τῷ Πέτρῳ Ὕπαγε ὀπίσω μου Σα-

---

v.13 ἔρχομαι[vpaanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] ὁ[danp] μέρος[nanp] Καισάρεια[ngfs] ὁ[dgfs] Φίλιππος[ngms] ἐρωτάω[viia3s] ὁ[damp] μαθητής[namp] αὐτός[rpgms] λέγω[vppanms] τίς[rqams] ἐγώ[rpa-s] λέγω[vipa3p] ὁ[dnmp] ἄνθρωπος[nnmp] εἰμί[vnpx] ὁ[dams] υἱός[nams] ὁ[dgms] ἄνθρωπος[ngms]. **v.14** ὁ[dnmp] δέ[c] λέγω[viaa3p] ὁ[dnmp] μέν[xo] Ἰωάννης[nams] ὁ[dams] βαπτιστής[nams] ἄλλος[anmpn] δέ[c] Ἠλίας[nams] ἕτερος[anmpn] δέ[c] Ἰερεμίας[nams] ἤ[xo] εἷς[nams] ὁ[dgmp] προφήτης[ngmp]. **v.15** λέγω[vipa3s] αὐτός[rpdmp] σύ[rpn-p] δέ[c] τίς[rqams] ἐγώ[rpa-s] λέγω[vipa2p] εἰμί[vnpx]. **v.16** ἀποκρίνομαι[vpaonms] δέ[c] Σίμων[nnms] Πέτρος[nnms] λέγω[viaa3s] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] Χριστός[nnms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ζάω[vppagms]. **v.17** καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdms] μακάριος[anmsn] εἰμί[vipx2s] Σίμων[nvms] Βαριωνᾶ[ta] Ἰωνᾶς[ta] ὅτι[c] σάρξ[nnfs] καί[c] αἷμα[nnns] οὐ[xo] ἀποκαλύπτω[viaa3s] σύ[rpd-s] ἀλλά[c] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ὁ[dnms] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp]. **v.18** κἀγώ[rpn-s] δέ[c] σύ[rpd-s] λέγω[vipa1s] ὅτι[c] σύ[rpn-s] εἰμί[vipx2s] Πέτρος[nnms] καί[c] ἐπί[p] οὗτος[rddfs] ὁ[ddfs] πέτρα[ndfs] οἰκοδομέω[vifa1s] ἐγώ[rpg-s] ὁ[dafs] ἐκκλησία[nafs] καί[c] πύλη[nnfp] ᾅδης[ngms] οὐ[xo] κατισχύω[vifa3p] αὐτός[rpgfs]. **v.19** καί[c] δίδωμι[vifa1s] σύ[rpd-s] ὁ[dafp] κλείς[nafp] ὁ[dgfs] βασιλεία[ngfs] ὁ[dgmp] οὐρανός[ngmp] καί[c] ὅς[rrans] ἐάν[qo] δέω[vsaa2s] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] εἰμί[vifx3s] δέω[vpxpnns] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] καί[c] ὅς[rrans] ἐάν[qo] λύω[vsaa2s] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] εἰμί[vifx3s] λύω[vpxpnns] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp]. **v.20** τότε[bo] διαστέλλω[viam3s] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ἵνα[c] μηδείς[admsn] λέγω[vsaa3p] ὅτι[c] αὐτός[rpnms] εἰμί[vipx3s] Ἰησοῦς[nnms] ὁ[dnms] Χριστός[nnms]. **v.21** ἀπό[p] τότε[bo] ἄρχω[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] δείκνυμι[vnpa] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ὅτι[c] δεῖ[vipq3s] αὐτός[rpams] ἀπέρχομαι[vnaa] εἰς[p] Ἱεροσόλυμα[nafs] καί[c] πολύς[aanpn] πάσχω[vnaa] ἀπό[p] ὁ[dgmp] πρεσβύτερος[agmpn] καί[c] ἀρχιερεύς[ngmp] καί[c] γραμματεύς[ngmp] καί[c] ἀποκτείνω[vnap] καί[c] ὁ[ddfs] τρίτος[adfsn] ἡμέρα[ndfs] ἐγείρω[vnap]. **v.22** καί[c] προσλαμβάνω[vpamnms] αὐτός[rpams] ὁ[dnms] Πέτρος[nnms] ἄρχω[viad3s] ἐπιτιμάω[vnpa] αὐτός[rpdms] λέγω[vppanms] ἵλεως[anmsa] σύ[rpd-s] κύριος[nvms] οὐ[xo] μή[xo] εἰμί[vifx3s] σύ[rpd-s] οὗτος[rdnns].

τανᾶ, σκάνδαλον μου, εἶ ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ
τῶν ἀνθρώπων. Τότε ὁ Ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ Εἴ 24
τις θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν
σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν θέλῃ τὴν ψυ- 25
χὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν, ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν
αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. τί γὰρ ὠφελεῖται ἄνθρωπος 26
ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ ἢ
τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ. μέλλει γὰρ 27
ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ
μετὰ τῶν ἀγγέλων αὐτοῦ καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν
πρᾶξιν αὐτοῦ. ἀμὴν λέγω ὑμῖν εἰσίν τινες τῶν ὧδε ἑστηκότων, 28
οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ
ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Καὶ μεθ ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ **17**
Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀναφέρει αὐτοὺς
εἰς ὄρος ὑψηλὸν κατ ἰδίαν. καὶ μετεμορφώθη ἔμπροσθεν αὐ- 2
τῶν καὶ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος τὰ δὲ ἱμάτια
αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς 3
Μωσῆς καὶ Ἠλίας μετ αὐτοῦ συλλαλοῦντες. ἀποκριθεὶς δὲ ὁ 4
Πέτρος εἶπεν τῷ Ἰησοῦ Κύριε καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, εἰ
θέλεις ποιήσωμεν ὧδε τρεῖς σκηνάς σοὶ μίαν καὶ Μωσῆ˜ι μίαν

---

v.23 ὁ^{dnms} δέ^{c} στρέφω^{vpapnms} λέγω^{viaa3s} ὁ^{ddms} Πέτρος^{ndms} ὑπάγω^{vdpa2s} ὀπίσω^{bo} ἐγώ$^{rpg-s}$ Σατανᾶς^{nvms} σκάνδαλον^{nans} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx2s} ὅτι^{c} οὐ^{xo} φρονέω^{vipa2s} ὁ^{danp} ὁ^{dgms} θεός^{ngms} ἀλλά^{c} ὁ^{danp} ὁ^{dgmp} ἄνθρωπος^{ngmp}. **v.24** τότε^{bo} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} ὁ^{ddmp} μαθητής^{ndmp} αὐτός^{rpgms} εἰ^{qo} τι-σρινμσ θέλω^{vipa3s} ὀπίσω^{bo} ἐγώ$^{rpg-s}$ ἔρχομαι^{vnaa} ἀπαρνέομαι^{vdad3s} ἑαυτοῦ^{rxams} καί^{c} αἴρω^{vdaa3s} ὁ^{dams} σταυρός^{nams} αὐτός^{rpgms} καί^{c} ἀκολουθέω^{vdpa3s} ἐγώ$^{rpd-s}$. **v.25** ὅς^{rrnms} γάρ^{c} ἄν^{xo} θέλω^{vspa3s} ὁ^{dafs} ψυχή^{nafs} αὐτός^{rpgms} σῴζω^{vnaa} ἀπόλλυμι^{vifa3s} αὐτός^{rpafs} ὅς^{rrnms} δέ^{c} ἄν^{xo} ἀπόλλυμι^{vsaa3s} ὁ^{dafs} ψυχή^{nafs} αὐτός^{rpgms} ἕνεκα^{bo} ἐγώ$^{rpg-s}$ εὑρίσκω^{vifa3s} αὐτός^{rpafs}. **v.26** τίς^{rqans} γάρ^{c} ὠφελέω^{vipp3s} ἄνθρωπος^{nnms} ἐάν^{qo} ὁ^{dams} κόσμος^{nams} ὅλος^{aamsn} κερδαίνω^{vsaa3s} ὁ^{dafs} δέ^{c} ψυχή^{nafs} αὐτός^{rpgms} ζημιόω^{vsap3s} ἤ^{xo} τίς^{rqans} δίδωμι^{vifa3s} ἄνθρωπος^{nnms} ἀντάλλαγμα^{nans} ὁ^{dgfs} ψυχή^{ngfs} αὐτός^{rpgms}. **v.27** μέλλω^{vipa3s} γάρ^{c} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἔρχομαι^{vnpn} ἐν^{p} ὁ^{ddfs} δόξα^{ndfs} ὁ^{dgms} πατήρ^{ngms} αὐτός^{rpgms} μετά^{p} ὁ^{dgmp} ἄγγελος^{ngmp} αὐτός^{rpgms} καί^{c} τότε^{bo} ἀποδίδωμι^{vifa3s} ἕκαστος^{admsn} κατά^{p} ὁ^{dafs} πρᾶξις^{nafs} αὐτός^{rpgms}. **v.28** ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ εἰμί^{vipx3p} τι-σρινμπ ὁ^{dgmp} ὧδε^{bo} ἵστημι^{vpxagmp} ὅστις^{rrnmp} οὐ^{xo} μή^{xo} γεύομαι^{vsad3p} θάνατος^{ngms} ἕως^{c} ἄν^{xo} ὁράω^{vsaa3p} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἔρχομαι^{vppnams} ἐν^{p} ὁ^{ddfs} βασιλεία^{ndfs} αὐτός^{rpgms}. **17. v.1** καί^{c} μετά^{p} ἡμέρα^{nafp} ἕξ^{tn} παραλαμβάνω^{vipa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dams} Πέτρος^{nams} καί^{c} Ἰάκωβος^{nams} καί^{c} Ἰωάννης^{nams} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} καί^{c} ἀναφέρω^{vipa3s} αὐτός^{rpamp} εἰς^{p} ὄρος^{nans} ὑψηλός^{aansn} κατά^{p} ἴδιος^{aafsn}. **v.2** καί^{c} μεταμορφόω^{viap3s} ἔμπροσθεν^{p} αὐτός^{rpgmp} καί^{c} λάμπω^{viaa3s} ὁ^{dnns} πρόσωπον^{nnns} αὐτός^{rpgms} ὡς^{bo} ὁ^{dnms} ἥλιος^{nnms} ὁ^{dnnp} δέ^{c} ἱμάτιον^{nnnp} αὐτός^{rpgms} γίνομαι^{viad3s} λευκός^{annpn} ὡς^{bo} ὁ^{dnns} φῶς^{nnns}. **v.3** καί^{c} ἰδού^{vdaa2s} ὁράω^{viap3p} αὐτός^{rpdmp} Μωϋσῆς^{nnms} καί^{c} Ἠλίας^{nnms} μετά^{p} αὐτός^{rpgms} συλλαλέω^{vppanmp}.

5 καὶ μίαν Ἠλίᾳ. ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ νεφέλη φωτεινὴ ἐπε-
σκίασεν αὐτούς καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα Οὗτός
ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε.
6 καὶ ἀκούσαντες οἱ μαθηταὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν καὶ
7 ἐφοβήθησαν σφόδρα. καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο αὐτῶν
8 καὶ εἶπεν Ἐγέρθητε καὶ μὴ φοβεῖσθε. ἐπάραντες δὲ τοὺς ὀ-
9 φθαλμοὺς αὐτῶν οὐδένα εἶδον εἰ μὴ τόν Ἰησοῦν μόνον. Καὶ
καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους ἐνετείλατο αὐτοῖς ὁ Ἰη-
σοῦς λέγων Μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώ-
10 που ἐκ νεκρῶν ἀναστῇ. καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ
αὐτοῦ λέγοντες Τί οὖν οἱ γραμματεῖς λέγουσιν ὅτι Ἠλίαν δεῖ
11 ἐλθεῖν πρῶτον. ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτοῖς, Ἠλίας
12 μὲν ἔρχεται πρῶτον καὶ ἀποκαταστήσει πάντα, λέγω δὲ ὑμῖν
ὅτι Ἠλίας ἤδη ἦλθεν καὶ οὐκ ἐπέγνωσαν αὐτὸν ἀλλ' ἐποίησαν
ἐν αὐτῷ ὅσα ἠθέλησαν, οὕτως καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει
13 πάσχειν ὑπ αὐτῶν. τότε συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάν-
14 νου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς. Καὶ ἐλθόντων αὐτῶν πρὸς τὸν
ὄχλον προσῆλθεν αὐτῷ ἄνθρωπος γονυπετῶν αὐτῷ Καὶ λέγων.
15 Κύριε ἐλέησόν μου τὸν υἱόν ὅτι σεληνιάζεται καὶ κακῶς πά-

---

v.4 ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] Πέτρος[nnms] λέγω[viaa3s] ὁ[ddms] Ἰησοῦς[ndms] κύριος[nvms] καλός[annsn] εἰμί[vipx3s] ἐγώ[rpa-p] ὧδε[bo] εἰμί[vnpx] εἰ[qo] θέλω[vipa2s] ποιέω[vsaa1p] ὧδε[bo] τρεῖς[nafp] σκηνή[nafp] σύ[rpd-s] εἷς[nafs] καί[c] Μωϋσῆς[ndms] εἷς[nafs] καί[c] εἷς[nafs] Ἠλίας[ndms]. **v.5** ἔτι[bo] αὐτός[rpgms] λαλέω[vppagms] ἰδού[vdaa2s] νεφέλη[nnfs] φωτεινός[anfsn] ἐπισκιάζω[viaa3s] αὐτός[rpamp] καί[c] ἰδού[vdaa2s] φωνή[nnfs] ἐκ[p] ὁ[dgfs] νεφέλη[ngfs] λέγω[vppanfs] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] ἐγώ[rpg-s] ὁ[dnms] ἀγαπητός[anmsn] ἐν[p] ὅς[rrdms] εὐδοκέω[viaa1s] αὐτός[rpgms] ἀκούω[vdpa2p]. **v.6** καί[c] ἀκούω[vpaanmp] ὁ[dnmp] μαθητής[nnmp] πίπτω[viaa3p] ἐπί[p] πρόσωπον[nans] αὐτός[rpgmp] καί[c] φοβέομαι[viao3p] σφόδρα[bo]. **v.7** καί[c] προσέρχομαι[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] ἅπτω[viad3s] αὐτός[rpgmp] καί[c] λέγω[viaa3s] ἐγείρω[vdap2p] καί[c] μή[xo] φοβέομαι[vdpn2p]. **v.8** ἐπαίρω[vpaanmp] δέ[c] ὁ[damp] ὀφθαλμός[namp] αὐτός[rpgmp] οὐδείς[aamsn] ὁράω[viaa3p] εἰ[qo] μή[xo] ὁ[dams] Ἰησοῦς[nams] μόνος[aamsn]. **v.9** καί[c] καταβαίνω[vppagmp] αὐτός[rpgmp] ἀπό[p] ὁ[dgns] ὄρος[ngns] ἐντέλλομαι[viad3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[vppanms] μηδείς[admsn] λέγω[vsaa2p] ὁ[dans] ὅραμα[nans] ἕως[c] ὅς[bo] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] ἐκ[p] νεκρός[agmpn] ἀνίστημι[vsaa3s]. **v.10** καί[c] ἐπερωτάω[viaa3p] αὐτός[rpams] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] λέγω[vppanmp] τίς[rqnns] οὖν[c] ὁ[dnmp] γραμματεύς[nnmp] λέγω[vipa3p] ὅτι[c] Ἠλίας[nams] δεῖ[vipq3s] ἔρχομαι[vnaa] πρῶτος[bo]. **v.11** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] αὐτός[rpdmp] Ἠλίας[nnms] μέν[xo] ἔρχομαι[vipn3s] πρῶτος[bo] καί[c] ἀποκαθιστάνω[vifa3s] πᾶς[aanpn]. **v.12** λέγω[vipa1s] δέ[c] σύ[rpd-p] ὅτι[c] Ἠλίας[nnms] ἤδη[bo] ἔρχομαι[viaa3s] καί[c] οὐ[xo] ἐπιγινώσκω[viaa3p] αὐτός[rpams] ἀλλά[c] ποιέω[viaa3p] ἐν[p] αὐτός[rpdms] ὅσος[rcanp] θέλω[viaa3p] οὕτω[bo] καί[c] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] μέλλω[vipa3s] πάσχω[vnpa] ὑπό[p] αὐτός[rpgmp]. **v.13** τότε[bo] συνίημι[viaa3p] ὁ[dnmp] μαθητής[nnmp] ὅτι[c] περί[p] Ἰωάννης[ngms] ὁ[dgms] βαπτιστής[ngms] λέγω[viaa3s] αὐτός[rpdmp]. **v.14** καί[c] ἔρχομαι[vpaagmp] αὐτός[rpgmp] πρός[p] ὁ[dams] ὄχλος[nams] προσέρχομαι[viaa3s] αὐτός[rpdms] ἄνθρωπος[nnms] γονυπετέω[vppanms] αὐτός[rpdms] καί[c] λέγω[vppanms].

σχει, πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ καὶ πολλάκις εἰς τὸ ὕδωρ.
καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου καὶ οὐκ ἠδυνήθησαν 16
αὐτὸν θεραπεῦσαι. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν Ὦ γενεὰ 17
ἄπιστος καὶ διεστραμμένη ἕως πότε ἔσομαι μεθ ὑμῶν ἕως πότε
ἀνέξομαι ὑμῶν φέρετέ μοι αὐτὸν ὧδε. καὶ ἐπετίμησεν αὐτῷ ὁ 18
Ἰησοῦς καὶ ἐξῆλθεν ἀπ αὐτοῦ τὸ δαιμόνιον καὶ ἐθεραπεύθη ὁ
παῖς ἀπὸ τῆς ὥρας ἐκείνης. Τότε προσελθόντες οἱ μαθηταὶ τῷ 19
Ἰησοῦ κατ ἰδίαν εἶπον Διατί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν
αὐτό. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς Διὰ τὴν ἀπιστίαν ὑμῶν, ἀμὴν 20
γὰρ λέγω ὑμῖν ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως ἐρεῖτε τῷ
ὄρει τούτῳ Μετάβηθι ἔντεῦθεν ἐκεῖ καὶ μεταβήσεται, καὶ οὐ-
δὲν ἀδυνατήσει ὑμῖν. τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται εἰ 21
μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. ἀναστρεφομένων δὲ αὐτῶν ἐν 22
τῇ Γαλιλαίᾳ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώ-
που παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων. καὶ ἀποκτενοῦσιν 23
αὐτόν καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται καὶ ἐλυπήθησαν σφό-
δρα. Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναούμ προσῆλθον οἱ τὰ 24
δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ καὶ εἶπον, Ὁ διδάσκαλος ὑ-
μῶν οὐ τελεῖ τὰ δίδραχμα. λέγει Ναί καὶ ὅτε εἰσῆλθεν εἰς τὴν 25
οἰκίαν προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων Τί σοι δοκεῖ Σίμων
οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσιν τέλη ἢ κῆνσον ἀπὸ

---

v.15 κύριος[nvms] ἐλεέω[vdaa2s] ἐγώ[rpg-s] ὁ[dams] υἱός[nams] ὅτι[c] σεληνιάζομαι[vipn3s] καί[c] κακῶς[bo] πάσχω[vipa3s] πολλάκις[bo] γάρ[c] πίπτω[vipa3s] εἰς[p] ὁ[dans] πῦρ[nans] καί[c] πολλάκις[bo] εἰς[p] ὁ[dans] ὕδωρ[nans]. **v.16** καί[c] προσφέρω[viaa1s] αὐτός[rpams] ὁ[ddmp] μαθητής[ndmp] σύ[rpg-s] καί[c] οὐ[xo] δύναμαι[viao3p] αὐτός[rpams] θεραπεύω[vnaa]. **v.17** ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] ὦ[i] γενεά[nvfs] ἄπιστος[avfsn] καί[c] διαστρέφω[vpxpnfs] ἕως[c] πότε[xo] εἰμί[vifx1s] μετά[p] σύ[rpg-p] ἕως[c] πότε[xo] ἀνέχω[vifd1s] σύ[rpg-p] φέρω[vdpa2p] ἐγώ[rpd-s] αὐτός[rpams] ὧδε[bo]. **v.18** καί[c] ἐπιτιμάω[viaa3s] αὐτός[rpdns] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ἐξέρχομαι[viaa3s] ἀπό[p] αὐτός[rpgms] ὁ[dnns] δαιμόνιον[nnns] καί[c] θεραπεύω[viap3s] ὁ[dnms] παῖς[nnms] ἀπό[p] ὁ[dgfs] ὥρα[ngfs] ἐκεῖνος[rdgfs]. **v.19** τότε[bo] προσέρχομαι[vpaanmp] ὁ[dnmp] μαθητής[nnmp] ὁ[ddms] Ἰησοῦς[ndms] κατά[p] ἴδιος[aafsn] λέγω[viaa3p] διά&τίς[xo] ἐγώ[rpn-p] οὐ[xo] δύναμαι[viao1p] ἐκβάλλω[vnaa] αὐτός[rpans]. **v.20** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] διά[p] ὁ[dafs] ἀπιστία[nafs] σύ[rpg-p] ἀμήν[th] γάρ[c] λέγω[vipa1s] σύ[rpd-p] ἐάν[qo] ἔχω[vspa2p] πίστις[nafs] ὡς[bo] κόκκος[nams] σίναπι[ngns] λέγω[vifa2p] ὁ[ddns] ὄρος[ndns] οὗτος[rddns] μεταβαίνω[vdaa2s] ἐντεῦθεν[bo] ἐκεῖ[bo] καί[c] μεταβαίνω[vifd3s] καί[c] οὐδείς[annsn] ἀδυνατέω[vifa3s] σύ[rpd-p]. **v.21** οὗτος[rdnns] δέ[c] ὁ[dnns] γένος[nnns] οὐ[xo] ἐκπορεύομαι[vipn3s] εἰ[qo] μή[xo] ἐν[p] προσευχή[ndfs] καί[c] νηστεία[ndfs]. **v.22** ἀναστρέφω[vpppgmp] δέ[c] αὐτός[rpgmp] ἐν[p] ὁ[ddfs] Γαλιλαία[ndfs] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] μέλλω[vipa3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] παραδίδωμι[vnpp] εἰς[p] χείρ[nafp] ἄνθρωπος[ngmp]. **v.23** καί[c] ἀποκτείνω[vifa3p] αὐτός[rpams] καί[c] ὁ[ddfs] τρίτος[adfsn] ἡμέρα[ndfs] ἐγείρω[vifp3s] καί[c] λυπέω[viap3p] σφόδρα[bo]. **v.24** ἔρχομαι[vpaagmp] δέ[c] αὐτός[rpgmp] εἰς[p] Καπερναούμ[tp] προσέρχομαι[viaa3p] ὁ[dnmp] ὁ[danp] δίδραχμον[nanp] λαμβάνω[vppanmp] ὁ[ddms] Πέτρος[ndms] καί[c] λέγω[viaa3p] ὁ[dnms] διδάσκαλος[nnms] σύ[rpg-p] οὐ[xo] τελέω[vipa3s] ὁ[danp] δίδραχμον[nanp].

26 τῶν υἱῶν αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων. λέγει αὐτῷ ὁ Πέτρος,
Ἀπὸ τῶν ἀλλοτρίων ἔφη αὐτῷ ὁ Ἰησοῦς Ἄραγε ἐλεύθεροί εἰσιν
27 οἱ υἱοί. ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς πορευθεὶς εἰς τήν
θάλασσαν βάλε ἄγκιστρον καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον
καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εὑρήσεις στατῆρα, ἐκεῖνον λαβὼν
δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.
18 Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες
2 Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. καὶ προσκα-
3 λεσάμενος ὁ Ἰησοῦς παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν. καὶ
εἶπεν Ἀμὴν λέγω ὑμῖν ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παι-
4 δία οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὅστις οὖν
ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο οὗτός ἐστιν ὁ μείζων ἐν
5 τῇ βασιλείᾳ τῶν οὐρανῶν. καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον
6 ἓν ἐπὶ τῷ ὀνόματί μου ἐμὲ δέχεται. Ὃς δ ἂν σκανδαλίσῃ ἕνα
τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ συμφέρει αὐτῷ ἵνα
κρεμασθῇ μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ καταπον-
7 τισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν
σκανδάλων, ἀνάγκη γὰρ ἐστίν ἐλθεῖν τὰ σκάνδαλα πλὴν οὐαὶ
8 τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ τὸ σκάνδαλον ἔρχεται. Εἰ δὲ ἡ χείρ
σου ἢ ὁ πούς σου σκανδαλίζει σε ἔκκοψον αὐτὰ καὶ βάλε ἀπὸ

---

v.25 λέγω[vipa3s] ναί[xo] καί[c] ὅτε[bo] εἰσέρχομαι[viaa3s] εἰς[p] ὁ[dafs] οἰκία[nafs] προφθάνω[viaa3s] αὐτός[rpams] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[vppanms] τίς[rqans] σύ[rpd-s] δοκέω[vipa3s] Σίμων[nvms] ὁ[dnmp] βασιλεύς[nnmp] ὁ[dgfs] γῆ[ngfs] ἀπό[p] τίς[rqgmp] λαμβάνω[vipa3p] τέλος[nanp] ἤ[xo] κῆνσος[nams] ἀπό[p] ὁ[dgmp] υἱός[ngmp] αὐτός[rpgmp] ἤ[xo] ἀπό[p] ὁ[dgmp] ἀλλότριος[agmpn]. **v.26** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Πέτρος[nnms] ἀπό[p] ὁ[dgmp] ἀλλότριος[agmpn] φημί[viix3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἀρά[xo] ἐλεύθερος[anmpn] εἰμί[vipx3p] ὁ[dnmp] υἱός[nnmp]. **v.27** ἵνα[c] δέ[c] μή[xo] σκανδαλίζω[vsaa1p] αὐτός[rpamp] πορεύομαι[vpaonms] εἰς[p] ὁ[dafs] θάλασσα[nafs] βάλλω[vdaa2s] ἄγκιστρον[nans] καί[c] ὁ[dams] ἀναβαίνω[vpaaams] πρῶτος[bo] ἰχθύς[nams] αἴρω[vdaa2s] καί[c] ἀνοίγω[vpaanms] ὁ[dans] στόμα[nans] αὐτός[rpgms] εὑρίσκω[vifa2s] στατήρ[nams] ἐκεῖνος[rdams] λαμβάνω[vpaanms] δίδωμι[vdaa2s] αὐτός[rpdmp] ἀντί[p] ἐγώ[rpg-s] καί[c] σύ[rpg-s]. **18. v.1** ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] ὥρα[ndfs] προσέρχομαι[viaa3p] ὁ[dnmp] μαθητής[nnmp] ὁ[ddms] Ἰησοῦς[ndms] λέγω[vppanmp] τίς[rqnms] ἄρα[xo] μέγας[anmsc] εἰμί[vipx3s] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.2** καί[c] προσκαλέομαι[vpadnms] ὁ[dnms] Ἰησοῦς[nnms] παιδίον[nans] ἵστημι[viaa3s] αὐτός[rpans] ἐν[p] μέσος[adnsn] αὐτός[rpgmp]. **v.3** καί[c] λέγω[viaa3s] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ἐάν[qo] μή[xo] στρέφω[vsap2p] καί[c] γίνομαι[vsad2p] ὡς[bo] ὁ[danp] παιδίον[nanp] οὐ[xo] μή[xo] εἰσέρχομαι[vsaa2p] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.4** ὅστις[rrnms] οὖν[c] ταπεινόω[vsaa3s] ἑαυτοῦ[rxams] ὡς[bo] ὁ[dnns] παιδίον[nnns] οὗτος[rdnns] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] μέγας[anmsc] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.5** καί[c] ὅς[rrnms] ἐάν[qo] δέχομαι[vsad3s] παιδίον[nans] τοιοῦτος[rdans] εἷς[nans] ἐπί[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] ἐγώ[rpa-s] δέχομαι[vipn3s]. **v.6** ὅς[rrnms] δέ[c] ἄν[xo] σκανδαλίζω[vsaa3s] εἷς[nams] ὁ[dgmp] μικρός[agmpn] οὗτος[rdgmp] ὁ[dgmp] πιστεύω[vppagmp] εἰς[p] ἐγώ[rpa-s] συμφέρω[vipa3s] αὐτός[rpdms] ἵνα[c] κρεμάννυμι[vsap3s] μύλος[nnms] ὀνικός[anmsn] ἐπί[p] ὁ[dams] τράχηλος[nams] αὐτός[rpgms] καί[c] καταποντίζω[vsap3s] ἐν[p] ὁ[ddns] πέλαγος[ndns] ὁ[dgfs] θάλασσα[ngfs]. **v.7** οὐαί[i] ὁ[ddms] κόσμος[ndms] ἀπό[p] ὁ[dgnp] σκάνδαλον[ngnp] ἀνάγκη[nnfs] γάρ[c] εἰμί[vipx3s] ἔρχομαι[vnaa] ὁ[danp] σκάνδαλον[nanp] πλήν[bo] οὐαί[i] ὁ[ddms] ἄνθρωπος[ndms] ἐκεῖνος[rddms] διά[p] ὅς[rrgms] ὁ[dnns] σκάνδαλον[nnns] ἔρχομαι[vipn3s].

σοῦ, καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλόν ἢ κυλλὸν ἢ
δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον.
καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε ἔξελε αὐτὸν καὶ βάλε ἀ- 9
πὸ σοῦ, καλόν σοί ἐστιν μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν
ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός.
Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων, λέγω γὰρ 10
ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσιν
τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ἦλθεν γὰρ 11
ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός. Τί ὑμῖν δοκεῖ ἐ- 12
ὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα καὶ πλανηθῇ ἓν ἐξ
αὐτῶν οὐχὶ ἀφεῖς τὰ ἐννενήκονταεννέα, ἐπὶ τὰ ὄρη πορευθεὶς
ζητεῖ τὸ πλανώμενον. καὶ ἐὰν γένηται εὑρεῖν αὐτό ἀμὴν λέγω 13
ὑμῖν ὅτι χαίρει ἐπ αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐννενήκονταεννέα
τοῖς μὴ πεπλανημένοις. οὕτως οὐκ ἔστιν θέλημα ἔμπροσθεν 14
τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς ἵνα ἀπόληται εἷς τῶν μικρῶν
τούτων. Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου ὕπαγε καὶ 15
ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου ἐάν σου ἀκούσῃ
ἐκέρδησας τὸν ἀδελφόν σου, ἐὰν δὲ μὴ ἀκούσῃ παράλαβε με- 16
τὰ σοῦ ἔτι ἕνα ἢ δύο ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν
σταθῇ πᾶν ῥῆμα, ἐὰν δὲ παρακούσῃ αὐτῶν εἰπὲ τῇ ἐκκλησίᾳ, 17
ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς

---

v.8 εἰ[qo] δέ[c] ὁ[dnfs] χείρ[nnfs] σύ[rpg-s] ἤ[xo] ὁ[dnms] πούς[nnms] σύ[rpg-s] σκανδαλίζω[vipa3s] σύ[rpa-s] ἐκκόπτω[vdaa2s] αὐτός[rpanp] καί[c] βάλλω[vdaa2s] ἀπό[p] σύ[rpg-s] καλός[annsn] σύ[rpd-s] εἰμί[vipx3s] εἰσέρχομαι[vnaa] εἰς[p] ὁ[dafs] ζωή[nafs] χωλός[aamsn] ἤ[xo] κυλλός[aamsn] ἤ[xo] δύο[tn] χείρ[nafp] ἤ[xo] δύο[tn] πούς[namp] ἔχω[vppannp] βάλλω[vnap] εἰς[p] ὁ[dans] πῦρ[nans] ὁ[dans] αἰώνιος[aansn]. **v.9** καί[c] εἰ[qo] ὁ[dnms] ὀφθαλμός[nnms] σύ[rpg-s] σκανδαλίζω[vipa3s] σύ[rpa-s] ἐξαιρέω[vdaa2s] αὐτός[rpams] καί[c] βάλλω[vdaa2s] ἀπό[p] σύ[rpg-s] καλός[annsn] σύ[rpd-s] εἰμί[vipx3s] μονόφθαλμος[aamsn] εἰς[p] ὁ[dafs] ζωή[nafs] εἰσέρχομαι[vnaa] ἤ[xo] δύο[tn] ὀφθαλμός[namp] ἔχω[vppannp] βάλλω[vnap] εἰς[p] ὁ[dafs] γέεννα[nafs] ὁ[dgns] πῦρ[ngns]. **v.10** ὁράω[vdpa2p] μή[xo] καταφρονέω[vsaa2p] εἷς[ngns] ὁ[dgmp] μικρός[agmpn] οὗτος[rdgmp] λέγω[vipa1s] γάρ[c] σύ[rpd-p] ὅτι[c] ὁ[dnmp] ἄγγελος[nnmp] αὐτός[rpgmp] ἐν[p] οὐρανός[ndmp] διά[p] πᾶς[agnsn] βλέπω[vipa3p] ὁ[dans] πρόσωπον[nans] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] ὁ[dgms] ἐν[p] οὐρανός[ndmp]. **v.11** ἔρχομαι[viaa3s] γάρ[c] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] σῴζω[vnaa] ὁ[dans] ἀπόλλυμι[vpxaans]. **v.12** τίς[rqans] σύ[rpd-p] δοκέω[vipa3s] ἐάν[qo] γίνομαι[vsad3s] τι-σριδμσ ἄνθρωπος[ndms] ἑκατόν[tn] πρόβατον[nnnp] καί[c] πλανάω[vsap3s] εἷς[nnns] ἐκ[p] αὐτός[rpgnp] οὐχί[xo] ἀφίημι[vpaanms] ὁ[danp] ἐνενήκοντα[tn] ἐπί[p] ὁ[danp] ὄρος[nanp] πορεύομαι[vpaonms] ζητέω[vipa3s] ὁ[dans] πλανάω[vpppans]. **v.13** καί[c] ἐάν[qo] γίνομαι[vsad3s] εὑρίσκω[vnaa] αὐτός[rpans] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] χαίρω[vipa3s] ἐπί[p] αὐτός[rpdns] μᾶλλον[bo] ἤ[xo] ἐπί[p] ὁ[ddnp] ἐνενήκοντα[tn] ὁ[ddnp] μή[xo] πλανάω[vpxpdnp]. **v.14** οὕτω[bo] οὐ[xo] εἰμί[vipx3s] θέλημα[nnns] ἔμπροσθεν[p] ὁ[dgms] πατήρ[ngms] σύ[rpg-p] ὁ[dgms] ἐν[p] οὐρανός[ndmp] ἵνα[c] ἀπόλλυμι[vsam3s] εἷς[nnms] ὁ[dgmp] μικρός[agmpn] οὗτος[rdgmp]. **v.15** ἐάν[qo] δέ[c] ἁμαρτάνω[vsaa3s] εἰς[p] σύ[rpa-s] ὁ[dnms] ἀδελφός[nnms] σύ[rpg-s] ὑπάγω[vdpa2s] καί[c] ἐλέγχω[vdaa2s] αὐτός[rpams] μεταξύ[bo] σύ[rpg-s] καί[c] αὐτός[rpgms] μόνος[agmsn] ἐάν[qo] σύ[rpg-s] ἀκούω[vsaa3s] κερδαίνω[viaa2s] ὁ[dams] ἀδελφός[nams] σύ[rpg-s]. **v.16** ἐάν[qo] δέ[c] μή[xo] ἀκούω[vsaa3s] παραλαμβάνω[vdaa2s] μετά[p] σύ[rpg-s] ἔτι[bo] εἷς[nams] ἤ[xo] δύο[tn] ἵνα[c] ἐπί[p] στόμα[ngns] δύο[tn] μάρτυς[ngmp] ἤ[xo] τρεῖς[ngmp] ἵστημι[vsap3s] πᾶς[annsn] ῥῆμα[nnns].

18 καὶ ὁ τελώνης. Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς
ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς
19 ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. Πάλιν λέγω ὑμῖν ὅτι ἐὰν δύο
ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗ
ἐὰν αἰτήσωνται γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν
20 οὐρανοῖς. οὗ γάρ εἰσιν δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄ-
21 νομα ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος
εἶπεν Κύριε ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀ-
22 φήσω αὐτῷ ἕως ἑπτάκις. λέγει αὐτῷ ὁ Ἰησοῦς Οὐ λέγω σοι ἕως
23 ἑπτάκις ἀλλ᾽ ἕως ἑβδομηκοντάκις ἑπτά. Διὰ τοῦτο ὡμοιώθη ἡ
βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ ὃς ἠθέλησεν συνᾶραι
24 λόγον μετὰ τῶν δούλων αὐτοῦ. ἀρξαμένου δὲ αὐτοῦ συναί-
23 αὐτῷ ἕκαστος αὐτῶν, Μήτι ἐγώ εἰμι κύριε. ὁ δὲ ἀποκριθεὶς
εἶπεν Ὁ ἐμβάψας μετ ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα οὗτός με
24 παραδώσει. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγρα-
πται περὶ αὐτοῦ οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ υἱὸς τοῦ
ἀνθρώπου παραδίδοται, καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄν-
25 θρωπος ἐκεῖνος. ἀποκριθεὶς δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν
26 εἶπεν Μήτι ἐγώ εἰμι ῥαββί λέγει αὐτῷ Σὺ εἶπας. Ἐσθιόντων δὲ
αὐτῶν λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον καὶ εὐλογήσας ἔκλασεν καὶ
ἐδίδου τοῖς μαθηταῖς καὶ εἶπεν Λάβετε φάγετε τοῦτό ἐστιν τὸ
27 σῶμά μου. καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν
28 αὐτοῖς λέγων Πίετε ἐξ αὐτοῦ πάντες. τοῦτο γάρ ἐστιν τὸ αἷμά
μου τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς
29 ἄφεσιν ἁμαρτιῶν. λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπ ἄρτι ἐκ τού-

---

v.17 ὁ[ddfs] δέ[c] πρῶτος[adfsn] ὁ[dgnp] ἄζυμος[agnpn] προσέρχομαι[viaa3p] ὁ[dnmp] μαθητής[nnmp] ὁ[ddms] Ἰησοῦς[ndms] λέγω[vppanmp] αὐτός[rpdms] ποῦ[xo] θέλω[vipa2s] ἑτοιμάζω[vsaa1p] σύ[rpd-s] ἐσθίω[vnaa] ὁ[dans] πάσχα[ta]. **v.18** ὁ[dnms] δέ[c] λέγω[viaa3s] ὑπάγω[vdpa2p] εἰς[p] ὁ[dafs] πόλις[nafs] πρός[p] ὁ[dams] δεῖνα[aamsn] καί[c] λέγω[vdaa2p] αὐτός[rpdms] ὁ[dnms] διδάσκαλος[nnms] λέγω[vipa3s] ὁ[dnms] καιρός[nnms] ἐγώ[rpg-s] ἐγγύς[bo] εἰμί[vipx3s] πρός[p] σύ[rpa-s] ποιέω[vipa1s] ὁ[dans] πάσχα[ta] μετά[p] ὁ[dgmp] μαθητής[ngmp] ἐγώ[rpg-s]. **v.19** καί[c] ποιέω[viaa3p] ὁ[dnmp] μαθητής[nnmp] ὡς[bo] συντάσσω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ἑτοιμάζω[viaa3p] ὁ[dans] πάσχα[ta]. **v.20** ὄψιος[agfsn] δέ[c] γίνομαι[vpadgfs] ἀνάκειμαι[viin3s] μετά[p] ὁ[dgmp] δώδεκα[tn]. **v.21** καί[c] ἐσθίω[vppagmp] αὐτός[rpgmp] λέγω[viaa3s] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] εἷς[nnms] ἐκ[p] σύ[rpg-p] παραδίδωμι[vifa3s] ἐγώ[rpa-s]. **v.22** καί[c] λυπέω[vpppnmp] σφόδρα[bo] ἄρχω[viad3p] λέγω[vnpa] αὐτός[rpdms] ἕκαστος[anmsn] αὐτός[rpgmp] μήτι[xo] ἐγώ[rpn-s] εἰμί[vipx1s] κύριος[nvms]. **v.23** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] ὁ[dnms] ἐμβάπτω[vpaanms] μετά[p] ἐγώ[rpg-s] ἐν[p] ὁ[ddns] τρύβλιον[ndns] ὁ[dafs] χείρ[nafs] οὗτος[rdnms] ἐγώ[rpa-s] παραδίδωμι[vifa3s]. **v.24** ὁ[dnms] μέν[xo] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] ὑπάγω[vipa3s] καθώς[bo] γράφω[vixp3s] περί[p] αὐτός[rpgms] οὐαί[i] δέ[c] ὁ[ddms] ἄνθρωπος[ndms] ἐκεῖνος[rddms] διά[p] ὅς[rrgms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] παραδίδωμι[vipp3s] καλός[annsn] εἰμί[viix3s] αὐτός[rpdms] εἰ[qo] οὐ[xo] γεννάω[viap3s] ὁ[dnms] ἄνθρωπος[nnms] ἐκεῖνος[rdnms]. **v.25** ἀποκρίνομαι[vpaonms] δέ[c] Ἰούδας[nnms] ὁ[dnms] παραδίδωμι[vppanms] αὐτός[rpams] λέγω[viaa3s] μήτι[xo] ἐγώ[rpn-s] εἰμί[vipx1s] ῥαββί[th] λέγω[vipa3s] αὐτός[rpdms] σύ[rpn-s] λέγω[viaa2s]. **v.26** ἐσθίω[vppagmp] δέ[c] αὐτός[rpgmp] λαμβάνω[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dams] ἄρτος[nams] καί[c] εὐλογέω[vpaanms] κλάω[viaa3s] καί[c] δίδωμι[viia3s] ὁ[ddmp] μαθητής[ndmp] καί[c] λέγω[viaa3s] λαμβάνω[vdaa2p] ἐσθίω[vdaa2p] οὗτος[rdnns] εἰμί[vipx3s] ὁ[dnns] σῶμα[nnns] ἐγώ[rpg-s]. **v.27** καί[c] λαμβάνω[vpaanms] ὁ[dans] ποτήριον[nans] καί[c] εὐχαριστέω[vpaanms] δίδωμι[viaa3s] αὐτός[rpdmp] λέγω[vppanms] πίνω[vdaa2p] ἐκ[p] αὐτός[rpgns] πᾶς[anmpn]. **v.28** οὗτος[rdnns] γάρ[c] εἰμί[vipx3s] ὁ[dnns] αἷμα[nnns] ἐγώ[rpg-s] ὁ[dnns] ὁ[dgfs] καινός[agfsn] διαθήκη[ngfs] ὁ[dnns] περί[p] πολύς[agmpn] ἐκχέω[vpppnns] εἰς[p] ἄφεσις[nafs] ἁμαρτία[ngfp].

του τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν
αὐτὸ πίνω μεθ ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.
Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν. Τότε λέγει 30, 31
αὐτοῖς ὁ Ἰησοῦς Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ
νυκτὶ ταύτῃ γέγραπται γάρ Πατάξω τὸν ποιμένα καὶ διασκορ-
πισθήσεται τὰ πρόβατα τῆς ποίμνης. μετὰ δὲ τὸ ἐγερθῆναί 32
με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἀποκριθεὶς δὲ ὁ Πέτρος 33
εἶπεν αὐτῷ Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί ἐγὼ οὐδέ-
ποτε σκανδαλισθήσομαι. ἔφη αὐτῷ ὁ Ἰησοῦς Ἀμὴν λέγω σοι 34
ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ
με. λέγει αὐτῷ ὁ Πέτρος Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν οὐ μή 35
σε ἀπαρνήσομαι ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον. Τότε 36
ἔρχεται μετ αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ,
καὶ λέγει τοῖς μαθηταῖς Καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν προσ-
εύξωμαι ἐκεῖ. καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς 37
Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. τότε λέγει αὐτοῖς 38
Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, μείνατε ὧδε καὶ
γρηγορεῖτε μετ ἐμοῦ. καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρό- 39
σωπον αὐτοῦ προσευχόμενος καὶ λέγων Πάτερ μου εἰ δυνατόν
ἐστιν παρελθέτω ἀπ ἐμοῦ τὸ ποτήριον τοῦτο, πλὴν οὐχ ὡς ἐγὼ
θέλω ἀλλ ὡς σύ. καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει 40

---

v.29 λέγω[vipa1s] δέ[c] σύ[rpd-p] ὅτι[c] οὐ[xo] μή[xo] πίνω[vsaa1s] ἀπό[p] ἄρτι[bo] ἐκ[p] οὗτος[rdgns] ὁ[dgns] γέννημα[ngns] ὁ[dgfs] ἄμπελος[ngfs] ἕως[c] ὁ[dgfs] ἡμέρα[ngfs] ἐκεῖνος[rdgfs] ὅταν[c] αὐτός[rpans] πίνω[vipa1s] μετά[p] σύ[rpg-p] καινός[aansn] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s]. **v.30** καί[c] ὑμνέω[vpaanmp] ἐξέρχομαι[viaa3p] εἰς[p] ὁ[dans] ὄρος[nans] ὁ[dgfp] ἐλαία[ngfp]. **v.31** τότε[bo] λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] πᾶς[anmpn] σύ[rpn-p] σκανδαλίζω[vifp2p] ἐν[p] ἐγώ[rpd-s] ἐν[p] ὁ[ddfs] νύξ[ndfs] οὗτος[rddfs] γράφω[vixp3s] γάρ[c] πατάσσω[vifa1s] ὁ[dams] ποιμήν[nams] καί[c] διασκορπίζω[vifp3s] ὁ[dnnp] πρόβατον[nnnp] ὁ[dgfs] ποίμνη[ngfs]. **v.32** μετά[p] δέ[c] ὁ[dans] ἐγείρω[vnap] ἐγώ[rpa-s] προάγω[vifa1s] σύ[rpa-p] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs]. **v.33** ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] Πέτρος[nnms] λέγω[viaa3s] αὐτός[rpdms] εἰ[qo] καί[c] πᾶς[anmpn] σκανδαλίζω[vifp3p] ἐν[p] σύ[rpd-s] ἐγώ[rpn-s] οὐδέποτε[bo] σκανδαλίζω[vifp1s]. **v.34** φημί[viix3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-s] ὅτι[c] ἐν[p] οὗτος[rddfs] ὁ[ddfs] νύξ[ndfs] πρίν[bo] ἀλέκτωρ[nams] φωνέω[vnaa] τρίς[bo] ἀπαρνέομαι[vifd2s] ἐγώ[rpa-s]. **v.35** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Πέτρος[nnms] κἄν[qo] δεῖ[vspq3s] ἐγώ[rpa-s] σύν[p] σύ[rpd-s] ἀποθνῄσκω[vnaa] οὐ[xo] μή[xo] σύ[rpa-s] ἀπαρνέομαι[vifd1s] ὁμοίως[bo] καί[c] πᾶς[anmpn] ὁ[dnmp] μαθητής[nnmp] λέγω[viaa3p]. **v.36** τότε[bo] ἔρχομαι[vipn3s] μετά[p] αὐτός[rpgmp] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] χωρίον[nans] λέγω[vpppans] Γεθσημανί[tp] καί[c] λέγω[vipa3s] ὁ[ddmp] μαθητής[ndmp] καθίζω[vdaa2p] αὐτοῦ[bo] ἕως[c] ὅς[bo] ἀπέρχομαι[vpaanms] προσεύχομαι[vsad1s] ἐκεῖ[bo]. **v.37** καί[c] παραλαμβάνω[vpaanms] ὁ[dams] Πέτρος[nams] καί[c] ὁ[damp] δύο[tn] υἱός[namp] Ζεβεδαῖος[ngms] ἄρχω[viad3s] λυπέω[vnpp] καί[c] ἀδημονέω[vnpa]. **v.38** τότε[bo] λέγω[vipa3s] αὐτός[rpdmp] περίλυπος[anfsn] εἰμί[vipx3s] ὁ[dnfs] ψυχή[nnfs] ἐγώ[rpg-s] ἕως[c] θάνατος[ngms] μένω[vdaa2p] ὧδε[bo] καί[c] γρηγορέω[vdpa2p] μετά[p] ἐγώ[rpg-s]. **v.39** καί[c] προέρχομαι[vpaanms] μικρός[aamsn] πίπτω[viaa3s] ἐπί[p] πρόσωπον[nans] αὐτός[rpgms] προσεύχομαι[vppnnms] καί[c] λέγω[vppanms] πατήρ[nvms] ἐγώ[rpg-s] εἰ[qo] δυνατός[annsn] εἰμί[vipx3s] παρέρχομαι[vdaa3s] ἀπό[p] ἐγώ[rpg-s] ὁ[dans] ποτήριον[nans] οὗτος[rdans] πλήν[bo] οὐ[xo] ὡς[bo] ἐγώ[rpn-s] θέλω[vipa1s] ἀλλά[c] ὡς[bo] σύ[rpn-s].

αὐτοὺς καθεύδοντας καὶ λέγει τῷ Πέτρῳ Οὕτως οὐκ ἰσχύσατε
41 μίαν ὥραν γρηγορῆσαι μετ ἐμοῦ. γρηγορεῖτε καὶ προσεύχε-
σθε ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν, τὸ μὲν πνεῦμα πρόθυμον
42 ἡ δὲ σὰρξ ἀσθενής. πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο
λέγων Πάτερ μου εἰ οὐ δύναται τοῦτο τὸ ποτὴριον παρελθεῖν ἀ᾽π
43 ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω γενηθήτω τὸ θέλημά σου. καὶ ἐλθὼν
εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλ-
44 μοὶ βεβαρημένοι. καὶ ἀφεὶς αὐτοὺς ἀπελθὼν πάλιν προσηύ-
45 ξατο ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπὼν. τότε ἔρχεται πρὸς τοὺς
μαθητὰς αὐτοῦ καὶ λέγει αὐτοῖς Καθεύδετε τὸ λοιπὸν καὶ ἀνα-
παύεσθε, ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδί-
46 δοται εἰς χεῖρας ἁμαρτωλῶν. ἐγείρεσθε ἄγωμεν, ἰδοὺ ἤγγικεν
47 ὁ παραδιδούς με. Καὶ ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ Ἰούδας εἷς
τῶν δώδεκα ἦλθεν καὶ μετ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν
48 καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. ὁ
δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων Ὃν ἂν φι-
49 λήσω αὐτός ἐστιν κρατήσατε αὐτόν. καὶ εὐθέως προσελθὼν τῷ
50 Ἰησοῦ εἶπεν Χαῖρε ῥαββί καὶ κατεφίλησεν αὐτόν. ὁ δὲ Ἰησοῦς
εἶπεν αὐτῷ Ἑταῖρε ἐφ᾽ ᾧ πάρει τότε προσελθόντες ἐπέβαλον τὰς
51 χεῖρας ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. καὶ ἰδοὺ εἷς τῶν
μετὰ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασεν τὴν μάχαιραν αὐτοῦ

---

v.40 καί$^{\text{c}}$ ἔρχομαι$^{\text{vipn3s}}$ πρός$^{\text{p}}$ ὁ$^{\text{damp}}$ μαθητής$^{\text{namp}}$ καί$^{\text{c}}$ εὑρίσκω$^{\text{vipa3s}}$ αὐτός$^{\text{rpamp}}$ καθεύδω$^{\text{vppaamp}}$ καί$^{\text{c}}$ λέγω$^{\text{vipa3s}}$ ὁ$^{\text{ddms}}$ Πέτρος$^{\text{ndms}}$ οὕτω$^{\text{bo}}$ οὐ$^{\text{xo}}$ ἰσχύω$^{\text{viaa2p}}$ εἷς$^{\text{nafs}}$ ὥρα$^{\text{nafs}}$ γρηγορέω$^{\text{vnaa}}$ μετά$^{\text{p}}$ ἐγώ$^{\text{rpg-s}}$. **v.41** γρηγορέω$^{\text{vdpa2p}}$ καί$^{\text{c}}$ προσεύχομαι$^{\text{vdpn2p}}$ ἵνα$^{\text{c}}$ μή$^{\text{xo}}$ εἰσέρχομαι$^{\text{vsaa2p}}$ εἰς$^{\text{p}}$ πειρασμός$^{\text{nams}}$ ὁ$^{\text{dnns}}$ μέν$^{\text{xo}}$ πνεῦμα$^{\text{nnns}}$ πρόθυμος$^{\text{annsn}}$ ὁ$^{\text{dnfs}}$ δέ$^{\text{c}}$ σάρξ$^{\text{nnfs}}$ ἀσθενής$^{\text{anfsn}}$. **v.42** πάλιν$^{\text{bo}}$ ἐκ$^{\text{p}}$ δεύτερος$^{\text{agnsn}}$ ἀπέρχομαι$^{\text{vpaanms}}$ προσεύχομαι$^{\text{viad3s}}$ λέγω$^{\text{vppanms}}$ πατήρ$^{\text{nvms}}$ ἐγώ$^{\text{rpg-s}}$ εἰ$^{\text{qo}}$ οὐ$^{\text{xo}}$ δύναμαι$^{\text{vipn3s}}$ οὗτος$^{\text{rdnns}}$ ὁ$^{\text{dnns}}$ ποτήριον$^{\text{nnns}}$ παρέρχομαι$^{\text{vnaa}}$ ἀπό$^{\text{p}}$ ἐγώ$^{\text{rpg-s}}$ ἐάν$^{\text{qo}}$ μή$^{\text{xo}}$ αὐτός$^{\text{rpans}}$ πίνω$^{\text{vsaa1s}}$ γίνομαι$^{\text{vdao3s}}$ ὁ$^{\text{dnns}}$ θέλημα$^{\text{nnns}}$ σύ$^{\text{rpg-s}}$. **v.43** καί$^{\text{c}}$ ἔρχομαι$^{\text{vpaanms}}$ εὑρίσκω$^{\text{vipa3s}}$ αὐτός$^{\text{rpamp}}$ πάλιν$^{\text{bo}}$ καθεύδω$^{\text{vppaamp}}$ εἰμί$^{\text{viix3p}}$ γάρ$^{\text{c}}$ αὐτός$^{\text{rpgmp}}$ ὁ$^{\text{dnmp}}$ ὀφθαλμός$^{\text{nnmp}}$ βαρέω$^{\text{vpxpnmp}}$. **v.44** καί$^{\text{c}}$ ἀφίημι$^{\text{vpaanms}}$ αὐτός$^{\text{rpamp}}$ ἀπέρχομαι$^{\text{vpaanms}}$ πάλιν$^{\text{bo}}$ προσεύχομαι$^{\text{viad3s}}$ ἐκ$^{\text{p}}$ τρίτος$^{\text{agnsn}}$ ὁ$^{\text{dams}}$ αὐτός$^{\text{rpams}}$ λόγος$^{\text{nams}}$ λέγω$^{\text{vpaanms}}$. **v.45** τότε$^{\text{bo}}$ ἔρχομαι$^{\text{vipn3s}}$ πρός$^{\text{p}}$ ὁ$^{\text{damp}}$ μαθητής$^{\text{namp}}$ αὐτός$^{\text{rpgms}}$ καί$^{\text{c}}$ λέγω$^{\text{vipa3s}}$ αὐτός$^{\text{rpdmp}}$ καθεύδω$^{\text{vipa2p}}$ ὁ$^{\text{dans}}$ λοιπός$^{\text{aansn}}$ καί$^{\text{c}}$ ἀναπαύω$^{\text{vipm2p}}$ ἰδού$^{\text{vdaa2s}}$ ἐγγίζω$^{\text{vixa3s}}$ ὁ$^{\text{dnfs}}$ ὥρα$^{\text{nnfs}}$ καί$^{\text{c}}$ ὁ$^{\text{dnms}}$ υἱός$^{\text{nnms}}$ ὁ$^{\text{dgms}}$ ἄνθρωπος$^{\text{ngms}}$ παραδίδωμι$^{\text{vipp3s}}$ εἰς$^{\text{p}}$ χείρ$^{\text{nafp}}$ ἁμαρτωλός$^{\text{agmpn}}$. **v.46** ἐγείρω$^{\text{vdpe2p}}$ ἄγω$^{\text{vspa1p}}$ ἰδού$^{\text{vdaa2s}}$ ἐγγίζω$^{\text{vixa3s}}$ ὁ$^{\text{dnms}}$ παραδίδωμι$^{\text{vppanms}}$ ἐγώ$^{\text{rpa-s}}$. **v.47** καί$^{\text{c}}$ ἔτι$^{\text{bo}}$ αὐτός$^{\text{rpgms}}$ λαλέω$^{\text{vppagms}}$ ἰδού$^{\text{vdaa2s}}$ Ἰούδας$^{\text{nnms}}$ εἷς$^{\text{nnms}}$ ὁ$^{\text{dgmp}}$ δώδεκα$^{\text{tn}}$ ἔρχομαι$^{\text{viaa3s}}$ καί$^{\text{c}}$ μετά$^{\text{p}}$ αὐτός$^{\text{rpgms}}$ ὄχλος$^{\text{nnms}}$ πολύς$^{\text{anmsn}}$ μετά$^{\text{p}}$ μάχαιρα$^{\text{ngfp}}$ καί$^{\text{c}}$ ξύλον$^{\text{ngnp}}$ ἀπό$^{\text{p}}$ ὁ$^{\text{dgmp}}$ ἀρχιερεύς$^{\text{ngmp}}$ καί$^{\text{c}}$ πρεσβύτερος$^{\text{agmpn}}$ ὁ$^{\text{dgms}}$ λαός$^{\text{ngms}}$. **v.48** ὁ$^{\text{dnms}}$ δέ$^{\text{c}}$ παραδίδωμι$^{\text{vppanms}}$ αὐτός$^{\text{rpams}}$ δίδωμι$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpdmp}}$ σημεῖον$^{\text{nans}}$ λέγω$^{\text{vppanms}}$ ὅς$^{\text{rrams}}$ ἄν$^{\text{xo}}$ φιλέω$^{\text{vsaa1s}}$ αὐτός$^{\text{rpnms}}$ εἰμί$^{\text{vipx3s}}$ κρατέω$^{\text{vdaa2p}}$ αὐτός$^{\text{rpams}}$. **v.49** καί$^{\text{c}}$ εὐθέως$^{\text{bo}}$ προσέρχομαι$^{\text{vpaanms}}$ ὁ$^{\text{ddms}}$ Ἰησοῦς$^{\text{ndms}}$ λέγω$^{\text{viaa3s}}$ χαίρω$^{\text{vdpa2s}}$ ῥαββί$^{\text{th}}$ καί$^{\text{c}}$ καταφιλέω$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpams}}$. **v.50** ὁ$^{\text{dnms}}$ δέ$^{\text{c}}$ Ἰησοῦς$^{\text{nnms}}$ λέγω$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpdms}}$ ἑταῖρος$^{\text{nvms}}$ ἐπί$^{\text{p}}$ ὅς$^{\text{rrdns}}$ πάρειμι$^{\text{vipx2s}}$ τότε$^{\text{bo}}$ προσέρχομαι$^{\text{vpaanmp}}$ ἐπιβάλλω$^{\text{viaa3p}}$ ὁ$^{\text{dafp}}$ χείρ$^{\text{nafp}}$ ἐπί$^{\text{p}}$ ὁ$^{\text{dams}}$ Ἰησοῦς$^{\text{nams}}$ καί$^{\text{c}}$ κρατέω$^{\text{viaa3p}}$ αὐτός$^{\text{rpams}}$.

καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον.
τότε λέγει αὐτῷ ὁ Ἰησοῦς Ἀπόστρεψον σου τὴν μάχαιράν εἰς 52
τὸν τόπον αὐτῆς, πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαί-
ρᾳ ἀπολοῦνται. ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι 53
τὸν πατέρα μου καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶ-
νας ἀγγέλων. πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτως δεῖ 54
γενέσθαι. Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις Ὡς 55
ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με
καθ ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ καὶ
οὐκ ἐκρατήσατέ με. τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν 56
αἱ γραφαὶ τῶν προφητῶν Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐ-
τὸν ἔφυγον. Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον πρὸς 57
Καϊάφαν τὸν ἀρχιερέα ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι
συνήχθησαν. ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως 58
τῆς αὐλῆς τοῦ ἀρχιερέως καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑ-
πηρετῶν ἰδεῖν τὸ τέλος. οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ 59
τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ
ὅπως αὐτὸν θανατώσωσιν. καὶ οὐχ εὗρον καὶ πολλῶν ψευδο- 60
μαρτύρων προσελθόντων οὐχ εὗρον, ὕστερον δὲ προσελθόντες
δύο ψευδομάρτυρες. εἶπον, Οὗτος ἔφη Δύναμαι καταλῦσαι 61

---

v.51 καί[c] ἰδού[vdaa2s] εἷς[nnms] ὁ[dgmp] μετά[p] Ἰησοῦς[ngms] ἐκτείνω[vpaanfs] ὁ[dafs] χείρ[nafs] ἀποσπάω[viaa3s] ὁ[dafs] μάχαιρα[nafs] αὐτός[rpgms] καί[c] πατάσσω[vpaanms] ὁ[dams] δοῦλος[nams] ὁ[dgms] ἀρχιερεύς[ngms] ἀφαιρέω[viaa3s] αὐτός[rpgms] ὁ[dans] ὠτίον[nans]. **v.52** τότε[bo] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἀποστρέφω[vdaa2s] σύ[rpg-s] ὁ[dafs] μάχαιρα[nafs] εἰς[p] ὁ[dams] τόπος[nams] αὐτός[rpgfs] πᾶς[anmpn] γάρ[c] ὁ[dnmp] λαμβάνω[vpaanmp] μάχαιρα[nafs] ἐν[p] μάχαιρα[ndfs] ἀπόλλυμι[vifm3p]. **v.53** ἤ[xo] δοκέω[vipa2s] ὅτι[c] οὐ[xo] δύναμαι[vipn1s] ἄρτι[bo] παρακαλέω[vnaa] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] καί[c] παρίστημι[vifa3s] ἐγώ[rpd-s] πολύς[aafpc] ἤ[xo] δώδεκα[tn] λεγιών[namp] ἄγγελος[ngmp]. **v.54** πῶς[bo] οὖν[c] πληρόω[vsap3p] ὁ[dnfp] γραφή[nnfp] ὅτι[c] οὕτω[bo] δεῖ[vipq3s] γίνομαι[vnad]. **v.55** ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] ὥρα[ndfs] λέγω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[ddmp] ὄχλος[ndmp] ὡς[bo] ἐπί[p] λῃστής[nams] ἐξέρχομαι[viaa2p] μετά[p] μάχαιρα[ngfp] καί[c] ξύλον[ngnp] συλλαμβάνω[vnaa] ἐγώ[rpa-s] κατά[p] ἡμέρα[nafs] πρός[p] σύ[rpa-p] καθέζομαι[viin1s] διδάσκω[vppanms] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] καί[c] οὐ[xo] κρατέω[viaa2p] ἐγώ[rpa-s]. **v.56** οὗτος[rdnns] δέ[c] ὅλος[annsn] γίνομαι[vixa3s] ἵνα[c] πληρόω[vsap3p] ὁ[dnfp] γραφή[nnfp] ὁ[dgmp] προφήτης[ngmp] τότε[bo] ὁ[dnmp] μαθητής[nnmp] πᾶς[anmpn] ἀφίημι[vpaanmp] αὐτός[rpams] φεύγω[viaa3p]. **v.57** ὁ[dnmp] δέ[c] κρατέω[vpaanmp] ὁ[dams] Ἰησοῦς[nams] ἀπάγω[viaa3p] πρός[p] Καϊάφας[nams] ὁ[dams] ἀρχιερεύς[nams] ὅπου[bo] ὁ[dnmp] γραμματεύς[nnmp] καί[c] ὁ[dnmp] πρεσβύτερος[anmpn] συνάγω[viap3p]. **v.58** ὁ[dnms] δέ[c] Πέτρος[nnms] ἀκολουθέω[viia3s] αὐτός[rpdms] ἀπό[p] μακρόθεν[bo] ἕως[c] ὁ[dgfs] αὐλή[ngfs] ὁ[dgms] ἀρχιερεύς[ngms] καί[c] εἰσέρχομαι[vpaanms] ἔσω[bo] κάθημαι[viin3s] μετά[p] ὁ[dgmp] ὑπηρέτης[ngmp] ὁράω[vnaa] ὁ[dans] τέλος[nans]. **v.59** ὁ[dnmp] δέ[c] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] πρεσβύτερος[anmpn] καί[c] ὁ[dnns] συνέδριον[nnns] ὅλος[annsn] ζητέω[viia3p] ψευδομαρτυρία[nafs] κατά[p] ὁ[dgms] Ἰησοῦς[ngms] ὅπως[bo] αὐτός[rpams] θανατόω[vsaa3p]. **v.60** καί[c] οὐ[xo] εὑρίσκω[viaa3p] καί[c] πολύς[agmpn] ψευδόμαρτυς[ngmp] προσέρχομαι[vpaagmp] οὐ[xo] εὑρίσκω[viaa3p] ὕστερος[bo] δέ[c] προσέρχομαι[vpaanmp] δύο[tn] ψευδόμαρτυς[nnmp].

τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν.
62 καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ Οὐδὲν ἀποκρίνῃ τί οὗτοί
63 σου καταμαρτυροῦσιν. ὁ δὲ Ἰησοῦς ἐσιώπα καὶ ἀποκριθείς ὁ
ἀρχιερεὺς εἶπεν αὐτῷ Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος
64 ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. λέγει αὐτῷ
ὁ Ἰησοῦς Σὺ εἶπας, πλὴν λέγω ὑμῖν ἀπ ἄρτι ὄψεσθε τὸν υἱὸν
τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμε-
65 νον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. τότε ὁ ἀρχιερεὺς διέρρηξεν
τὰ ἱμάτια αὐτοῦ λέγων ὅτι Ἐβλασφήμησεν, τί ἔτι χρείαν ἔχο-
66 μεν μαρτύρων ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν, αὐτοῦ, τί
ὑμῖν δοκεῖ οἱ δὲ ἀποκριθέντες εἶπον, Ἔνοχος θανάτου ἐστίν.
67 Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν αὐ-
68 τόν οἱ δὲ ἐρράπισαν, λέγοντες Προφήτευσον ἡμῖν Χριστέ τίς
69 ἐστιν ὁ παίσας σε. Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ, καὶ
προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα Καὶ σὺ ἦσθα μετὰ Ἰη-
70 σοῦ τοῦ Γαλιλαίου. ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων λέγων
71 Οὐκ οἶδα τί λέγεις. ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα εἶδεν
αὐτὸν ἄλλη καὶ λέγει τοῖς ἐκεῖ καὶ Οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ
72 Ναζωραίου. καὶ πάλιν ἠρνήσατο μεʼθ ὅρκου ὅτι Οὐκ οἶδα τὸν
73 ἄνθρωπον. μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ
Πέτρῳ Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε

---

v.61 λέγω[viaa3p] οὗτος[rdnms] φημί[viix3s] δύναμαι[vipn1s] καταλύω[vnaa] ὁ[dams] ναός[nams] ὁ[dgms] θεός[ngms] καί[c] διά[p] τρεῖς[ngfp] ἡμέρα[ngfp] οἰκοδομέω[vnaa] αὐτός[rpams]. **v.62** καί[c] ἀνίστημι[vpaanms] ὁ[dnms] ἀρχιερεύς[nnms] λέγω[viaa3s] αὐτός[rpdms] οὐδείς[aansn] ἀποκρίνομαι[vipn2s] τίς[rqans] οὗτος[rdnmp] σύ[rpg-s] καταμαρτυρέω[vipa3p]. **v.63** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] σιωπάω[viia3s] καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] ἀρχιερεύς[nnms] λέγω[viaa3s] αὐτός[rpdms] ἐξορκίζω[vipa1s] σύ[rpa-s] κατά[p] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ζάω[vppagms] ἵνα[c] ἐγώ[rpd-p] λέγω[vsaa2s] εἰ[qo] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] Χριστός[nnms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms]. **v.64** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] σύ[rpn-s] λέγω[viaa2s] πλήν[bo] λέγω[vipa1s] σύ[rpd-p] ἀπό[p] ἄρτι[bo] ὁράω[vifd2p] ὁ[dams] υἱός[nams] ὁ[dgms] ἄνθρωπος[ngms] κάθημαι[vppnams] ἐκ[p] δεξιός[agmpn] ὁ[dgfs] δύναμις[ngfs] καί[c] ἔρχομαι[vppnams] ἐπί[p] ὁ[dgfp] νεφέλη[ngfp] ὁ[dgms] οὐρανός[ngms]. **v.65** τότε[bo] ὁ[dnms] ἀρχιερεύς[nnms] διαρρήγνυμι[viaa3s] ὁ[danp] ἱμάτιον[nanp] αὐτός[rpgms] λέγω[vppanms] ὅτι[c] βλασφημέω[viaa3s] τίς[rqans] ἔτι[bo] χρεία[nafs] ἔχω[vipa1p] μάρτυς[ngmp] ἴδε[i] νῦν[bo] ἀκούω[viaa2p] ὁ[dafs] βλασφημία[nafs] αὐτός[rpgms]. **v.66** τίς[rqans] σύ[rpd-p] δοκέω[vipa3s] ὁ[dnmp] δέ[c] ἀποκρίνομαι[vpaonmp] λέγω[viaa3p] ἔνοχος[anmsn] θάνατος[ngms] εἰμί[vipx3s]. **v.67** τότε[bo] ἐμπτύω[viaa3p] εἰς[p] ὁ[dans] πρόσωπον[nans] αὐτός[rpgms] καί[c] κολαφίζω[viaa3p] αὐτός[rpams] ὁ[dnmp] δέ[c] ῥαπίζω[viaa3p]. **v.68** λέγω[vppanmp] προφητεύω[vdaa2s] ἐγώ[rpd-p] Χριστός[nvms] τίς[rqnms] εἰμί[vipx3s] ὁ[dnms] παίω[vpaanms] σύ[rpa-s]. **v.69** ὁ[dnms] δέ[c] Πέτρος[nnms] ἔξω[bo] κάθημαι[viin3s] ἐν[p] ὁ[ddfs] αὐλή[ndfs] καί[c] προσέρχομαι[viaa3s] αὐτός[rpdms] εἷς[nnfs] παιδίσκη[nnfs] λέγω[vppanfs] καί[c] σύ[rpn-s] εἰμί[viix2s] μετά[p] Ἰησοῦς[ngms] ὁ[dgms] Γαλιλαῖος[ngms]. **v.70** ὁ[dnms] δέ[c] ἀρνέομαι[viad3s] ἔμπροσθεν[p] πᾶς[agmpn] λέγω[vppanms] οὐ[xo] οἶδα[vixa1s] τίς[rqans] λέγω[vipa2s]. **v.71** ἐξέρχομαι[vpaaams] δέ[c] αὐτός[rpams] εἰς[p] ὁ[dams] πυλών[nams] ὁράω[viaa3s] αὐτός[rpams] ἄλλος[anfsn] καί[c] λέγω[vipa3s] ὁ[ddmp] ἐκεῖ[bo] καί[c] οὗτος[rdnms] εἰμί[viix3s] μετά[p] Ἰησοῦς[ngms] ὁ[dgms] Ναζωραῖος[ngms]. **v.72** καί[c] πάλιν[bo] ἀρνέομαι[viad3s] μετά[p] ὅρκος[ngms] ὅτι[c] οὐ[xo] οἶδα[vixa1s] ὁ[dams] ἄνθρωπος[nams].

ποιεῖ. τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν ὅτι Οὐκ οἶδα 74
τὸν ἄνθρωπον καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. καὶ ἐμνήσθη ὁ 75
Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ εἰρηκότος αὐτῷ ὅτι Πρὶν ἀλέ-
κτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με, καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν
πικρῶς.

Πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιε- **27**
ρεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ ὥστε θανα-
τῶσαι αὐτόν, καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν 2
αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Τότε ἰδὼν Ἰούδας ὁ παρα- 3
διδοὺς αὐτὸν ὅτι κατεκρίθη μεταμεληθεὶς ἀπέστρεψέν τὰ τριά-
κοντα ἀργύρια τοῖς ἀρχιερεῦσιν καὶ τοῖς πρεσβυτέροις. λέγων 4
Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον οἱ δὲ εἶπον, Τί πρὸς ἡμᾶς σὺ
ὄψει.. καὶ ῥίψας τὰ ἀργύρια ἕν τῷ ναῷ ἀνεχώρησεν καὶ ἀ- 5
πελθὼν ἀπήγξατο. οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον, 6
Οὐκ ἔξεστιν βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν ἐπεὶ τιμὴ αἵματός
ἐστιν. συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν Ἀγρὸν 7
τοῦ Κεραμέως εἰς ταφὴν τοῖς ξένοις. διὸ ἐκλήθη ὁ ἀγρὸς ἐ- 8
κεῖνος Ἀγρὸς Αἵματος ἕως τῆς σήμερον. τότε ἐπληρώθη τὸ 9
ῥηθὲν διὰ Ἰερεμίου τοῦ προφήτου λέγοντος Καὶ ἔλαβον τὰ τρι-
άκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ

---

v.73 μετά[p] μικρός[aansn] δέ[c] προσέρχομαι[vpaanmp] ὁ[dnmp] ἵστημι[vpxanmp] λέγω[viaa3p] ὁ[ddms] Πέτρος[ndms] ἀληθῶς[bo] καί[c] σύ[rpn-s] ἐκ[p] αὐτός[rpgmp] εἰμί[vipx2s] καί[c] γάρ[c] ὁ[dnfs] λαλιά[nnfs] σύ[rpg-s] δῆλος[aamsn] σύ[rpa-s] ποιέω[vipa3s]. **v.74** τότε[bo] ἄρχω[viad3s] καταθεματίζω[vnpa] καί[c] ὀμνύω[vnpa] ὅτι[c] οὐ[xo] οἶδα[vixa1s] ὁ[dams] ἄνθρωπος[nams] καί[c] εὐθέως[bo] ἀλέκτωρ[nnms] φωνέω[viaa3s]. **v.75** καί[c] μιμνῄσκομαι[viap3s] ὁ[dnms] Πέτρος[nnms] ὁ[dgns] ῥῆμα[ngns] ὁ[dgms] Ἰησοῦς[ngms] λέγω[vpxagns] αὐτός[rpdms] ὅτι[c] πρίν[bo] ἀλέκτωρ[nams] φωνέω[vnaa] τρίς[bo] ἀπαρνέομαι[vifd2s] ἐγώ[rpa-s] καί[c] ἐξέρχομαι[vpaanms] ἔξω[bo] κλαίω[viaa3s] πικρῶς[bo]. **27. v.1** πρωΐα[ngfs] δέ[c] γίνομαι[vpadgfs] συμβούλιον[nans] λαμβάνω[viaa3p] πᾶς[anmpn] ὁ[dnmp] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] πρεσβύτερος[anmpn] ὁ[dgms] λαός[ngms] κατά[p] ὁ[dgms] Ἰησοῦς[ngms] ὥστε[c] θανατόω[vnaa] αὐτός[rpams]. **v.2** καί[c] δέω[vpaanmp] αὐτός[rpams] ἀπάγω[viaa3p] καί[c] παραδίδωμι[viaa3p] αὐτός[rpams] Πόντιος[ndms] Πιλᾶτος[ndms] ὁ[ddms] ἡγεμών[ndms]. **v.3** τότε[bo] ὁράω[vpaanms] Ἰούδας[nnms] ὁ[dnms] παραδίδωμι[vppanms] αὐτός[rpams] ὅτι[c] κατακρίνω[viap3s] μεταμέλομαι[vpaonms] ἀποστρέφω[viaa3s] ὁ[danp] τριάκοντα[tn] ἀργύριον[nanp] ὁ[ddmp] ἀρχιερεύς[ndmp] καί[c] ὁ[ddmp] πρεσβύτερος[admpn]. **v.4** λέγω[vppanms] ἁμαρτάνω[viaa1s] παραδίδωμι[vpaanms] αἷμα[nans] ἀθῷος[aansn] ὁ[dnmp] δέ[c] λέγω[viaa3p] τίς[rqnns] πρός[p] ἐγώ[rpa-p] σύ[rpn-s] ὀπτάνομαι[vifd2s]. **v.5** καί[c] ῥίπτω[vpaanms] ὁ[danp] ἀργύριον[nanp] ἐν[p] ὁ[ddms] ναός[ndms] ἀναχωρέω[viaa3s] καί[c] ἀπέρχομαι[vpaanms] ἀπάγχω[viam3s]. **v.6** ὁ[dnmp] δέ[c] ἀρχιερεύς[nnmp] λαμβάνω[vpaanmp] ὁ[danp] ἀργύριον[nanp] λέγω[viaa3p] οὐ[xo] ἔξεστι[vipq3s] βάλλω[vnaa] αὐτός[rpanp] εἰς[p] ὁ[dams] κορβανᾶς[nams] ἐπεί[c] τιμή[nnfs] αἷμα[ngns] εἰμί[vipx3s]. **v.7** συμβούλιον[nans] δέ[c] λαμβάνω[vpaanmp] ἀγοράζω[viaa3p] ἐκ[p] αὐτός[rpgnp] ὁ[dams] ἀγρός[nams] ὁ[dgms] κεραμεύς[ngms] εἰς[p] ταφή[nafs] ὁ[ddmp] ξένος[admpn]. **v.8** διό[c] καλέω[viap3s] ὁ[dnms] ἀγρός[nnms] ἐκεῖνος[rdnms] ἀγρός[nnms] αἷμα[ngns] ἕως[c] ὁ[dgfs] σήμερον[bo].

10 υἱῶν Ἰσραήλ. καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως
11 καθὰ συνέταξέν μοι κύριος. Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν
τοῦ ἡγεμόνος, καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων Σὺ εἶ ὁ
12 βασιλεὺς τῶν Ἰουδαίων ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ Σὺ λέγεις. καὶ
ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρε-
13 σβυτέρων οὐδὲν ἀπεκρίνατο. τότε λέγει αὐτῷ ὁ Πιλᾶτος Οὐκ
14 ἀκούεις πόσα σου καταμαρτυροῦσιν. καὶ οὐκ ἀπεκρίθη αὐτῷ
15 πρὸς οὐδὲ ἓν ῥῆμα ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν. Κα-
τὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον
16 ὃν ἤθελον. εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βα-
17 ραββᾶν. συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλᾶτος Τίνα
θέλετε ἀπολύσω ὑμῖν Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χρι-
18, 19 στόν. ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. Καθημένου
δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος ἀπέστειλεν πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ
λέγουσα Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ, πολλὰ γὰρ ἔπαθον
20 σήμερον κατ ὄναρ δι᾽ αὐτόν. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύ-
τεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν τὸν
21 δὲ Ἰησοῦν ἀπολέσωσιν. ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς
Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν οἱ δὲ εἶπον, Βαραββᾶν.
22 λέγει αὐτοῖς ὁ Πιλᾶτος Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον

---

v.9 τότε[bo] πληρόω[viap3s] ὁ[dnns] λέγω[vpapnns] διά[p] Ἰερεμίας[ngms] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns] καί[c] λαμβάνω[viaa3p] ὁ[danp] τριάκοντα[tn] ἀργύριον[nanp] ὁ[dafs] τιμή[nafs] ὁ[dgms] τιμάω[vpxpgms] ὅς[rrams] τιμάω[viam3p] ἀπό[p] υἱός[ngmp] Ἰσραήλ[tp]. **v.10** καί[c] δίδωμι[viaa3p] αὐτός[rpanp] εἰς[p] ὁ[dams] ἀγρός[nams] ὁ[dgms] κεραμεύς[ngms] καθά[bo] συντάσσω[viaa3s] ἐγώ[rpd-s] κύριος[nnms]. **v.11** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] ἵστημι[viaa3s] ἔμπροσθεν[p] ὁ[dgms] ἡγεμών[ngms] καί[c] ἐπερωτάω[viaa3s] αὐτός[rpams] ὁ[dnms] ἡγεμών[nnms] λέγω[vppanms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn] ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] φημί[viix3s] αὐτός[rpdms] σύ[rpn-s] λέγω[vipa2s]. **v.12** καί[c] ἐν[p] ὁ[ddms] κατηγορέω[vnpp] αὐτός[rpams] ὑπό[p] ὁ[dgmp] ἀρχιερεύς[ngmp] καί[c] ὁ[dgmp] πρεσβύτερος[agmpn] οὐδείς[aansn] ἀποκρίνομαι[viad3s]. **v.13** τότε[bo] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Πιλᾶτος[nnms] οὐ[xo] ἀκούω[vipa2s] πόσος[roanp] σύ[rpg-s] καταμαρτυρέω[vipa3p]. **v.14** καί[c] οὐ[xo] ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] πρός[p] οὐδέ[bo] εἷς[nans] ῥῆμα[nans] ὥστε[c] θαυμάζω[vnpa] ὁ[dams] ἡγεμών[nams] λίαν[bo]. **v.15** κατά[p] δέ[c] ἑορτή[nafs] εἴωθα[viya3s] ὁ[dnms] ἡγεμών[nnms] ἀπολύω[vnpa] εἷς[nams] ὁ[ddms] ὄχλος[ndms] δέσμιος[nams] ὅς[rrams] θέλω[viia3p]. **v.16** ἔχω[viia3p] δέ[c] τότε[bo] δέσμιος[nams] ἐπίσημος[aamsn] λέγω[vpppams] Βαραββᾶς[nams]. **v.17** συνάγω[vpxpgmp] οὖν[c] αὐτός[rpgmp] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Πιλᾶτος[nnms] τίς[rqams] θέλω[vipa2p] ἀπολύω[vsaa1s] σύ[rpd-p] Βαραββᾶς[nams] ἤ[xo] Ἰησοῦς[nams] ὁ[dams] λέγω[vpppams] Χριστός[nams]. **v.18** οἶδα[viya3s] γάρ[c] ὅτι[c] διά[p] φθόνος[nams] παραδίδωμι[viaa3p] αὐτός[rpams]. **v.19** κάθημαι[vppngms] δέ[c] αὐτός[rpgms] ἐπί[p] ὁ[dgns] βῆμα[ngns] ἀποστέλλω[viaa3s] πρός[p] αὐτός[rpams] ὁ[dnfs] γυνή[nnfs] αὐτός[rpgms] λέγω[vppanfs] μηδείς[annsn] σύ[rpd-s] καί[c] ὁ[ddms] δίκαιος[admsn] ἐκεῖνος[rddms] πολύς[aanpn] γάρ[c] πάσχω[viaa1s] σήμερον[bo] κατά[p] ὄναρ[to] διά[p] αὐτός[rpams]. **v.20** ὁ[dnmp] δέ[c] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] πρεσβύτερος[anmpn] πείθω[viaa3p] ὁ[damp] ὄχλος[namp] ἵνα[c] αἰτέω[vsam3p] ὁ[dams] Βαραββᾶς[nams] ὁ[dams] δέ[c] Ἰησοῦς[nams] ἀπόλλυμι[vsaa3p]. **v.21** ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] ἡγεμών[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] τίς[rqams] θέλω[vipa2p] ἀπό[p] ὁ[dgmp] δύο[tn] ἀπολύω[vsaa1s] σύ[rpd-p] ὁ[dnmp] δέ[c] λέγω[viaa3p] Βαραββᾶς[nams].

Χριστόν λέγουσιν αὐτῷ πάντες Σταυρωθήτω. ὁ δὲ ἡγεμὼν ἔφη 23
Τί γὰρ κακὸν ἐποίησεν οἱ δὲ περισσῶς ἔκραζον λέγοντες Σταυ-
ρωθήτω. ἰδὼν δὲ ὁ Πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ μᾶλλον 24
θόρυβος γίνεται λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι
τοῦ ὄχλου λέγων Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τού-
του, ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν Τὸ αἷμα 25
αὐτοῦ ἐφ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. τότε ἀπέλυσεν αὐ- 26
τοῖς τὸν Βαραββᾶν τὸν δὲ Ἰησοῦν φραγελλώσας παρέδωκεν ἵνα
σταυρωθῇ. Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες 27
τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ αὐτὸν ὅλην τὴν
σπεῖραν. καὶ ἐκδύσαντες αὐτὸν περιέθηκαν αὐτῷ χλαμύδα 28
κοκκίνην. καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ 29
τήν κεφαλήν αὐτοῦ καὶ κάλαμον ἐπὶ τήν δεξιάν αὐτοῦ καὶ γο-
νυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες Χαῖρε
ὁ βασιλεῦς τῶν Ἰουδαίων. καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον 30
τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε 31
ἐνέπαιξαν αὐτῷ ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐ-
τὸν τὰ ἱμάτια αὐτοῦ καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι.
Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον ὀνόματι Σίμωνα 32
τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ ἐλθόν- 33
τες εἰς τόπον λεγόμενον Γολγοθᾶ ὅς ἐστιν λεγόμενος Κρανίου

---

v.22 λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Πιλᾶτος[nnms] τίς[rqans] οὖν[c] ποιέω[vifa1s] Ἰησοῦς[nams] ὁ[dams] λέγω[vpppams] Χριστός[nams] λέγω[vipa3p] αὐτός[rpdms] πᾶς[anmpn] σταυρόω[vdap3s]. **v.23** ὁ[dnms] δέ[c] ἡγεμών[nnms] φημί[viix3s] τίς[rqans] γάρ[c] κακός[aansn] ποιέω[viaa3s] ὁ[dnmp] δέ[c] περισσῶς[bo] κράζω[viia3p] λέγω[vppanmp] σταυρόω[vdap3s]. **v.24** ὁράω[vpaanms] δέ[c] ὁ[dnms] Πιλᾶτος[nnms] ὅτι[c] οὐδείς[aansn] ὠφελέω[vipa3s] ἀλλά[c] μᾶλλον[bo] θόρυβος[nnms] γίνομαι[vipn3s] λαμβάνω[vpaanms] ὕδωρ[nans] ἀπονίζω[viam3s] ὁ[dafp] χείρ[nafp] ἀπέναντι[bo] ὁ[dgms] ὄχλος[ngms] λέγω[vppanms] ἀθῷος[anmsn] εἰμί[vipx1s] ἀπό[p] ὁ[dgns] αἷμα[ngns] ὁ[dgms] δίκαιος[agmsn] οὗτος[rdgms] σύ[rpn-p] ὁράω[vifd2p]. **v.25** καί[c] ἀποκρίνομαι[vpaonms] πᾶς[anmsn] ὁ[dnms] λαός[nnms] λέγω[viaa3s] ὁ[dnns] αἷμα[nnns] αὐτός[rpgms] ἐπί[p] ἐγώ[rpa-p] καί[c] ἐπί[p] ὁ[danp] τέκνον[nanp] ἐγώ[rpg-p]. **v.26** τότε[bo] ἀπολύω[viaa3s] αὐτός[rpdmp] ὁ[dams] Βαραββᾶς[nams] ὁ[dams] δέ[c] Ἰησοῦς[nams] φραγελλόω[vpaanms] παραδίδωμι[viaa3s] ἵνα[c] σταυρόω[vsap3s]. **v.27** τότε[bo] ὁ[dnmp] στρατιώτης[nnmp] ὁ[dgms] ἡγεμών[ngms] παραλαμβάνω[vpaanmp] ὁ[dams] Ἰησοῦς[nams] εἰς[p] ὁ[dans] πραιτώριον[nans] συνάγω[viaa3p] ἐπί[p] αὐτός[rpams] ὅλος[aafsn] ὁ[dafs] σπεῖρα[nafs]. **v.28** καί[c] ἐκδύω[vpaanmp] αὐτός[rpams] περιτίθημι[viaa3p] αὐτός[rpdms] χλαμύς[nafs] κόκκινος[aafsn]. **v.29** καί[c] πλέκω[vpaanmp] στέφανος[nams] ἐκ[p] ἄκανθα[ngfp] ἐπιτίθημι[viaa3p] ἐπί[p] ὁ[dafs] κεφαλή[nafs] αὐτός[rpgms] καί[c] κάλαμος[nams] ἐπί[p] ὁ[dafs] δεξιός[aafsn] αὐτός[rpgms] καί[c] γονυπετέω[vpaanmp] ἔμπροσθεν[p] αὐτός[rpgms] ἐμπαίζω[viia3p] αὐτός[rpdms] λέγω[vppanmp] χαίρω[vdpa2s] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.30** καί[c] ἐμπτύω[vpaanmp] εἰς[p] αὐτός[rpams] λαμβάνω[viaa3p] ὁ[dams] κάλαμος[nams] καί[c] τύπτω[viia3p] εἰς[p] ὁ[dafs] κεφαλή[nafs] αὐτός[rpgms]. **v.31** καί[c] ὅτε[bo] ἐμπαίζω[viaa3p] αὐτός[rpdms] ἐκδύω[viaa3p] αὐτός[rpams] ὁ[dafs] χλαμύς[nafs] καί[c] ἐνδύω[viaa3p] αὐτός[rpams] ὁ[danp] ἱμάτιον[nanp] αὐτός[rpgms] καί[c] ἀπάγω[viaa3p] αὐτός[rpams] εἰς[p] ὁ[dans] σταυρόω[vnaa]. **v.32** ἐξέρχομαι[vppnnmp] δέ[c] εὑρίσκω[viaa3p] ἄνθρωπος[nams] Κυρηναῖος[nams] ὄνομα[ndns] Σίμων[nams] οὗτος[rdams] ἀγγαρεύω[viaa3p] ἵνα[c] αἴρω[vsaa3s] ὁ[dams] σταυρός[nams] αὐτός[rpgms].

34 Τόπος. ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον, καὶ
35 γευσάμενος οὐκ ἤθελεν πιεῖν. σταυρώσαντες δὲ αὐτὸν διε-
μερίσαντο τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον ἵνα πληρωθῇ τὸ
ῥηθὲν ὑπὸ τοῦ προφήτου, διεμερίσαντο τὰ ἱμάτια μου ἑαυτοῖς,
36 καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον, καὶ καθήμενοι ἐ-
37 τήρουν αὐτὸν ἐκεῖ. καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ
τὴν αἰτίαν αὐτοῦ γεγραμμένην, Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεῦς
38 τῶν Ἰουδαίων. Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί εἷς ἐκ
39 δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. Οἱ δὲ παραπορευόμενοι ἐβλα-
40 σφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν. καὶ λέγοντες
Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν σῶσον
41 σεαυτόν εἰ υἱὸς εἶ τοῦ θεοῦ κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁ-
μοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων
42 καὶ πρεσβυτέρων ἔλεγον. Ἄλλους ἔσωσεν ἑαυτὸν οὐ δύναται
σῶσαι, εἰ βασιλεὺς Ἰσραήλ ἐστιν καταβάτω νῦν ἀπὸ τοῦ σταυ-
43 ροῦ καὶ πιστεύσομεν αὐτῷ. πέποιθεν ἐπὶ τὸν θεόν ῥυσάσθω
44 νῦν αὐτόν, εἰ θέλει αὐτόν, εἶπεν γὰρ ὅτι Θεοῦ εἰμι υἱός. τὸ
δ αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ ὠνείδιζον αὐτῷ.
45 Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας
46 ἐννάτης. περὶ δὲ τὴν ἐννάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φω-
νῇ μεγάλῃ λέγων Ηλι ηλι λαμὰ σαβαχθανι τοῦτ ἔστιν Θεέ μου

---

v.33 καί[c] ἔρχομαι[vpaanmp] εἰς[p] τόπος[nams] λέγω[vpppams] Γολγοθᾶ[nafs] ὅς[rrnms] εἰμί[vipx3s] λέγω[vpppnms] κρανίον[ngns] τόπος[nnms]. **v.34** δίδωμι[viaa3p] αὐτός[rpdms] πίνω[vnaa] ὄξος[nans] μετά[p] χολή[ngfs] μίγνυμι[vpxpans] καί[c] γεύομαι[vpadnms] οὐ[xo] θέλω[viia3s] πίνω[vnaa]. **v.35** σταυρόω[vpaanmp] δέ[c] αὐτός[rpams] διαμερίζω[viam3p] ὁ[danp] ἱμάτιον[nanp] αὐτός[rpgms] βάλλω[vppanmp] κλῆρος[nams] ἵνα[c] πληρόω[vsap3s] ὁ[dnns] λέγω[vpapnns] ὑπό[p] ὁ[dgms] προφήτης[ngms] διαμερίζω[viam3p] ὁ[danp] ἱμάτιον[nanp] ἐγώ[rpg-s] ἑαυτοῦ[rxdmp] καί[c] ἐπί[p] ὁ[dams] ἱματισμός[nams] ἐγώ[rpg-s] βάλλω[viaa3p] κλῆρος[nams]. **v.36** καί[c] κάθημαι[vppnnmp] τηρέω[viia3p] αὐτός[rpams] ἐκεῖ[bo]. **v.37** καί[c] ἐπιτίθημι[viaa3p] ἐπάνω[bo] ὁ[dgfs] κεφαλή[ngfs] αὐτός[rpgms] ὁ[dafs] αἰτία[nafs] αὐτός[rpgms] γράφω[vpxpafs] οὗτος[rdnms] εἰμί[vipx3s] Ἰησοῦς[nnms] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.38** τότε[bo] σταυρόω[vipp3p] σύν[p] αὐτός[rpdms] δύο[tn] λῃστής[nnmp] εἷς[nnms] ἐκ[p] δεξιός[agmpn] καί[c] εἷς[nnms] ἐκ[p] εὐώνυμος[agmpn]. **v.39** ὁ[dnmp] δέ[c] παραπορεύομαι[vppnnmp] βλασφημέω[viia3p] αὐτός[rpams] κινέω[vppanmp] ὁ[dafp] κεφαλή[nafp] αὐτός[rpgmp]. **v.40** καί[c] λέγω[vppanmp] ὁ[dnms] καταλύω[vppanms] ὁ[dams] ναός[nams] καί[c] ἐν[p] τρεῖς[ndfp] ἡμέρα[ndfp] οἰκοδομέω[vppanms] σῴζω[vdaa2s] σεαυτοῦ[rxams] εἰ[qo] υἱός[nnms] εἰμί[vipx2s] ὁ[dgms] θεός[ngms] καταβαίνω[vdaa2s] ἀπό[p] ὁ[dgms] σταυρός[ngms]. **v.41** ὁμοίως[bo] δέ[c] καί[c] ὁ[dnmp] ἀρχιερεύς[nnmp] ἐμπαίζω[vppanmp] μετά[p] ὁ[dgmp] γραμματεύς[ngmp] καί[c] πρεσβύτερος[agmpn] λέγω[viia3p]. **v.42** ἄλλος[aampn] σῴζω[viaa3s] ἑαυτοῦ[rxams] οὐ[xo] δύναμαι[vipn3s] σῴζω[vnaa] εἰ[qo] βασιλεύς[nnms] Ἰσραήλ[tp] εἰμί[vipx3s] καταβαίνω[vdaa3s] νῦν[bo] ἀπό[p] ὁ[dgms] σταυρός[ngms] καί[c] πιστεύω[vifa1p] αὐτός[rpdms]. **v.43** πείθω[vixa3s] ἐπί[p] ὁ[dams] θεός[nams] ῥύομαι[vdad3s] νῦν[bo] αὐτός[rpams] εἰ[qo] θέλω[vipa3s] αὐτός[rpams] λέγω[viaa3s] γάρ[c] ὅτι[c] θεός[ngms] εἰμί[vipx1s] υἱός[nnms]. **v.44** ὁ[dans] δέ[c] αὐτός[rpans] καί[c] ὁ[dnmp] λῃστής[nnmp] ὁ[dnmp] συσταυρόω[vpapnmp] αὐτός[rpdms] ὀνειδίζω[viia3p] αὐτός[rpdms]. **v.45** ἀπό[p] δέ[c] ἕκτος[agfsn] ὥρα[ngfs] σκότος[nnns] γίνομαι[viad3s] ἐπί[p] πᾶς[aafsn] ὁ[dafs] γῆ[nafs] ἕως[c] ὥρα[ngfs] ἔνατος[agfsn].

θεέ μου ἱνατί με ἐγκατέλιπες. τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀ- 47
κούσαντες ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. καὶ εὐθέως δραμὼν 48
εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον πλήσας τε ὄξους καὶ περιθεὶς
καλάμῳ ἐπότιζεν αὐτόν. οἱ δὲ λοιποὶ ἔλεγον Ἄφες ἴδωμεν εἰ 49
ἔρχεται Ἠλίας σώσων αὐτόν. ὁ δὲ Ἰησοῦς πάλιν κράξας φω- 50
νῇ μεγάλῃ ἀφῆκεν τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ 51
ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω καὶ ἡ γῆ ἐσείσθη
καὶ αἱ πέτραι ἐσχίσθησαν. καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ 52
πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόν- 53
τες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλθον εἰς τὴν
ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος 54
καὶ οἱ μετ αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν ἰδόντες τὸν σεισμὸν καὶ
τὰ γενόμενα ἐφοβήθησαν σφόδρα λέγοντες Ἀληθῶς θεοῦ υἱ-
ὸς ἦν οὗτος. Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν 55
θεωροῦσαι αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας
διακονοῦσαι αὐτῷ, ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία 56
ἡ τοῦ Ἰακώβου καὶ Ἰωσὴ μήτηρ καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβε-
δαίου. Ὀψίας δὲ γενομένης ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ 57
Ἁριμαθαίας τοὔνομα Ἰωσήφ ὃς καὶ αὐτὸς ἐμαθήτευσεν τῷ Ἰη-
σοῦ, οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ 58

v.46 περί^{p} δέ^{c} ὁ^{dafs} ἔνατος^{aafsn} ὥρα^{nafs} ἀναβοάω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} φωνή^{ndfs} μέγας^{adfsn} λέγω^{vppanms} ἠλίth ἠλίth λεμαth σαβαχθάνι^{ta} οὗτος^{rdnns} εἰμί^{vipxqe} θεός^{nvms} ἐγώ$^{rpg-s}$ θεός^{nvms} ἐγώ$^{rpg-s}$ ἱνατί^{bo} ἐγώ$^{rpa-s}$ ἐγκαταλείπω^{viaa2s}. **v.47** τι-σρινμπ δέ^{c} ὁ^{dgmp} ἐκεῖ^{bo} ἵστημι^{vpxagmp} ἀκούω^{vpaanmp} λέγω^{viia3p} ὅτι^{c} Ἠλίας^{nams} φωνέω^{vipa3s} οὗτος^{rdnms}. **v.48** καί^{c} εὐθέως^{bo} τρέχω^{vpaanms} εἷς^{nnms} ἐκ^{p} αὐτός^{rpgmp} καί^{c} λαμβάνω^{vpaanms} σπόγγος^{nams} πίμπλημι^{vpaanms} τέ^{xo} ὄξος^{ngns} καί^{c} περιτίθημι^{vpaanms} κάλαμος^{ndms} ποτίζω^{viia3s} αὐτός^{rpams}. **v.49** ὁ^{dnmp} δέ^{c} λοιπός^{anmpn} λέγω^{viia3p} ἀφίημι^{vdaa2s} ὁράω^{vsaa1p} εἰ^{qo} ἔρχομαι^{vipn3s} Ἠλίας^{nnms} σῴζω^{vpfanms} αὐτός^{rpams}. **v.50** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} πάλιν^{bo} κράζω^{vpaanms} φωνή^{ndfs} μέγας^{adfsn} ἀφίημι^{viaa3s} ὁ^{dans} πνεῦμα^{nans}. **v.51** καί^{c} ἰδού^{vdaa2s} ὁ^{dnns} καταπέτασμα^{nnns} ὁ^{dgms} ναός^{ngms} σχίζω^{viap3s} εἰς^{p} δύο^{tn} ἀπό^{p} ἄνωθεν^{bo} ἕως^{c} κάτω^{bo} καί^{c} ὁ^{dnfs} γῆ^{nnfs} σείω^{viap3s} καί^{c} ὁ^{dnfp} πέτρα^{nnfp} σχίζω^{viap3p}. **v.52** καί^{c} ὁ^{dnnp} μνημεῖον^{nnnp} ἀνοίγω^{viap3p} καί^{c} πολύς^{annpn} σῶμα^{nnnp} ὁ^{dgmp} κοιμάομαι^{vpxpgmp} ἅγιος^{agmpn} ἐγείρω^{viap3s}. **v.53** καί^{c} ἐξέρχομαι^{vpaanmp} ἐκ^{p} ὁ^{dgnp} μνημεῖον^{ngnp} μετά^{p} ὁ^{dafs} ἔγερσις^{nafs} αὐτός^{rpgms} εἰσέρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dafs} ἅγιος^{aafsn} πόλις^{nafs} καί^{c} ἐμφανίζω^{viap3p} πολύς^{admpn}. **v.54** ὁ^{dnms} δέ^{c} ἑκατοντάρχης^{nnms} καί^{c} ὁ^{dnmp} μετά^{p} αὐτός^{rpgms} τηρέω^{vppanmp} ὁ^{dams} Ἰησοῦς^{nams} ὁράω^{vpaanmp} ὁ^{dams} σεισμός^{nams} καί^{c} ὁ^{danp} γίνομαι^{vpadanp} φοβέομαι^{viao3p} σφόδρα^{bo} λέγω^{vppanmp} ἀληθῶς^{bo} θεός^{ngms} υἱός^{nnms} εἰμί^{viix3s} οὗτος^{rdnms}. **v.55** εἰμί^{viix3p} δέ^{c} ἐκεῖ^{bo} γυνή^{nnfp} πολύς^{anfpn} ἀπό^{p} μακρόθεν^{bo} θεωρέω^{vppanfp} ὅστις^{rrnfp} ἀκολουθέω^{viaa3p} ὁ^{ddms} Ἰησοῦς^{ndms} ἀπό^{p} ὁ^{dgfs} Γαλιλαία^{ngfs} διακονέω^{vppanfp} αὐτός^{rpdms}. **v.56** ἐν^{p} ὅς^{rrdfp} εἰμί^{viix3s} Μαρία^{nnfs} ὁ^{dnfs} Μαγδαληνή^{nnfs} καί^{c} Μαρία^{nnfs} ὁ^{dnfs} ὁ^{dgms} Ἰάκωβος^{ngms} καί^{c} Ἰωσῆς^{ngms} μήτηρ^{nnfs} καί^{c} ὁ^{dnfs} μήτηρ^{nnfs} ὁ^{dgmp} υἱός^{ngmp} Ζεβεδαῖος^{ngms}. **v.57** ὄψιος^{agfsn} δέ^{c} γίνομαι^{vpadgfs} ἔρχομαι^{viaa3s} ἄνθρωπος^{nnms} πλούσιος^{anmsn} ἀπό^{p} Ἁριμαθαία^{ngfs} ὁ^{bo} Ἰωσήφ^{tp} ὅς^{rrnms} καί^{c} αὐτός^{rpnms} μαθητεύω^{viaa3s} ὁ^{ddms} Ἰησοῦς^{ndms}.

59 τότε ὁ Πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα. καὶ λαβὼν τὸ
60 σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ. καὶ ἔθηκεν
αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ
καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν.
61 ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαριά καθήμε-
62 ναι ἀπέναντι τοῦ τάφου. Τῇ δὲ ἐπαύριον ἥτις ἐστὶν μετὰ τὴν
παρασκευήν συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς
63 Πιλᾶτον. λέγοντες Κύριε ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος
64 εἶπεν ἔτι ζῶν Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. κέλευσον οὖν ἀ-
σφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας μήποτε ἐλθόντες
οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ εἴπωσιν τῷ λαῷ
Ἠγέρθη ἀπὸ τῶν νεκρῶν καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς
65 πρώτης. ἔφη δὲ αὐτοῖς ὁ Πιλᾶτος Ἔχετε κουστωδίαν, ὑπάγετε
66 ἀσφαλίσασθε ὡς οἴδατε. οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν
τάφον σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας.

28 Ὀψὲ δὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων ἦλθεν
Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαριὰ θεωρῆσαι τὸν τάφον.
2 καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας, ἄγγελος γὰρ κυρίου καταβὰς
ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισεν τὸν λίθον ἀπὸ τῆς θύρας,
3 καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ

---

v.58 οὗτος[rdnms] προσέρχομαι[vpaanms] ὁ[ddms] Πιλᾶτος[ndms] αἰτέω[viam3s] ὁ[dans] σῶμα[nans] ὁ[dgms] Ἰησοῦς[ngms] τότε[bo] ὁ[dnms] Πιλᾶτος[nnms] κελεύω[viaa3s] ἀποδίδωμι[vnap] ὁ[dans] σῶμα[nans]. **v.59** καί[c] λαμβάνω[vpaanms] ὁ[dans] σῶμα[nans] ὁ[dnms] Ἰωσήφ[tp] ἐντυλίσσω[viaa3s] αὐτός[rpans] σινδών[ndfs] καθαρός[adfsn]. **v.60** καί[c] τίθημι[viaa3s] αὐτός[rpans] ἐν[p] ὁ[ddns] καινός[adnsn] αὐτός[rpgms] μνημεῖον[ndns] ὅς[rrans] λατομέω[viaa3s] ἐν[p] ὁ[ddfs] πέτρα[ndfs] καί[c] προσκυλίω[vpaanms] λίθος[nams] μέγας[aamsn] ὁ[ddfs] θύρα[ndfs] ὁ[dgns] μνημεῖον[ngns] ἀπέρχομαι[viaa3s]. **v.61** εἰμί[viix3s] δέ[c] ἐκεῖ[bo] Μαρία[nnfs] ὁ[dnfs] Μαγδαληνή[nnfs] καί[c] ὁ[dnfs] ἄλλος[anfsn] Μαρία[nnfs] κάθημαι[vppnnfp] ἀπέναντι[bo] ὁ[dgms] τάφος[ngms]. **v.62** ὁ[ddfs] δέ[c] ἐπαύριον[bo] ὅστις[rrnfs] εἰμί[vipx3s] μετά[p] ὁ[dafs] παρασκευή[nafs] συνάγω[viap3p] ὁ[dnmp] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] πρός[p] Πιλᾶτος[nams]. **v.63** λέγω[vppanmp] κύριος[nvms] μιμνῄσκομαι[viap1p] ὅτι[c] ἐκεῖνος[rdnms] ὁ[dnms] πλάνος[anmsn] λέγω[viaa3s] ἔτι[bo] ζάω[vppanms] μετά[p] τρεῖς[nafp] ἡμέρα[nafp] ἐγείρω[vipp1s]. **v.64** κελεύω[vdaa2s] οὖν[c] ἀσφαλίζω[vnap] ὁ[dams] τάφος[nams] ἕως[c] ὁ[dgfs] τρίτος[agfsn] ἡμέρα[ngfs] μήποτε[bo] ἔρχομαι[vpaanmp] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] νύξ[ngfs] κλέπτω[vsaa3p] αὐτός[rpams] καί[c] λέγω[vsaa3p] ὁ[ddms] λαός[ndms] ἐγείρω[viap3s] ἀπό[p] ὁ[dgmp] νεκρός[agmpn] καί[c] εἰμί[vifx3s] ὁ[dnfs] ἔσχατος[anfsn] πλάνη[nnfs] χείρων[anfsc] ὁ[dgfs] πρῶτος[agfsn]. **v.65** φημί[viix3s] δέ[c] αὐτός[rpdmp] ὁ[dnms] Πιλᾶτος[nnms] ἔχω[vipa2p] κουστωδία[nafs] ὑπάγω[vdpa2p] ἀσφαλίζω[vdad2p] ὡς[bo] οἶδα[vixa2p]. **v.66** ὁ[dnmp] δέ[c] πορεύομαι[vpaonmp] ἀσφαλίζω[viad3p] ὁ[dams] τάφος[nams] σφραγίζω[vpaanmp] ὁ[dams] λίθος[nams] μετά[p] ὁ[dgfs] κουστωδία[ngfs]. **28. v.1** ὀψέ[bo] δέ[c] σάββατον[ngnp] ὁ[ddfs] ἐπιφώσκω[vppadfs] εἰς[p] εἷς[nafs] σάββατον[ngnp] ἔρχομαι[viaa3s] Μαρία[nnfs] ὁ[dnfs] Μαγδαληνή[nnfs] καί[c] ὁ[dnfs] ἄλλος[anfsn] Μαρία[nnfs] θεωρέω[vnaa] ὁ[dams] τάφος[nams]. **v.2** καί[c] ἰδού[vdaa2s] σεισμός[nnms] γίνομαι[viad3s] μέγας[anmsn] ἄγγελος[nnms] γάρ[c] κύριος[ngms] καταβαίνω[vpaanms] ἐκ[p] οὐρανός[ngms] προσέρχομαι[vpaanms] ἀποκυλίω[viaa3s] ὁ[dams] λίθος[nams] ἀπό[p] ὁ[dgfs] θύρα[ngfs] καί[c] κάθημαι[viin3s] ἐπάνω[bo] αὐτός[rpgms].

καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. ἀπὸ δὲ τοῦ φόβου 4
αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγένοντο ὡσεὶ νεκροί. ἀ- 5
ποκριθεὶς δὲ ὁ ἄγγελος εἶπεν ταῖς γυναιξίν Μὴ φοβεῖσθε ὑμεῖς
οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε, οὐκ ἔστιν ὧδε 6
ἠγέρθη γὰρ καθὼς εἶπεν, δεῦτε ἴδετε τὸν τόπον ὅπου ἔκειτο
ὁ Κύριος. καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ 7
ὅτι Ἠγέρθη ἀπὸ τῶν νεκρῶν καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν
Γαλιλαίαν ἐκεῖ αὐτὸν ὄψεσθε, ἰδοὺ εἶπον ὑμῖν. καὶ ἐξελθοῦ- 8
σαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης
ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. ὡς δὲ ἐπορεύοντο 9
ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ καὶ ἰδοὺ ὁ Ἰησοῦς ἀπήντησεν
αὐταῖς λέγων Χαίρετε αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ,
τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. τότε λέγει αὐταῖς ὁ Ἰ- 10
ησοῦς Μὴ φοβεῖσθε, ὑπάγετε ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου
ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν κἀκεῖ με ὄψονται. Πορευ- 11
ομένων δὲ αὐτῶν ἰδού τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν
πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. καὶ 12
συναχθέντες μετὰ τῶν πρεσβυτέρων συμβούλιόν τε λαβόντες ἀρ-
γύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις. λέγοντες Εἴπατε ὅτι Οἱ 13
μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμέ-
νων. καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος ἡμεῖς πείσομεν 14

---

v.3 εἰμί[viix3s] δέ[c] ὁ[dnfs] εἰδέα[nnfs] αὐτός[rpgms] ὡς[bo] ἀστραπή[nnfs] καί[c] ὁ[dnns] ἔνδυμα[nnns] αὐτός[rpgms] λευκός[annsn] ὡσεί[bo] χιών[nnfs]. **v.4** ἀπό[p] δέ[c] ὁ[dgms] φόβος[ngms] αὐτός[rpgms] σείω[viap3p] ὁ[dnmp] τηρέω[vppanmp] καί[c] γίνομαι[viad3p] ὡσεί[bo] νεκρός[anmpn]. **v.5** ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] ἄγγελος[nnms] λέγω[viaa3s] ὁ[ddfp] γυνή[ndfp] μή[xo] φοβέομαι[vdpn2p] σύ[rpn-p] οἶδα[vixa1s] γάρ[c] ὅτι[c] Ἰησοῦς[nams] ὁ[dams] σταυρόω[vpxpams] ζητέω[vipa2p]. **v.6** οὐ[xo] εἰμί[vipx3s] ὧδε[bo] ἐγείρω[viap3s] γάρ[c] καθώς[bo] λέγω[viaa3s] δεῦτε[vdvx2p] ὁράω[vdaa2p] ὁ[dams] τόπος[nams] ὅπου[bo] κεῖμαι[viin3s] ὁ[dnms] κύριος[nnms]. **v.7** καί[c] ταχύς[bo] πορεύομαι[vpaonfp] λέγω[vdaa2p] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ὅτι[c] ἐγείρω[viap3s] ἀπό[p] ὁ[dgmp] νεκρός[agmpn] καί[c] ἰδού[vdaa2s] προάγω[vipa3s] σύ[rpa-p] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs] ἐκεῖ[bo] αὐτός[rpams] ὁράω[vifd2p] ἰδού[vdaa2s] λέγω[viaa1s] σύ[rpd-p]. **v.8** καί[c] ἐξέρχομαι[vpaanfp] ταχύς[bo] ἀπό[p] ὁ[dgns] μνημεῖον[ngns] μετά[p] φόβος[ngms] καί[c] χαρά[ngfs] μέγας[agfsn] τρέχω[viaa3p] ἀπαγγέλλω[vnaa] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms]. **v.9** ὡς[bo] δέ[c] πορεύομαι[viin3p] ἀπαγγέλλω[vnaa] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] καί[c] ἰδού[vdaa2s] ὁ[dnms] Ἰησοῦς[nnms] ἀπαντάω[viaa3s] αὐτός[rpdfp] λέγω[vppanms] χαίρω[vdpa2p] ὁ[dnfp] δέ[c] προσέρχομαι[vpaanfp] κρατέω[viaa3p] αὐτός[rpgms] ὁ[damp] πούς[namp] καί[c] προσκυνέω[viaa3p] αὐτός[rpdms]. **v.10** τότε[bo] λέγω[vipa3s] αὐτός[rpdfp] ὁ[dnms] Ἰησοῦς[nnms] μή[xo] φοβέομαι[vdpn2p] ὑπάγω[vdpa2p] ἀπαγγέλλω[vdaa2p] ὁ[ddmp] ἀδελφός[ndmp] ἐγώ[rpg-s] ἵνα[c] ἀπέρχομαι[vsaa3p] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs] κἀκεῖ[bo] ἐγώ[rpa-s] ὁράω[vifd3p]. **v.11** πορεύομαι[vppngfp] δέ[c] αὐτός[rpgfp] ἰδού[vdaa2s] τι-σρινμπ ὁ[dgfs] κουστωδία[ngfs] ἔρχομαι[vpaanmp] εἰς[p] ὁ[dafs] πόλις[nafs] ἀπαγγέλλω[viaa3p] ὁ[ddmp] ἀρχιερεύς[ndmp] ἅπας[aanpn] ὁ[danp] γίνομαι[vpadanp]. **v.12** καί[c] συνάγω[vpapnmp] μετά[p] ὁ[dgmp] πρεσβύτερος[agmpn] συμβούλιον[nans] τέ[xo] λαμβάνω[vpaanmp] ἀργύριον[nanp] ἱκανός[aanpn] δίδωμι[viaa3p] ὁ[ddmp] στρατιώτης[ndmp]. **v.13** λέγω[vppanmp] λέγω[vdaa2p] ὅτι[c] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] νύξ[ngfs] ἔρχομαι[vpaanmp] κλέπτω[viaa3p] αὐτός[rpams] ἐγώ[rpg-p] κοιμάομαι[vpppgmp].

15 αὐτὸν καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. οἱ δὲ λαβόντες τὰ ἀρ-
γύρια ἐποίησαν ὡς ἐδιδάχθησαν Καὶ διεφημίσθη ὁ λόγος οὗτος
16 παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον. Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐ-
πορεύθησαν εἰς τὴν Γαλιλαίαν εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ
17 Ἰησοῦς. καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστα-
18 σαν. καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων Ἐδόθη
19 μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. πορευθέντες οὖν
μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα
20 τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. διδάσκον-
τες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν, καὶ ἰδοὺ ἐγὼ
μεθ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος
Ἀμήν.

---

v.14 καί^{c} ἐάν^{qo} ἀκούω^{vsap3s} οὗτος^{rdnns} ἐπί^{p} ὁ^{dgms} ἡγεμών^{ngms} ἐγώ$^{rpn-p}$ πείθω^{vifa1p} αὐτός^{rpams} καί^{c} σύ$^{rpa-p}$ ἀμέριμνος^{aampn} ποιέω^{vifa1p}. **v.15** ὁ^{dnmp} δέ^{c} λαμβάνω^{vpaanmp} ὁ^{danp} ἀργύριον^{nanp} ποιέω^{viaa3p} ὡς^{bo} διδάσκω^{viap3p} καί^{c} διαφημίζω^{viap3s} ὁ^{dnms} λόγος^{nnms} οὗτος^{rdnms} παρά^{p} Ἰουδαῖος^{admpn} μέχρι^{bo} ὁ^{dgfs} σήμερον^{bo}. **v.16** ὁ^{dnmp} δέ^{c} ἕνδεκα^{tn} μαθητής^{nnmp} πορεύομαι^{viao3p} εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} ὅς^{bo} τάσσω^{viam3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms}. **v.17** καί^{c} ὁράω^{vpaanmp} αὐτός^{rpams} προσκυνέω^{viaa3p} αὐτός^{rpdms} ὁ^{dnmp} δέ^{c} διστάζω^{viaa3p}. **v.18** καί^{c} προσέρχομαι^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} λαλέω^{viaa3s} αὐτός^{rpdmp} λέγω^{vppanms} δίδωμι^{viap3s} ἐγώ$^{rpd-s}$ πᾶς^{anfsn} ἐξουσία^{nnfs} ἐν^{p} οὐρανός^{ndms} καί^{c} ἐπί^{p} γῆ^{ngfs}. **v.19** πορεύομαι^{vpaonmp} οὖν^{c} μαθητεύω^{vdaa2p} πᾶς^{aanpn} ὁ^{danp} ἔθνος^{nanp} βαπτίζω^{vppanmp} αὐτός^{rpamp} εἰς^{p} ὁ^{dans} ὄνομα^{nans} ὁ^{dgms} πατήρ^{ngms} καί^{c} ὁ^{dgms} υἱός^{ngms} καί^{c} ὁ^{dgns} ἅγιος^{agnsn} πνεῦμα^{ngns}. **v.20** διδάσκω^{vppanmp} αὐτός^{rpamp} τηρέω^{vnpa} πᾶς^{aanpn} ὅσος^{rcanp} ἐντέλλομαι^{viad1s} σύ$^{rpd-p}$ καί^{c} ἰδού^{vdaa2s} ἐγώ$^{rpn-s}$ μετά^{p} σύ$^{rpg-p}$ εἰμί^{vipx1s} πᾶς^{aafpn} ὁ^{dafp} ἡμέρα^{nafp} ἕως^{c} ὁ^{dgfs} συντέλεια^{ngfs} ὁ^{dgms} αἰών^{ngms} ἀμήνth.

ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ υἱοῦ τοῦ θεοῦ. Ὡς **1**, 2
γέγραπται ἐν τοῖς προφήταις, Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν
μου πρὸ προσώπου σου ὃς κατασκευάσει τὴν ὁδόν σου, ἔμπρο-
σθέν σου, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν 3
κυρίου εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. ἐγένετο Ἰωάννης 4
βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς
ἄφεσιν ἁμαρτιῶν. καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰου- 5
δαία χώρα καὶ οἱ Ἱεροσολυμῖται καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ
Ἰορδάνῃ ποταμῷ ὑπ αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐ-
τῶν. ἦν δὲ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου καὶ ζώνην 6
δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ καὶ ἐσθίων ἀκρίδας καὶ μέλι
ἄγριον. καὶ ἐκήρυσσεν λέγων Ἔρχεται ὁ ἰσχυρότερός μου 7
ὀπίσω μου οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν
ὑποδημάτων αὐτοῦ. ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι αὐτὸς 8
δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ. Καὶ ἐγένετο ἐν ἐκείναις 9
ταῖς ἡμέραις ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας καὶ
ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. καὶ εὐθὲως ἀνα- 10
βαίνων ἀπὸ τοῦ ὕδατος εἶδεν σχιζομένους τοὺς οὐρανοὺς καὶ
τὸ πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ αὐτόν, καὶ φωνὴ 11

---

1. v.1 ἀρχή[nnfs] ὁ[dgns] εὐαγγέλιον[ngns] Ἰησοῦς[ngms] Χριστός[ngms] υἱός[ngms] ὁ[dgms] θεός[ngms]. **v.2** ὡς[bo] γράφω[vixp3s] ἐν[p] ὁ[ddmp] προφήτης[ndmp] ἰδού[vdaa2s] ἐγώ[rpn-s] ἀποστέλλω[vipa1s] ὁ[dams] ἄγγελος[nams] ἐγώ[rpg-s] πρό[p] πρόσωπον[ngns] σύ[rpg-s] ὅς[rrnms] κατασκευάζω[vifa3s] ὁ[dafs] ὁδός[nafs] σύ[rpg-s] ἔμπροσθεν[p] σύ[rpg-s]. **v.3** φωνή[nnfs] βοάω[vppagms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] ἑτοιμάζω[vdaa2p] ὁ[dafs] ὁδός[nafs] κύριος[ngms] εὐθύς[aafpn] ποιέω[vdpa2p] ὁ[dafp] τρίβος[nafp] αὐτός[rpgms]. **v.4** γίνομαι[viad3s] Ἰωάννης[nnms] βαπτίζω[vppanms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] καί[c] κηρύσσω[vppanms] βάπτισμα[nans] μετάνοια[ngfs] εἰς[p] ἄφεσις[nafs] ἁμαρτία[ngfp]. **v.5** καί[c] ἐκπορεύομαι[viin3s] πρός[p] αὐτός[rpams] πᾶς[anfsn] ὁ[dnfs] Ἰουδαῖος[nnfs] χώρα[nnfs] καί[c] ὁ[dnmp] Ἱεροσολυμίτης[nnmp] καί[c] βαπτίζω[viip3p] πᾶς[anmpn] ἐν[p] ὁ[ddms] Ἰορδάνης[ndms] ποταμός[ndms] ὑπό[p] αὐτός[rpgms] ἐξομολογέω[vppmnmp] ὁ[dafp] ἁμαρτία[nafp] αὐτός[rpgmp]. **v.6** εἰμί[viix3s] δέ[c] Ἰωάννης[nnms] ἐνδύω[vpxmnms] θρίξ[nafp] κάμηλος[ngms] καί[c] ζώνη[nafs] δερμάτινος[aafsn] περί[p] ὁ[dafs] ὀσφύς[nafs] αὐτός[rpgms] καί[c] ἐσθίω[vppanms] ἀκρίς[nafp] καί[c] μέλι[nans] ἄγριος[aansn]. **v.7** καί[c] κηρύσσω[viia3s] λέγω[vppanms] ἔρχομαι[vipn3s] ὁ[dnms] ἰσχυρός[anmsc] ἐγώ[rpg-s] ὀπίσω[bo] ἐγώ[rpg-s] ὅς[rrgms] οὐ[xo] εἰμί[vipx1s] ἱκανός[anmsn] κύπτω[vpaanms] λύω[vnaa] ὁ[dams] ἱμάς[nams] ὁ[dgnp] ὑπόδημα[ngnp] αὐτός[rpgms]. **v.8** ἐγώ[rpn-s] μέν[xo] βαπτίζω[viaa1s] σύ[rpa-p] ἐν[p] ὕδωρ[ndns] αὐτός[rpnms] δέ[c] βαπτίζω[vifa3s] σύ[rpa-p] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn]. **v.9** καί[c] γίνομαι[viad3s] ἐν[p] ἐκεῖνος[rddfp] ὁ[ddfp] ἡμέρα[ndfp] ἔρχομαι[viaa3s] Ἰησοῦς[nnms] ἀπό[p] Ναζαρά[tp] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] βαπτίζω[viap3s] ὑπό[p] Ἰωάννης[ngms] εἰς[p] ὁ[dams] Ἰορδάνης[nams]. **v.10** καί[c] εὐθέως[bo] ἀναβαίνω[vppanms] ἀπό[p] ὁ[dgns] ὕδωρ[ngns] ὁράω[viaa3s] σχίζω[vpppamp] ὁ[damp] οὐρανός[namp] καί[c] ὁ[dans] πνεῦμα[nans] ὡσεί[bo] περιστερά[nafs] καταβαίνω[vppaans] ἐπί[p] αὐτός[rpams].

ἐγένετο ἐκ τῶν οὐρανῶν Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός ἐν ᾧ εὐ-
12 δόκησα. Καὶ εὐθὺς τὸ πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον.
13 καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα πειραζόμενος
ὑπὸ τοῦ Σατανᾶ καὶ ἦν μετὰ τῶν θηρίων καὶ οἱ ἄγγελοι διηκό-
14 νουν αὐτῷ. Μετὰ δὲ τὸ παραδοθῆναι τὸν Ἰωάννην ἦλθεν ὁ Ἰη-
σοῦς εἰς τὴν Γαλιλαίαν κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας
15 τοῦ θεοῦ. καὶ λέγων ὅτι Πεπλήρωται ὁ καιρὸς καὶ ἤγγικεν ἡ
βασιλεία τοῦ θεοῦ, μετανοεῖτε καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ.
16 Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν Σίμωνα
Καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ βάλλοντας ἀμφίβληστρον ἐν τῇ
17 θαλάσσῃ, ἦσαν γὰρ ἁλιεῖς. καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς Δεῦτε
18 ὀπίσω μου καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων. καὶ
19 εὐθέως ἀφέντες τὰ δίκτυα αὐτῶν, ἠκολούθησαν αὐτῷ. Καὶ
προβὰς ἐκεῖθεν ὀλίγον εἶδεν Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ
Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ αὐτοὺς ἐν τῷ πλοίῳ καταρτί-
20 ζοντας τὰ δίκτυα. καὶ εὐθεὼς ἐκάλεσεν αὐτούς καὶ ἀφέντες
τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν ἀ-
21 πῆλθον ὀπίσω αὐτοῦ. Καὶ εἰσπορεύονται εἰς Καπερναούμ καὶ
εὐθεὼς τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν συναγωγὴν ἐδίδασκεν.
22 καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ἦν γὰρ διδάσκων αὐ-
23 τοὺς ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς οἱ γραμματεῖς. καὶ ἦν ἐν

---

v.11 καί[c] φωνή[nnfs] γίνομαι[viad3s] ἐκ[p] ὁ[dgmp] οὐρανός[ngmp] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] υἱός[nnms] ἐγώ[rpg-s] ὁ[dnms] ἀγαπητός[anmsn] ἐν[p] ὅς[rrdms] εὐδοκέω[viaa1s]. **v.12** καί[c] εὐθύς[bo] ὁ[dnns] πνεῦμα[nnns] αὐτός[rpams] ἐκβάλλω[vipa3s] εἰς[p] ὁ[dafs] ἔρημος[aafsn]. **v.13** καί[c] εἰμί[viix3s] ἐκεῖ[bo] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] ἡμέρα[nafp] τεσσεράκοντα[tn] πειράζω[vpppnms] ὑπό[p] ὁ[dgms] Σατανᾶς[ngms] καί[c] εἰμί[viix3s] μετά[p] ὁ[dgnp] θηρίον[ngnp] καί[c] ὁ[dnmp] ἄγγελος[nnmp] διακονέω[viia3p] αὐτός[rpdms]. **v.14** μετά[p] δέ[c] ὁ[dans] παραδίδωμι[vnap] ὁ[dams] Ἰωάννης[nams] ἔρχομαι[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs] κηρύσσω[vppanms] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dgfs] βασιλεία[ngfs] ὁ[dgms] θεός[ngms]. **v.15** καί[c] λέγω[vppanms] ὅτι[c] πληρόω[vixp3s] ὁ[dnms] καιρός[nnms] καί[c] ἐγγίζω[vixa3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgms] θεός[ngms] μετανοέω[vdpa2p] καί[c] πιστεύω[vdpa2p] ἐν[p] ὁ[ddns] εὐαγγέλιον[ndns]. **v.16** περιπατέω[vppanms] δέ[c] παρά[p] ὁ[dafs] θάλασσα[nafs] ὁ[dgfs] Γαλιλαία[ngfs] ὁράω[viaa3s] Σίμων[nams] καί[c] Ἀνδρέας[nams] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] βάλλω[vppaamp] ἀμφίβληστρον[nans] ἐν[p] ὁ[ddfs] θάλασσα[ndfs] εἰμί[viix3p] γάρ[c] ἁλιεύς[nnmp]. **v.17** καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] δεῦτε[vdvx2p] ὀπίσω[bo] ἐγώ[rpg-s] καί[c] ποιέω[vifa1s] σύ[rpa-p] γίνομαι[vnad] ἁλιεύς[namp] ἄνθρωπος[ngmp]. **v.18** καί[c] εὐθέως[bo] ἀφίημι[vpaanmp] ὁ[danp] δίκτυον[nanp] αὐτός[rpgmp] ἀκολουθέω[viaa3p] αὐτός[rpdms]. **v.19** καί[c] προβαίνω[vpaanms] ἐκεῖθεν[bo] ὀλίγος[bo] ὁράω[viaa3s] Ἰάκωβος[nams] ὁ[dams] ὁ[dgms] Ζεβεδαῖος[ngms] καί[c] Ἰωάννης[nams] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] καί[c] αὐτός[rpamp] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] καταρτίζω[vppaamp] ὁ[danp] δίκτυον[nanp]. **v.20** καί[c] εὐθέως[bo] καλέω[viaa3s] αὐτός[rpamp] καί[c] ἀφίημι[vpaanmp] ὁ[dams] πατήρ[nams] αὐτός[rpgmp] Ζεβεδαῖος[nams] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] μετά[p] ὁ[dgmp] μισθωτός[ngmp] ἀπέρχομαι[viaa3p] ὀπίσω[bo] αὐτός[rpgms]. **v.21** καί[c] εἰσπορεύομαι[vipn3p] εἰς[p] Καπερναούμ[tp] καί[c] εὐθέως[bo] ὁ[ddnp] σάββατον[ndnp] εἰσέρχομαι[vpaanms] εἰς[p] ὁ[dafs] συναγωγή[nafs] διδάσκω[viia3s]. **v.22** καί[c] ἐκπλήσσω[viip3p] ἐπί[p] ὁ[ddfs] διδαχή[ndfs] αὐτός[rpgms] εἰμί[viix3s] γάρ[c] διδάσκω[vppanms] αὐτός[rpamp] ὡς[bo] ἐξουσία[nafs] ἔχω[vppanms] καί[c] οὐ[xo] ὡς[bo] ὁ[dnmp] γραμματεύς[nnmp].

τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ καὶ ἀν-
ἐκραξεν. λέγων εα, Τί ἡμῖν καὶ σοί Ἰησοῦ Ναζαρηνέ ἦλθες 24
ἀπολέσαι ἡμᾶς οἶδά σε τίς εἶ ὁ ἅγιος τοῦ θεοῦ. καὶ ἐπετίμη- 25
σεν αὐτῷ ὁ Ἰησοῦς λέγων Φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ 26
σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ κράξαν φωνῇ με-
γάλῃ ἐξῆλθεν ἐξ αὐτοῦ. καὶ ἐθαμβήθησαν παντές, ὥστε συζη- 27
τεῖν πρὸς αὐτοὺς, λέγοντας Τί ἐστιν τοῦτο τις ἡ διδαχὴ ἡ καινὴ
αὕτη, ὅτι κατ ἐξουσίαν, καὶ τοῖς πνεύμασιν τοῖς ἀκαθάρτοις ἐ-
πιτάσσει καὶ ὑπακούουσιν αὐτῷ. ἐξῆλθεν δὲ ἡ ἀκοὴ αὐτοῦ 28
εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας. Καὶ εὐθέως ἐκ 29
τῆς συναγωγῆς ἐξελθόντες ἦλθον εἰς τὴν οἰκίαν Σίμωνος καὶ
Ἀνδρέου μετὰ Ἰακώβου καὶ Ἰωάννου. ἡ δὲ πενθερὰ Σίμωνος 30
κατέκειτο πυρέσσουσα καὶ εὐθέως λέγουσιν αὐτῷ περὶ αὐτῆς.
καὶ προσελθὼν ἤγειρεν αὐτὴν κρατήσας τῆς χειρός, αὐτῆς, καὶ 31
ἀφῆκεν αὐτὴν ὁ πυρετός εὐθὲως, καὶ διηκόνει αὐτοῖς. Ὀψίας 32
δὲ γενομένης ὅτε ἔδυ ὁ ἥλιος ἔφερον πρὸς αὐτὸν πάντας τοὺς
κακῶς ἔχοντας καὶ τοὺς δαιμονιζομένους, καὶ ἡ πόλις ὅλη ἐ- 33
πισυνηγμένη ἦν πρὸς τὴν θύραν. καὶ ἐθεράπευσεν πολλοὺς 34
κακῶς ἔχοντας ποικίλαις νόσοις καὶ δαιμόνια πολλὰ ἐξέβαλεν
καὶ οὐκ ἤφιεν λαλεῖν τὰ δαιμόνια ὅτι ᾔδεισαν αὐτόν. Καὶ πρωῒ 35
ἔννυχον λίαν ἀναστὰς ἐξῆλθεν καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον

---

v.23 καί[c] εἰμί[viix3s] ἐν[p] ὁ[ddfs] συναγωγή[ndfs] αὐτός[rpgmp] ἄνθρωπος[nnms] ἐν[p] πνεῦμα[ndns] ἀκάθαρτος[adnsn] καί[c] ἀνακράζω[viaa3s]. **v.24** λέγω[vppanms] ἔα[i] τίς[rqnns] ἐγώ[rpd-p] καί[c] σύ[rpd-s] Ἰησοῦς[nvms] Ναζαρηνός[nvms] ἔρχομαι[viaa2s] ἀπόλλυμι[vnaa] ἐγώ[rpa-p] οἶδα[vixa1s] σύ[rpa-s] τίς[rqnms] εἰμί[vipx2s] ὁ[dnms] ἅγιος[anmsn] ὁ[dgms] θεός[ngms]. **v.25** καί[c] ἐπιτιμάω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[vppanms] φιμόω[vdap2s] καί[c] ἐξέρχομαι[vdaa2s] ἐκ[p] αὐτός[rpgms]. **v.26** καί[c] σπαράσσω[vpaanns] αὐτός[rpams] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] ἀκάθαρτος[annsn] καί[c] κράζω[vpaanns] φωνή[ndfs] μέγας[adfsn] ἐξέρχομαι[viaa3s] ἐκ[p] αὐτός[rpgms]. **v.27** καί[c] θαμβέω[viap3p] πᾶς[anmpn] ὥστε[c] συζητέω[vnpa] πρός[p] αὐτός[rpamp] λέγω[vppaamp] τίς[rqnns] εἰμί[vipx3s] οὗτος[rdnns] τίς[rqnms] ὁ[dnfs] διδαχή[nnfs] ὁ[dnfs] καινός[anfsn] οὗτος[rdnfs] ὅτι[c] κατά[p] ἐξουσία[nafs] καί[c] ὁ[ddnp] πνεῦμα[ndnp] ὁ[ddnp] ἀκάθαρτος[adnpn] ἐπιτάσσω[vipa3s] καί[c] ὑπακούω[vipa3p] αὐτός[rpdms]. **v.28** ἐξέρχομαι[viaa3s] δέ[c] ὁ[dnfs] ἀκοή[nnfs] αὐτός[rpgms] εὐθύς[bo] εἰς[p] ὅλος[aafsn] ὁ[dafs] περίχωρος[aafsn] ὁ[dgfs] Γαλιλαία[ngfs]. **v.29** καί[c] εὐθέως[bo] ἐκ[p] ὁ[dgfs] συναγωγή[ngfs] ἐξέρχομαι[vpaanmp] ἔρχομαι[viaa3p] εἰς[p] ὁ[dafs] οἰκία[nafs] Σίμων[ngms] καί[c] Ἀνδρέας[ngms] μετά[p] Ἰάκωβος[ngms] καί[c] Ἰωάννης[ngms]. **v.30** ὁ[dnfs] δέ[c] πενθερά[nnfs] Σίμων[ngms] κατάκειμαι[viin3s] πυρέσσω[vppanfs] καί[c] εὐθέως[bo] λέγω[vipa3p] αὐτός[rpdms] περί[p] αὐτός[rpgfs]. **v.31** καί[c] προσέρχομαι[vpaanms] ἐγείρω[viaa3s] αὐτός[rpafs] κρατέω[vpaanms] ὁ[dgfs] χείρ[ngfs] αὐτός[rpgfs] καί[c] ἀφίημι[viaa3s] αὐτός[rpafs] ὁ[dnms] πυρετός[nnms] εὐθέως[bo] καί[c] διακονέω[viia3s] αὐτός[rpdmp]. **v.32** ὄψιος[agfsn] δέ[c] γίνομαι[vpadgfs] ὅτε[bo] δύνω[viaa3s] ὁ[dnms] ἥλιος[nnms] φέρω[viia3p] πρός[p] αὐτός[rpams] πᾶς[aampn] ὁ[damp] κακῶς[bo] ἔχω[vppaamp] καί[c] ὁ[damp] δαιμονίζομαι[vppnamp]. **v.33** καί[c] ὁ[dnfs] πόλις[nnfs] ὅλος[anfsn] ἐπισυνάγω[vpxpnfs] εἰμί[viix3s] πρός[p] ὁ[dafs] θύρα[nafs]. **v.34** καί[c] θεραπεύω[viaa3s] πολύς[aampn] κακῶς[bo] ἔχω[vppaamp] ποικίλος[adfpn] νόσος[ndfp] καί[c] δαιμόνιον[nanp] πολύς[aanpn] ἐκβάλλω[viaa3s] καί[c] οὐ[xo] ἀφίημι[viia3s] λαλέω[vnpa] ὁ[danp] δαιμόνιον[nanp] ὅτι[c] οἶδα[viya3p] αὐτός[rpams].

36 κἀκεῖ προσηύχετο. καὶ κατεδίωξάν αὐτὸν ὁ Σίμων καὶ οἱ μετ
37 αὐτοῦ. καὶ εὗροντες αὐτὸν λέγουσιν αὐτῷ ὅτι Πάντες ζητοῦσίν
38 σε. καὶ λέγει αὐτοῖς Ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις ἵνα
39 κἀκεῖ κηρύξω, εἰς τοῦτο γὰρ ἐξελήλυθα. καὶ ἦν κηρύσσων ἐν
ταῖς συναγωγαῖς αὐτῶν εἰς ὅλην τὴν Γαλιλαίαν καὶ τὰ δαιμόνια
40 ἐκβάλλων. Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς παρακαλῶν αὐτὸν
καὶ γονυπετῶν αὐτὸν καὶ λέγων αὐτῷ ὅτι Ἐὰν θέλῃς δύνασαί
41 με καθαρίσαι. ὁ δὲ Ἰησοῦς σπλαγχνισθεὶς ἐκτείνας τὴν χεῖρα
42 ἥψατο αὐτοῦ καὶ λέγει αὐτῷ Θέλω καθαρίσθητι, καὶ εἰπόντος
αὐτοῦ εὐθέως ἀπῆλθεν ἀπ αὐτοῦ, ἡ λέπρα καὶ ἐκαθαρίσθη.
43, 44 καὶ ἐμβριμησάμενος αὐτῷ εὐθέως ἐξέβαλεν αὐτόν. καὶ λέγει
αὐτῷ Ὅρα μηδενὶ μηδὲν εἴπῃς ἀλ᾽λ ὕπαγε σεαυτὸν δεῖξον τῷ
ἱερεῖ καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου ἃ προσέταξεν
45 Μωσῆς, εἰς μαρτύριον αὐτοῖς. ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν
πολλὰ καὶ διαφημίζειν τὸν λόγον ὥστε μηκέτι αὐτὸν δύνασθαι
φανερῶς εἰς πόλιν εἰσελθεῖν ἀλλ ἔξω ἐν ἐρήμοις τόποις ἦν, καὶ
ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.

2 Καὶ πάλιν εἰσῆλθεν εἰς Καπερναοὺμ δι᾽ ἡμερῶν Καὶ ἠκού-
2 σθη ὅτι εἰς οἶκον ἐστίν. καὶ εὐθέως συνήχθησαν πολλοὶ ὥστε
μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν καὶ ἐλάλει αὐτοῖς τὸν
3 λόγον. καὶ ἔρχονται πρὸς αὐτὸν παραλυτικὸν φέροντες αἰ-

---

v.35 καί[c] πρωΐ[bo] ἔννυχος[bo] λίαν[bo] ἀνίστημι[vpaanms] ἐξέρχομαι[viaa3s] καί[c] ἀπέρχομαι[viaa3s] εἰς[p] ἔρημος[aamsn] τόπος[nams] κἀκεῖ[bo] προσεύχομαι[viin3s]. **v.36** καί[c] καταδιώκω[viaa3p] αὐτός[rpams] ὁ[dnms] Σίμων[nnms] καί[c] ὁ[dnmp] μετά[p] αὐτός[rpgms]. **v.37** καί[c] εὑρίσκω[vpaanmp] αὐτός[rpams] λέγω[vipa3p] αὐτός[rpdms] ὅτι[c] πᾶς[anmpn] ζητέω[vipa3p] σύ[rpa-s]. **v.38** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ἄγω[vspa1p] εἰς[p] ὁ[dafp] ἔχω[vpppafp] κωμόπολις[nafp] ἵνα[c] κἀκεῖ[bo] κηρύσσω[vsaa1s] εἰς[p] οὗτος[rdans] γάρ[c] ἐξέρχομαι[vixa1s]. **v.39** καί[c] εἰμί[viix3s] κηρύσσω[vppanms] ἐν[p] ὁ[ddfp] συναγωγή[ndfp] αὐτός[rpgmp] εἰς[p] ὅλος[aafsn] ὁ[dafs] Γαλιλαία[nafs] καί[c] ὁ[danp] δαιμόνιον[nanp] ἐκβάλλω[vppanms]. **v.40** καί[c] ἔρχομαι[vipn3s] πρός[p] αὐτός[rpams] λεπρός[anmsn] παρακαλέω[vppanms] αὐτός[rpams] καί[c] γονυπετέω[vppanms] αὐτός[rpams] καί[c] λέγω[vppanms] αὐτός[rpdms] ὅτι[c] ἐάν[qo] θέλω[vspa2s] δύναμαι[vipn2s] ἐγώ[rpa-s] καθαρίζω[vnaa]. **v.41** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] σπλαγχνίζομαι[vpaonms] ἐκτείνω[vpaanfs] ὁ[dafs] χείρ[nafs] ἅπτω[viad3s] αὐτός[rpgms] καί[c] λέγω[vipa3s] αὐτός[rpdms] θέλω[vipa1s] καθαρίζω[vdap2s]. **v.42** καί[c] λέγω[vpaagms] αὐτός[rpgms] εὐθέως[bo] ἀπέρχομαι[viaa3s] ἀπό[p] αὐτός[rpgms] ὁ[dnfs] λέπρα[nnfs] καί[c] καθαρίζω[viap3s]. **v.43** καί[c] ἐμβριμάομαι[vpadnms] αὐτός[rpdms] εὐθέως[bo] ἐκβάλλω[viaa3s] αὐτός[rpams]. **v.44** καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ὁράω[vdpa2s] μηδείς[admsn] μηδείς[aansn] λέγω[vsaa2s] ἀλλά[c] ὑπάγω[vdpa2s] σεαυτοῦ[rxams] δείκνυμι[vdaa2s] ὁ[ddms] ἱερεύς[ndms] καί[c] προσφέρω[vdaa2s] περί[p] ὁ[dgms] καθαρισμός[ngms] σύ[rpg-s] ὅς[rranp] προστάσσω[viaa3s] Μωϋσῆς[nnms] εἰς[p] μαρτύριον[nans] αὐτός[rpdmp]. **v.45** ὁ[dnms] δέ[c] ἐξέρχομαι[vpaanms] ἄρχω[viad3s] κηρύσσω[vnpa] πολύς[aanpn] καί[c] διαφημίζω[vnpa] ὁ[dams] λόγος[nams] ὥστε[c] μηκέτι[bo] αὐτός[rpams] δύναμαι[vnpn] φανερῶς[bo] εἰς[p] πόλις[nafs] εἰσέρχομαι[vnaa] ἀλλά[c] ἔξω[bo] ἐν[p] ἔρημος[admpn] τόπος[ndmp] εἰμί[viix3s] καί[c] ἔρχομαι[viin3p] πρός[p] αὐτός[rpams] πάντοθεν[bo]. **2. v.1** καί[c] πάλιν[bo] εἰσέρχομαι[viaa3s] εἰς[p] Καπερναούμ[tp] διά[p] ἡμέρα[ngfp] καί[c] ἀκούω[viap3s] ὅτι[c] εἰς[p] οἶκος[nams] εἰμί[vipx3s]. **v.2** καί[c] εὐθέως[bo] συνάγω[viap3p] πολύς[anmpn] ὥστε[c] μηκέτι[bo] χωρέω[vnpa] μηδέ[c] ὁ[danp] πρός[p] ὁ[dafs] θύρα[nafs] καί[c] λαλέω[viia3s] αὐτός[rpdmp] ὁ[dams] λόγος[nams].

ρόμενον ὑπὸ τεσσάρων. καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ 4
διὰ τὸν ὄχλον ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν καὶ ἐξορύξαντες
χαλῶσιν τὸν κράββατον ἐφ᾽ ᾧ ὁ παραλυτικὸς κατέκειτο. ἰδὼν 5
δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ Τέκνον ἀ-
φέωνται σοι αἱ ἁμαρτίαι σου. ἦσαν δέ τινες τῶν γραμματέων 6
ἐκεῖ καθήμενοι καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν. Τί 7
οὗτος οὕτως λαλεῖ βλασφημὶας· τίς δύναται ἀφιέναι ἁμαρτίας
εἰ μὴ εἷς ὁ θεός. καὶ εὐθὲως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύ- 8
ματι αὐτοῦ ὅτι οὕτως διαλογίζονται ἐν ἑαυτοῖς εἶπεν αὐτοῖς Τί
ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν. τί ἐστιν εὐκοπώ- 9
τερον εἰπεῖν τῷ παραλυτικῷ Ἀφέωνταί σοί αἱ ἁμαρτίαι ἢ εἰπεῖν
Ἔγειραι καὶ ἆρον σου τὸν κράββατον καὶ περιπάτει. ἵνα δὲ 10
εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς
γῆς ἁμαρτίας λέγει τῷ παραλυτικῷ. Σοὶ λέγω ἔγειραι καὶ ἆρον 11
τὸν κράββατον σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ ἠγέρθη 12
εὐθὲως, καὶ ἄρας τὸν κράββατον ἐξῆλθεν ἐναντίον πάντων ὥστε
ἐξίστασθαι πάντας καὶ δοξάζειν τὸν θεὸν λέγοντας ὅτι οὐδέποτε
Οὕτως εἴδομεν. Καὶ ἐξῆλθεν πάλιν παρὰ τὴν θάλασσαν, καὶ 13
πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν καὶ ἐδίδασκεν αὐτούς. καὶ 14
παράγων εἶδεν Λευὶν τὸν τοῦ Ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώ-
νιον καὶ λέγει αὐτῷ Ἀκολούθει μοι καὶ ἀναστὰς ἠκολούθησεν

---

v.3 καί[c] ἔρχομαι[vipn3p] πρός[p] αὐτός[rpams] παραλυτικός[aamsn] φέρω[vppanmp] αἴρω[vpppams] ὑπό[p] τέσσαρες[ngmp]. **v.4** καί[c] μή[xo] δύναμαι[vppnnmp] προσεγγίζω[vnaa] αὐτός[rpdms] διά[p] ὁ[dams] ὄχλος[nams] ἀποστεγάζω[viaa3p] ὁ[dafs] στέγη[nafs] ὅπου[bo] εἰμί[viix3s] καί[c] ἐξορύσσω[vpaanmp] χαλάω[vipa3p] ὁ[dams] κράβαττος[nams] ἐπί[p] ὅς[rrdms] ὁ[dnms] παραλυτικός[anmsn] κατάκειμαι[viin3s]. **v.5** ὁράω[vpaanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dafs] πίστις[nafs] αὐτός[rpgmp] λέγω[vipa3s] ὁ[ddms] παραλυτικός[admsn] τέκνον[nvns] ἀφίημι[vixp3p] σύ[rpd-s] ὁ[dnfp] ἁμαρτία[nnfp] σύ[rpg-s]. **v.6** εἰμί[viix3p] δέ[c] τι-σρινμπ ὁ[dgmp] γραμματεύς[ngmp] ἐκεῖ[bo] κάθημαι[vppnnmp] καί[c] διαλογίζομαι[vppnnmp] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] αὐτός[rpgmp]. **v.7** τίς[rqans] οὗτος[rdnms] οὕτω[bo] λαλέω[vipa3s] βλασφημία[nafp] τίς[rqnms] δύναμαι[vipn3s] ἀφίημι[vnpa] ἁμαρτία[nafp] εἰ[qo] μή[xo] εἷς[nnms] ὁ[dnms] θεός[nnms]. **v.8** καί[c] εὐθέως[bo] ἐπιγινώσκω[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[ddns] πνεῦμα[ndns] αὐτός[rpgms] ὅτι[c] οὕτω[bo] διαλογίζομαι[vipn3p] ἐν[p] ἑαυτοῦ[rxdmp] λέγω[viaa3s] αὐτός[rpdmp] τίς[rqans] οὗτος[rdanp] διαλογίζομαι[vipn2p] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] σύ[rpg-p]. **v.9** τίς[rqnns] εἰμί[vipx3s] εὔκοπος[annsc] λέγω[vnaa] ὁ[ddms] παραλυτικός[admsn] ἀφίημι[vixp3p] σύ[rpd-s] ὁ[dnfp] ἁμαρτία[nnfp] ἤ[xo] λέγω[vnaa] ἐγείρω[vdam2s] καί[c] αἴρω[vdaa2s] σύ[rpg-s] ὁ[dams] κράβαττος[nams] καί[c] περιπατέω[vdpa2s]. **v.10** ἵνα[c] δέ[c] οἶδα[vsxa2p] ὅτι[c] ἐξουσία[nafs] ἔχω[vipa3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] ἀφίημι[vnpa] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] ἁμαρτία[nafp] λέγω[vipa3s] ὁ[ddms] παραλυτικός[admsn]. **v.11** σύ[rpd-s] λέγω[vipa1s] ἐγείρω[vdam2s] καί[c] αἴρω[vdaa2s] ὁ[dams] κράβαττος[nams] σύ[rpg-s] καί[c] ὑπάγω[vdpa2s] εἰς[p] ὁ[dams] οἶκος[nams] σύ[rpg-s]. **v.12** καί[c] ἐγείρω[viap3s] εὐθέως[bo] καί[c] αἴρω[vpaanms] ὁ[dams] κράβαττος[nams] ἐξέρχομαι[viaa3s] ἐναντίον[bo] πᾶς[agmpn] ὥστε[c] ἐξίστημι[vnpm] πᾶς[aampn] καί[c] δοξάζω[vnpa] ὁ[dams] θεός[nams] λέγω[vppaamp] ὅτι[c] οὐδέποτε[bo] οὕτω[bo] ὁράω[viaa1p]. **v.13** καί[c] ἐξέρχομαι[viaa3s] πάλιν[bo] παρά[p] ὁ[dafs] θάλασσα[nafs] καί[c] πᾶς[anmsn] ὁ[dnms] ὄχλος[nnms] ἔρχομαι[viin3s] πρός[p] αὐτός[rpams] καί[c] διδάσκω[viia3s] αὐτός[rpamp].

15 αὐτῷ. Καὶ ἐγενέτο ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ
καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ
τοῖς μαθηταῖς αὐτοῦ, ἦσαν γὰρ πολλοὶ καὶ ἠκολούθησαν αὐτῷ.
16 καὶ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, ἰδόντες αὐτὸν ἐσθίοντα με-
τὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ Τι
17 ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει· καὶ ἀ-
κούσας ὁ Ἰησοῦς λέγει αὐτοῖς Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες
ἰατροῦ ἀλλ οἱ κακῶς ἔχοντες, οὐκ ἦλθον καλέσαι δικαίους ἀλ-
18 λὰ ἁμαρτωλούς εἰς μετάνοιαν. Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου
καὶ οἱ τῶν Φαρισαίων νηστεύοντες καὶ ἔρχονται καὶ λέγουσιν
αὐτῷ Διατί οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν Φαρισαίων νηστεύ-
19 ουσιν οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσιν. καὶ εἶπεν αὐτοῖς
ὁ Ἰησοῦς Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος ἐν ᾧ ὁ νυμφίος
μετ αὐτῶν ἐστιν νηστεύειν ὅσον χρόνον μεθ' ἑαυτῶν ἔχουσιν τὸν
20 νυμφίον οὐ δύνανται νηστεύειν. ἐλεύσονται δὲ ἡμέραι ὅταν
ἀπαρθῇ ἀπ αὐτῶν ὁ νυμφίος καὶ τότε νηστεύσουσιν ἐν ἐκείναις
21 ταῖς ἡμέραῖς. καὶ οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιρρά-
πτει ἐπὶ ἱμάτίῳ παλαιῷ, εἰ δὲ μή αἵρει τὸ πλήρωμα αὐτοῦ τὸ
22 καινὸν τοῦ παλαιοῦ και χεῖρον σχίσμα γίνεται. καὶ οὐδεὶς
βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς, εἰ δὲ μή ῥήσσει ὁ οἶνος
ὁ νέος τοὺς ἀσκούς καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοί, ἀπόλοῦν-

---

v.14 καί[c] παράγω[vppanms] ὁράω[viaa3s] Λευί[nams] ὁ[dams] ὁ[dgms] Ἀλφαῖος[ngms] κάθημαι[vppnams] ἐπί[p] ὁ[dans] τελώνιον[nans] καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ἀκολουθέω[vdpa2s] ἐγώ[rpd-s] καί[c] ἀνίστημι[vpaanms] ἀκολουθέω[viaa3s] αὐτός[rpdms]. **v.15** καί[c] γίνομαι[viad3s] ἐν[p] ὁ[ddms] κατάκειμαι[vnpn] αὐτός[rpams] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs] αὐτός[rpgms] καί[c] πολύς[anmpn] τελώνης[nnmp] καί[c] ἁμαρτωλός[anmpn] συνανάκειμαι[viin3p] ὁ[ddms] Ἰησοῦς[ndms] καί[c] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] εἰμί[viix3p] γάρ[c] πολύς[anmpn] καί[c] ἀκολουθέω[viaa3p] αὐτός[rpdms]. **v.16** καί[c] ὁ[dnmp] γραμματεύς[nnmp] καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] ὁράω[vpaanmp] αὐτός[rpams] ἐσθίω[vppaams] μετά[p] ὁ[dgmp] τελώνης[ngmp] καί[c] ἁμαρτωλός[agmpn] λέγω[viia3p] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] τίς[rqnns] ὅτι[c] μετά[p] ὁ[dgmp] τελώνης[ngmp] καί[c] ἁμαρτωλός[agmpn] ἐσθίω[vipa3s] καί[c] πίνω[vipa3s]. **v.17** καί[c] ἀκούω[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[vipa3s] αὐτός[rpdmp] οὐ[xo] χρεία[nafs] ἔχω[vipa3p] ὁ[dnmp] ἰσχύω[vppanmp] ἰατρός[ngms] ἀλλά[c] ὁ[dnmp] κακῶς[bo] ἔχω[vppanmp] οὐ[xo] ἔρχομαι[viaa1s] καλέω[vnaa] δίκαιος[aampn] ἀλλά[c] ἁμαρτωλός[aampn] εἰς[p] μετάνοια[nafs]. **v.18** καί[c] εἰμί[viix3p] ὁ[dnmp] μαθητής[nnmp] Ἰωάννης[ngms] καί[c] ὁ[dnmp] ὁ[dgmp] Φαρισαῖος[ngmp] νηστεύω[vppanmp] καί[c] ἔρχομαι[vipn3p] καί[c] λέγω[vipa3p] αὐτός[rpdms] διά&τίς[xo] ὁ[dnmp] μαθητής[nnmp] Ἰωάννης[ngms] καί[c] ὁ[dnmp] ὁ[dgmp] Φαρισαῖος[ngmp] νηστεύω[vipa3p] ὁ[dnmp] δέ[c] σύ[rsnmp] μαθητής[nnmp] οὐ[xo] νηστεύω[vipa3p]. **v.19** καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] μή[xo] δύναμαι[vipn3p] ὁ[dnmp] υἱός[nnmp] ὁ[dgms] νυμφών[ngms] ἐν[p] ὅς[rrdms] ὁ[dnms] νυμφίος[nnms] μετά[p] αὐτός[rpgmp] εἰμί[vipx3s] νηστεύω[vnpa] ὅσος[rcams] χρόνος[nams] μετά[p] ἑαυτοῦ[rxgmp] ἔχω[vipa3p] ὁ[dams] νυμφίος[nams] οὐ[xo] δύναμαι[vipn3p] νηστεύω[vnpa]. **v.20** ἔρχομαι[vifd3p] δέ[c] ἡμέρα[nnfp] ὅταν[c] ἀπαίρω[vsap3s] ἀπό[p] αὐτός[rpgmp] ὁ[dnms] νυμφίος[nnms] καί[c] τότε[bo] νηστεύω[vifa3p] ἐν[p] ἐκεῖνος[rddfp] ὁ[ddfp] ἡμέρα[ndfp]. **v.21** καί[c] οὐδείς[anfsn] ἐπίβλημα[nans] ῥάκος[ngns] ἄγναφος[agnsn] ἐπιράπτω[vipa3s] ἐπί[p] ἱμάτιον[ndns] παλαιός[adnsn] εἰ[qo] δέ[c] μή[xo] αἴρω[vipa3s] ὁ[dnns] πλήρωμα[nnns] αὐτός[rpgns] ὁ[dans] καινός[aansn] ὁ[dgns] παλαιός[agnsn] καί[c] χείρων[annsn] σχίσμα[nnns] γίνομαι[vipn3s].

ται. ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινούς βλητέον. Καὶ ἐγένετο 23
παραπορεύεσθαι αὐτὸν ἐν τοῖς σάββασιν διὰ τῶν σπορίμων καὶ
ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας.
καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ Ἴδε τί ποιοῦσιν ἐν τοῖς σάββασιν 24
ὃ οὐκ ἔξεστιν. καὶ αὐτὸς ἔλεγεν αὐτοῖς Οὐδέποτε ἀνέγνωτε τί 25
ἐποίησεν Δαβίδ, ὅτε χρείαν ἔσχεν καὶ ἐπείνασεν αὐτός καὶ οἱ
μετ αὐτοῦ. πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ Ἀβιαθὰρ 26
τοῦ ἀρχιερέως καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν οὓς οὐκ
ἔξεστιν φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσιν καὶ ἔδωκεν καὶ τοῖς σὺν αὐ-
τῷ οὖσιν. καὶ ἔλεγεν αὐτοῖς Τὸ σάββατον διὰ τὸν ἄνθρωπον 27
ἐγένετο οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον, ὥστε κύριός ἐστιν ὁ 28
υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

Καὶ εἰσῆλθεν πάλιν εἰς τὴν συναγωγήν καὶ ἦν ἐκεῖ ἄνθρωπος **3**
ἐξηραμμένην ἔχων τὴν χεῖρα. καὶ παρετήρουν αὐτὸν εἰ τοῖς 2
σάββασιν θεραπεύσει αὐτόν ἵνα κατηγορήσωσιν αὐτοῦ. καὶ 3
λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα ἐγεῖραι εἰς
τὸ μέσον. καὶ λέγει αὐτοῖς Ἔξεστιν τοῖς σάββασιν ἀγαθοποιῆ- 4
σαι, ἢ κακοποιῆσαι ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι οἱ δὲ ἐσιώπων.
καὶ περιβλεψάμενος αὐτοὺς μετ ὀργῆς συλλυπούμενος ἐπὶ τῇ 5
πωρώσει τῆς καρδίας αὐτῶν λέγει τῷ ἀνθρώπῳ Ἔκτεινον τὴν
χεῖρα σου. καὶ ἐξέτεινεν καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγι-

---

v.22 καί[c] οὐδείς[anfsn] βάλλω[vipa3s] οἶνος[nams] νέος[aamsn] εἰς[p] ἀσκός[namp] παλαιός[aampn] εἰ[qo] δέ[c] μή[xo] ῥήγνυμι[vipa3s] ὁ[dnms] οἶνος[nnms] ὁ[dnms] νέος[anmsn] ὁ[damp] ἀσκός[namp] καί[c] ὁ[dnms] οἶνος[nnms] ἐκχέω[vipp3s] καί[c] ὁ[dnmp] ἀσκός[nnmp] ἀπόλλυμι[vifm3p] ἀλλά[c] οἶνος[nams] νέος[aamsn] εἰς[p] ἀσκός[namp] καινός[aampn] βλητέος[annsn]. **v.23** καί[c] γίνομαι[viad3s] παραπορεύομαι[vnpn] αὐτός[rpams] ἐν[p] ὁ[ddnp] σάββατον[ndnp] διά[p] ὁ[dgmp] σπόριμος[agmpn] καί[c] ἄρχω[viad3p] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ὁδός[nafs] ποιέω[vnpa] τίλλω[vppanmp] ὁ[damp] στάχυς[namp]. **v.24** καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] λέγω[viia3p] αὐτός[rpdms] ἴδε[i] τίς[rqans] ποιέω[vipa3p] ἐν[p] ὁ[ddnp] σάββατον[ndnp] ὅς[rrans] οὐ[xo] ἔξεστι[vipq3s]. **v.25** καί[c] αὐτός[rpnms] λέγω[viia3s] αὐτός[rpdmp] οὐδέποτε[bo] ἀναγινώσκω[viaa2p] τίς[rqans] ποιέω[viaa3s] Δαυίδ[tp] ὅτε[bo] χρεία[nafs] ἔχω[viaa3s] καί[c] πεινάω[viaa3s] αὐτός[rpnms] καί[c] ὁ[dnmp] μετά[p] αὐτός[rpgms]. **v.26** πῶς[bo] εἰσέρχομαι[viaa3s] εἰς[p] ὁ[dams] οἶκος[nams] ὁ[dgms] θεός[ngms] ἐπί[p] Ἀβιαθάρ[tp] ὁ[dgms] ἀρχιερεύς[ngms] καί[c] ὁ[damp] ἄρτος[namp] ὁ[dgfs] πρόθεσις[ngfs] ἐσθίω[viaa3s] ὅς[rramp] οὐ[xo] ἔξεστι[vipq3s] ἐσθίω[vnaa] εἰ[qo] μή[xo] ὁ[ddmp] ἱερεύς[ndmp] καί[c] δίδωμι[viaa3s] καί[c] ὁ[ddmp] σύν[p] αὐτός[rpdms] εἰμί[vppxdmp]. **v.27** καί[c] λέγω[viia3s] αὐτός[rpdmp] ὁ[dnns] σάββατον[nnns] διά[p] ὁ[dams] ἄνθρωπος[nams] γίνομαι[viad3s] οὐ[xo] ὁ[dnms] ἄνθρωπος[nnms] διά[p] ὁ[dans] σάββατον[nans]. **v.28** ὥστε[c] κύριος[nnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] καί[c] ὁ[dgns] σάββατον[ngns]. **3. v.1** καί[c] εἰσέρχομαι[viaa3s] πάλιν[bo] εἰς[p] ὁ[dafs] συναγωγή[nafs] καί[c] εἰμί[viix3s] ἐκεῖ[bo] ἄνθρωπος[nnms] ξηραίνω[vpxpafs] ἔχω[vppanms] ὁ[dafs] χείρ[nafs]. **v.2** καί[c] παρατηρέω[viia3p] αὐτός[rpams] εἰ[qo] ὁ[ddnp] σάββατον[ndnp] θεραπεύω[vifa3s] αὐτός[rpams] ἵνα[c] κατηγορέω[vsaa3p] αὐτός[rpgms]. **v.3** καί[c] λέγω[vipa3s] ὁ[ddms] ἄνθρωπος[ndms] ὁ[ddms] ξηραίνω[vpxpafs] ἔχω[vppadms] ὁ[dafs] χείρ[nafs] ἐγείρω[vdam2s] εἰς[p] ὁ[dans] μέσος[aansn]. **v.4** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ἔξεστι[vipq3s] ὁ[ddnp] σάββατον[ndnp] ἀγαθοποιέω[vnaa] ἤ[xo] κακοποιέω[vnaa] ψυχή[nafs] σῴζω[vnaa] ἤ[xo] ἀποκτείνω[vnaa] ὁ[dnmp] δέ[c] σιωπάω[viia3p].

6 ἧς ὡς ἡ ἄλλη. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι εὐθέως μετὰ τῶν
Ἡρῳδιανῶν συμβούλιον ἐποίουν κατ αὐτοῦ ὅπως αὐτὸν ἀπο-
7 λέσωσιν. Καὶ ὁ Ἰησοῦς ἀνεχώρησεν μετὰ τῶν μαθητῶν αὐτοῦ
πρὸς τὴν θάλασσαν καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκο-
8 λούθησαν αὐτῶ, καὶ ἀπὸ τῆς Ἰουδαίας. καὶ ἀπὸ Ἱεροσολύ-
μων καὶ ἀπὸ τῆς Ἰδουμαίας καὶ πέραν τοῦ Ἰορδάνου καὶ οἱ
περὶ Τύρον καὶ Σιδῶνα πλῆθος πολύ ἀκούσαντες ὅσα ἐποίει
9 ἦλθον πρὸς αὐτόν. καὶ εἶπεν τοῖς μαθηταῖς αὐτοῦ ἵνα πλοιά-
ριον προσκαρτερῇ αὐτῷ διὰ τὸν ὄχλον ἵνα μὴ θλίβωσιν αὐτόν,
10 πολλοὺς γὰρ ἐθεράπευσεν ὥστε ἐπιπίπτειν αὐτῷ ἵνα αὐτοῦ ἅ-
11 ψωνται ὅσοι εἶχον μάστιγας. καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα
ὅταν αὐτὸν ἐθεώρει, προσέπιπτεν αὐτῷ καὶ ἔκραζεν λέγοντα,
12 ὅτι Σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. καὶ πολλὰ ἐπετίμα αὐτοῖς ἵνα
13 μὴ αὐτὸν φανερὸν ποιήσωσιν. Καὶ ἀναβαίνει εἰς τὸ ὄρος καὶ
14 προσκαλεῖται οὓς ἤθελεν αὐτός καὶ ἀπῆλθον πρὸς αὐτόν. καὶ
ἐποίησεν δώδεκα ἵνα ὦσιν μετ αὐτοῦ καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς
15 κηρύσσειν. καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους καὶ ἐκ-
16 βάλλειν τὰ δαιμόνια, καὶ ἐπέθηκεν τῷ Σίμωνι ὄνομα Πέτρον.
17 καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ
Ἰακώβου καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα Βοανεργές ὅ ἐστιν Υἱοὶ

v.5 καί[c] περιβλέπω[vpamnms] αὐτός[rpamp] μετά[p] ὀργή[ngfs] συλλυπέομαι[vppnnms] ἐπί[p] ὁ[ddfs] πώρωσις[ndfs] ὁ[dgfs] καρδία[ngfs] αὐτός[rpgmp] λέγω[vipa3s] ὁ[ddms] ἄνθρωπος[ndms] ἐκτείνω[vdaa2s] ὁ[dafs] χείρ[nafs] σύ[rpg-s] καί[c] ἐκτείνω[viaa3s] καί[c] ἀποκαθιστάνω[viap3s] ὁ[dnfs] χείρ[nnfs] αὐτός[rpgms] ὑγιής[anfsn] ὡς[bo] ὁ[dnfs] ἄλλος[anfsn]. **v.6** καί[c] ἐξέρχομαι[vpaanmp] ὁ[dnmp] Φαρισαῖος[nnmp] εὐθέως[bo] μετά[p] ὁ[dgmp] Ἡρῳδιανοί[ngmp] συμβούλιον[nans] ποιέω[viia3p] κατά[p] αὐτός[rpgms] ὅπως[bo] αὐτός[rpams] ἀπόλλυμι[vsaa3p]. **v.7** καί[c] ὁ[dnms] Ἰησοῦς[nnms] ἀναχωρέω[viaa3s] μετά[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] πρός[p] ὁ[dafs] θάλασσα[nafs] καί[c] πολύς[annsn] πλῆθος[nnns] ἀπό[p] ὁ[dgfs] Γαλιλαία[ngfs] ἀκολουθέω[viaa3p] αὐτός[rpdms] καί[c] ἀπό[p] ὁ[dgfs] Ἰουδαία[ngfs]. **v.8** καί[c] ἀπό[p] Ἱεροσόλυμα[ngnp] καί[c] ἀπό[p] ὁ[dgfs] Ἰδουμαία[ngfs] καί[c] πέραν[bo] ὁ[dgms] Ἰορδάνης[ngms] καί[c] ὁ[dnmp] περί[p] Τύρος[nafs] καί[c] Σιδών[nafs] πλῆθος[nnns] πολύς[annsn] ἀκούω[vpaanmp] ὅσος[rcanp] ποιέω[viia3s] ἔρχομαι[viaa3p] πρός[p] αὐτός[rpams]. **v.9** καί[c] λέγω[viaa3s] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ἵνα[c] πλοιάριον[nnns] προσκαρτερέω[vspa3s] αὐτός[rpdms] διά[p] ὁ[dams] ὄχλος[nams] ἵνα[c] μή[xo] θλίβω[vspa3p] αὐτός[rpams]. **v.10** πολύς[aampn] γάρ[c] θεραπεύω[viaa3s] ὥστε[c] ἐπιπίπτω[vnpa] αὐτός[rpdms] ἵνα[c] αὐτός[rpgms] ἅπτω[vsam3p] ὅσος[rcnmp] ἔχω[viia3p] μάστιξ[nafp]. **v.11** καί[c] ὁ[dnnp] πνεῦμα[nnnp] ὁ[dnnp] ἀκάθαρτος[annpn] ὅταν[c] αὐτός[rpams] θεωρέω[viia3s] προσπίπτω[viia3s] αὐτός[rpdms] καί[c] κράζω[viia3s] λέγω[vppannp] ὅτι[c] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms]. **v.12** καί[c] πολύς[aanpn] ἐπιτιμάω[viia3s] αὐτός[rpdmp] ἵνα[c] μή[xo] αὐτός[rpams] φανερός[aamsn] ποιέω[vsaa3p]. **v.13** καί[c] ἀναβαίνω[vipa3s] εἰς[p] ὁ[dans] ὄρος[nans] καί[c] προσκαλέομαι[vipn3s] ὅς[rramp] θέλω[viia3s] αὐτός[rpnms] καί[c] ἀπέρχομαι[viaa3p] πρός[p] αὐτός[rpams]. **v.14** καί[c] ποιέω[viaa3s] δώδεκα[tn] ἵνα[c] εἰμί[vspx3p] μετά[p] αὐτός[rpgms] καί[c] ἵνα[c] ἀποστέλλω[vspa3s] αὐτός[rpamp] κηρύσσω[vnpa]. **v.15** καί[c] ἔχω[vnpa] ἐξουσία[nafs] θεραπεύω[vnpa] ὁ[dafp] νόσος[nafp] καί[c] ἐκβάλλω[vnpa] ὁ[danp] δαιμόνιον[nanp]. **v.16** καί[c] ἐπιτίθημι[viaa3s] ὁ[ddms] Σίμων[ndms] ὄνομα[nans] Πέτρος[nams].

Βροντῆς, καὶ Ἀνδρέαν καὶ Φίλιππον καὶ Βαρθολομαῖον καὶ 18
Ματθαῖον, καὶ Θωμᾶν καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου καὶ Θαδ-
δαῖον καὶ Σίμωνα τὸν Κανανίτην, καὶ Ἰούδαν Ἰσκαριώτην, ὅς 19
καὶ παρέδωκεν αὐτόν καὶ ἔρχονται εἰς οἶκον. Καὶ συνέρχεται 20
πάλιν ὄχλος ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτον φαγεῖν. καὶ 21
ἀκούσαντες οἱ παρ αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτόν, ἔλεγον γὰρ
ὅτι ἐξέστη. καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες 22
ἔλεγον ὅτι Βεελζεβοὺλ ἔχει καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων
ἐκβάλλει τὰ δαιμόνια. καὶ προσκαλεσάμενος αὐτοὺς ἐν παρα- 23
βολαῖς ἔλεγεν αὐτοῖς Πῶς δύναται Σατανᾶς Σατανᾶν ἐκβάλλειν.
καὶ ἐὰν βασιλεία ἐφ ἑαυτὴν μερισθῇ οὐ δύναται σταθῆναι ἡ 24
βασιλεία ἐκείνη, καὶ ἐὰν οἰκία ἐφ ἑαυτὴν μερισθῇ οὐ δύναται 25
σταθῆναι ἡ οἰκία ἐκείνη. καὶ εἰ ὁ Σατανᾶς ἀνέστη ἐφ ἑαυτὸν 26
καὶ μεμερίσται, οὐ δύναται σταθῆναι, ἀλλὰ τέλος ἔχει. οὐ 27
δύναται οὐδεὶς τὰ σκεύη τοῦ ἰσχυροῦ εἰσελθὼν εἰς τὴν οἰκίαν
αὐτοῦ διαρπάσαι ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ καὶ τότε τὴν
οἰκίαν αὐτοῦ διαρπάσει. Ἀμὴν λέγω ὑμῖν ὅτι πάντα ἀφεθή- 28
σεται τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων καὶ βλασφημίαι
ὅσας ἂν βλασφημήσωσιν, ὃς δ ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα 29
τὸ ἅγιον οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα ἀλλ' ἔνοχός ἐστιν αἰω-

---

v.17 καί[c] Ἰάκωβος[nams] ὁ[dams] ὁ[dgms] Ζεβεδαῖος[ngms] καί[c] Ἰωάννης[nams] ὁ[dams] ἀδελφός[nams] ὁ[dgms] Ἰάκωβος[ngms] καί[c] ἐπιτίθημι[viaa3s] αὐτός[rpdmp] ὄνομα[nanp] Βοανηργές[tp] ὅς[rrnns] εἰμί[vipx3s] υἱός[nnmp] βροντή[ngfs]. **v.18** καί[c] Ἀνδρέας[nams] καί[c] Φίλιππος[nams] καί[c] Βαρθολομαῖος[nams] καί[c] Μαθχαῖος[nams] καί[c] Θωμᾶς[nams] καί[c] Ἰάκωβος[nams] ὁ[dams] ὁ[dgms] Ἀλφαῖος[ngms] καί[c] Θαδδαῖος[nams] καί[c] Σίμων[nams] ὁ[dams] Καναναῖος[nams]. **v.19** καί[c] Ἰούδας[nams] Ἰσκαριώθ[nams] ὅς[rrnms] καί[c] παραδίδωμι[viaa3s] αὐτός[rpams] καί[c] ἔρχομαι[vipn3p] εἰς[p] οἶκος[nams]. **v.20** καί[c] συνέρχομαι[vipn3s] πάλιν[bo] ὄχλος[nnms] ὥστε[c] μή[xo] δύναμαι[vnpn] αὐτός[rpamp] μήτε[c] ἄρτος[nams] ἐσθίω[vnaa]. **v.21** καί[c] ἀκούω[vpaanmp] ὁ[dnmp] παρά[p] αὐτός[rpgms] ἐξέρχομαι[viaa3p] κρατέω[vnaa] αὐτός[rpams] λέγω[viia3p] γάρ[c] ὅτι[c] ἐξίστημι[viaa3s]. **v.22** καί[c] ὁ[dnmp] γραμματεύς[nnmp] ὁ[dnmp] ἀπό[p] Ἱεροσόλυμα[ngnp] καταβαίνω[vpaanmp] λέγω[viia3p] ὅτι[c] Βεελζεβούλ[tp] ἔχω[vipa3s] καί[c] ὅτι[c] ἐν[p] ὁ[ddms] ἄρχων[ndms] ὁ[dgnp] δαιμόνιον[ngnp] ἐκβάλλω[vipa3s] ὁ[danp] δαιμόνιον[nanp]. **v.23** καί[c] προσκαλέομαι[vpadnms] αὐτός[rpamp] ἐν[p] παραβολή[ndfp] λέγω[viia3s] αὐτός[rpdmp] πῶς[bo] δύναμαι[vipn3s] Σατανᾶς[nnms] Σατανᾶς[nams] ἐκβάλλω[vnpa]. **v.24** καί[c] ἐάν[qo] βασιλεία[nnfs] ἐπί[p] ἑαυτοῦ[rxafs] μερίζω[vsap3s] οὐ[xo] δύναμαι[vipn3s] ἵστημι[vnap] ὁ[dnfs] βασιλεία[nnfs] ἐκεῖνος[rdnfs]. **v.25** καί[c] ἐάν[qo] οἰκία[nnfs] ἐπί[p] ἑαυτοῦ[rxafs] μερίζω[vsap3s] οὐ[xo] δύναμαι[vipn3s] ἵστημι[vnap] ὁ[dnfs] οἰκία[nnfs] ἐκεῖνος[rdnfs]. **v.26** καί[c] εἰ[qo] ὁ[dnms] Σατανᾶς[nnms] ἀνίστημι[viaa3s] ἐπί[p] ἑαυτοῦ[rxams] καί[c] μερίζω[vixp3s] οὐ[xo] δύναμαι[vipn3s] ἵστημι[vnap] ἀλλά[c] τέλος[nans] ἔχω[vipa3s]. **v.27** οὐ[xo] δύναμαι[vipn3s] οὐδείς[anfsn] ὁ[danp] σκεῦος[nanp] ὁ[dgms] ἰσχυρός[agmsn] εἰσέρχομαι[vpaanms] εἰς[p] ὁ[dafs] οἰκία[nafs] αὐτός[rpgms] διαρπάζω[vnaa] ἐάν[qo] μή[xo] πρῶτος[bo] ὁ[dams] ἰσχυρός[aamsn] δέω[vsaa3s] καί[c] τότε[bo] ὁ[dafs] οἰκία[nafs] αὐτός[rpgms] διαρπάζω[vifa3s]. **v.28** ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] πᾶς[annpn] ἀφίημι[vifp3s] ὁ[dnnp] ἁμάρτημα[nnnp] ὁ[ddmp] υἱός[ndmp] ὁ[dgmp] ἄνθρωπος[ngmp] καί[c] βλασφημία[nnfp] ὅσος[rcafp] ἄν[xo] βλασφημέω[vsaa3p].

30, 31 νίου κρίσεως, ὅτι ἔλεγον Πνεῦμα ἀκάθαρτον ἔχει. ἔρχονται
οὖν οἱ ἀδελφοὶ Καὶ ἡ μήτηρ αὐτοῦ καὶ ἔξω ἑστῶτες ἀπέστειλαν
32 πρὸς αὐτὸν φωνοῦντες αὐτόν. καὶ ἐκάθητο ὄχλος περὶ αὐ-
τὸν εἶπον δὲ αὐτῷ Ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω
33 ζητοῦσίν σε. καὶ ἀπεκριθη αὐτοῖς λέγων, Τίς ἐστιν ἡ μήτηρ
34 μου ἢ οἱ ἀδελφοί μου. καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ
αὐτὸν καθημένους λέγει Ἴδε ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου.
35 ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ θεοῦ οὗτος ἀδελφός μου καὶ
ἀδελφὴ μου καὶ μήτηρ ἐστίν.

4 Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν, καὶ συνή-
χθη πρὸς αὐτὸν ὄχλος πολύς, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον
καθῆσθαι ἐν τῇ θαλάσσῃ καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν
2 ἐπὶ τῆς γῆς ἦν. καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλά
3 καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ. Ἀκούετε ἰδοὺ ἐξῆλθεν ὁ
4 σπείρων τοῦ σπεῖραι. καὶ ἐγένετο ἐν τῷ σπείρειν ὃ μὲν ἔπεσεν
παρὰ τὴν ὁδόν καὶ ἦλθεν τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατέ-
5 φαγεν αὐτό. ἄλλο δὲ ἔπεσεν ἐπὶ τὸ πετρῶδες ὅπου οὐκ εἶχεν
γῆν πολλήν καὶ εὐθὲως ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν βάθος γῆς,
6 ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν
7 ἐξηράνθη. καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας καὶ ἀνέβησαν αἱ

---

v.29 ὅς[rrnms] δέ[c] ἄν[xo] βλασφημέω[vsaa3s] εἰς[p] ὁ[dans] πνεῦμα[nans] ὁ[dans] ἅγιος[aansn] οὐ[xo] ἔχω[vipa3s] ἄφεσις[nafs] εἰς[p] ὁ[dams] αἰών[nams] ἀλλά[c] ἔνοχος[anmsn] εἰμί[vipx3s] αἰώνιος[agfsn] κρίσις[ngfs]. **v.30** ὅτι[c] λέγω[viia3p] πνεῦμα[nans] ἀκάθαρτος[aansn] ἔχω[vipa3s]. **v.31** ἔρχομαι[vipn3p] οὖν[c] ὁ[dnmp] ἀδελφός[nnmp] καί[c] ὁ[dnfs] μήτηρ[nnfs] αὐτός[rpgms] καί[c] ἔξω[bo] ἵστημι[vpxanmp] ἀποστέλλω[viaa3p] πρός[p] αὐτός[rpams] φωνέω[vppanmp] αὐτός[rpams]. **v.32** καί[c] κάθημαι[viin3s] ὄχλος[nnms] περί[p] αὐτός[rpams] λέγω[viaa3p] δέ[c] αὐτός[rpdms] ἰδού[vdaa2s] ὁ[dnfs] μήτηρ[nnfs] σύ[rpg-s] καί[c] ὁ[dnmp] ἀδελφός[nnmp] σύ[rpg-s] ἔξω[bo] ζητέω[vipa3p] σύ[rpa-s]. **v.33** καί[c] ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] λέγω[vppanms] τίς[rqnms] εἰμί[vipx3s] ὁ[dnfs] μήτηρ[nnfs] ἐγώ[rpg-s] ἤ[xo] ὁ[dnmp] ἀδελφός[nnmp] ἐγώ[rpg-s]. **v.34** καί[c] περιβλέπω[vpamnms] κύκλῳ[ndms] ὁ[damp] περί[p] αὐτός[rpams] κάθημαι[vppnamp] λέγω[vipa3s] ἴδε[i] ὁ[dnfs] μήτηρ[nnfs] ἐγώ[rpg-s] καί[c] ὁ[dnmp] ἀδελφός[nnmp] ἐγώ[rpg-s]. **v.35** ὅς[rrnms] γάρ[c] ἄν[xo] ποιέω[vsaa3s] ὁ[dans] θέλημα[nans] ὁ[dgms] θεός[ngms] οὗτος[rdnms] ἀδελφός[nnms] ἐγώ[rpg-s] καί[c] ἀδελφή[nnfs] ἐγώ[rpg-s] καί[c] μήτηρ[nnfs] εἰμί[vipx3s]. **4. v.1** καί[c] πάλιν[bo] ἄρχω[viad3s] διδάσκω[vnpa] παρά[p] ὁ[dafs] θάλασσα[nafs] καί[c] συνάγω[viap3s] πρός[p] αὐτός[rpams] ὄχλος[nnms] πολύς[anmsn] ὥστε[c] αὐτός[rpams] ἐμβαίνω[vpaaams] εἰς[p] ὁ[dans] πλοῖον[nans] κάθημαι[vnpn] ἐν[p] ὁ[ddfs] θάλασσα[ndfs] καί[c] πᾶς[anmsn] ὁ[dnms] ὄχλος[nnms] πρός[p] ὁ[dafs] θάλασσα[nafs] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] εἰμί[viix3s]. **v.2** καί[c] διδάσκω[viia3s] αὐτός[rpamp] ἐν[p] παραβολή[ndfp] πολύς[aanpn] καί[c] λέγω[viia3s] αὐτός[rpdmp] ἐν[p] ὁ[ddfs] διδαχή[ndfs] αὐτός[rpgms]. **v.3** ἀκούω[vdpa2p] ἰδού[vdaa2s] ἐξέρχομαι[viaa3s] ὁ[dnms] σπείρω[vppanms] ὁ[dgms] σπείρω[vnaa]. **v.4** καί[c] γίνομαι[viad3s] ἐν[p] ὁ[ddms] σπείρω[vnpa] ὅς[rrnns] μέν[xo] πίπτω[viaa3s] παρά[p] ὁ[dafs] ὁδός[nafs] καί[c] ἔρχομαι[viaa3s] ὁ[dnnp] πετεινός[nnnp] ὁ[dgms] οὐρανός[ngms] καί[c] κατεσθίω[viaa3s] αὐτός[rpans]. **v.5** ἄλλος[annsn] δέ[c] πίπτω[viaa3s] ἐπί[p] ὁ[dans] πετρώδης[aansn] ὅπου[bo] οὐ[xo] ἔχω[viia3s] γῆ[nafs] πολύς[aafsn] καί[c] εὐθέως[bo] ἐξανατέλλω[viaa3s] διά[p] ὁ[dans] μή[xo] ἔχω[vnpa] βάθος[nans] γῆ[ngfs]. **v.6** ἥλιος[ngms] δέ[c] ἀνατέλλω[vpaagms] καυματίζω[viap3s] καί[c] διά[p] ὁ[dans] μή[xo] ἔχω[vnpa] ῥίζα[nafs] ξηραίνω[viap3s].

ἄκανθαι καὶ συνέπνιξαν αὐτό καὶ καρπὸν οὐκ ἔδωκεν. καὶ 8
ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν καὶ ἐδίδου καρπὸν ἀναβαί-
νοντα καὶ αὐξανόντα, καὶ ἔφερεν ἓν τριάκοντα καὶ ἓν ἑξήκοντα
καὶ ἓν ἑκατόν. καὶ ἔλεγεν αὐτοῖς, Ὃ ἔχων ὦτα ἀκούειν ἀκου- 9
έτω. ὅτε δὲ ἐγένετο καταμόνας, ἠρώτησαν αὐτὸν οἱ περὶ αὐτὸν 10
σὺν τοῖς δώδεκα τὴν παραβολήν. καὶ ἔλεγεν αὐτοῖς Ὑμῖν δέ- 11
δοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ θεοῦ, ἐκείνοις δὲ
τοῖς ἔξω ἐν παραβολαῖς τὰ πάντα γίνεται. ἵνα βλέποντες βλέ- 12
πωσιν καὶ μὴ ἴδωσιν καὶ ἀκούοντες ἀκούωσιν καὶ μὴ συνιῶσιν
μήποτε ἐπιστρέψωσιν καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρτήματα. Καὶ 13
λέγει αὐτοῖς Οὐκ οἴδατε τὴν παραβολὴν ταύτην καὶ πῶς πάσας
τὰς παραβολὰς γνώσεσθε. ὁ σπείρων τὸν λόγον σπείρει. οὗ- 14, 15
τοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδὸν, ὅπου σπείρεται ὁ λόγος καὶ ὅταν
ἀκούσωσιν εὐθέως ἔρχεται ὁ Σατανᾶς καὶ αἴρει τὸν λόγον τὸν
ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν. καὶ οὗτοί εἰσιν ὁμοίως 16
οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι οἳ ὅταν ἀκούσωσιν τὸν λόγον
εὐθέως μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν. καὶ οὐκ ἔχουσιν ῥί- 17
ζαν ἐν ἑαυτοῖς ἀλλὰ πρόσκαιροί εἰσιν εἶτα γενομένης θλίψεως
ἢ διωγμοῦ διὰ τὸν λόγον εὐθέως σκανδαλίζονται. καὶ οὗτοί 18
εἰσὶν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, οὗτοί εἰσιν οἱ τὸν λόγον
ἀκούοντες. καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη 19

---

v.7 καί[c] ἄλλος[annsn] πίπτω[viaa3s] εἰς[p] ὁ[dafp] ἄκανθα[nafp] καί[c] ἀναβαίνω[viaa3p] ὁ[dnfp] ἄκανθα[nnfp] καί[c] συμπνίγω[viaa3p] αὐτός[rpans] καί[c] καρπός[nams] οὐ[xo] δίδωμι[viaa3s]. **v.8** καί[c] ἄλλος[annsn] πίπτω[viaa3s] εἰς[p] ὁ[dafs] γῆ[nafs] ὁ[dafs] καλός[aafsn] καί[c] δίδωμι[viia3s] καρπός[nams] ἀναβαίνω[vppaams] καί[c] αὐξάνω[vppaams] καί[c] φέρω[viia3s] εἷς[p] τριάκοντα[tn] καί[c] εἷς[p] ἑξήκοντα[tn] καί[c] εἷς[p] ἑκατόν[tn]. **v.9** καί[c] λέγω[viia3s] αὐτός[rpdmp] ὁ[dnms] ἔχω[vppanms] οὖς[nanp] ἀκούω[vnpa] ἀκούω[vdpa3s]. **v.10** ὅτε[bo] δέ[c] γίνομαι[viad3s] κατά&μόνος[bo] ἐρωτάω[viaa3p] αὐτός[rpams] ὁ[dnmp] περί[p] αὐτός[rpams] σύν[p] ὁ[ddmp] δώδεκα[tn] ὁ[dafs] παραβολή[nafs]. **v.11** καί[c] λέγω[viia3s] αὐτός[rpdmp] σύ[rpd-p] δίδωμι[vixp3s] γινώσκω[vnaa] ὁ[dans] μυστήριον[nans] ὁ[dgfs] βασιλεία[ngfs] ὁ[dgms] θεός[ngms] ἐκεῖνος[rddmp] δέ[c] ὁ[ddmp] ἔξω[bo] ἐν[p] παραβολή[ndfp] ὁ[dnnp] πᾶς[annpn] γίνομαι[vipn3s]. **v.12** ἵνα[c] βλέπω[vppanmp] βλέπω[vspa3p] καί[c] μή[xo] ὁράω[vsaa3p] καί[c] ἀκούω[vppanmp] ἀκούω[vspa3p] καί[c] μή[xo] συνίημι[vspa3p] μήποτε[bo] ἐπιστρέφω[vsaa3p] καί[c] ἀφίημι[vsap3s] αὐτός[rpdmp] ὁ[dnnp] ἁμάρτημα[nnnp]. **v.13** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] οὐ[xo] οἶδα[vixa2p] ὁ[dafs] παραβολή[nafs] οὗτος[rdafs] καί[c] πῶς[bo] πᾶς[aafpn] ὁ[dafp] παραβολή[nafp] γινώσκω[vifd2p]. **v.14** ὁ[dnms] σπείρω[vppanms] ὁ[dams] λόγος[nams] σπείρω[vipa3s]. **v.15** οὗτος[rdnmp] δέ[c] εἰμί[vipx3p] ὁ[dnmp] παρά[p] ὁ[dafs] ὁδός[nafs] ὅπου[bo] σπείρω[vipp3s] ὁ[dnms] λόγος[nnms] καί[c] ὅταν[c] ἀκούω[vsaa3p] εὐθέως[bo] ἔρχομαι[vipn3s] ὁ[dnms] Σατανᾶς[nnms] καί[c] αἴρω[vipa3s] ὁ[dams] λόγος[nams] ὁ[dams] σπείρω[vpxpams] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] αὐτός[rpgmp]. **v.16** καί[c] οὗτος[rdnmp] εἰμί[vipx3p] ὁμοίως[bo] ὁ[dnmp] ἐπί[p] ὁ[danp] πετρώδης[aanpn] σπείρω[vpppnmp] ὅς[rrnmp] ὅταν[c] ἀκούω[vsaa3p] ὁ[dams] λόγος[nams] εὐθέως[bo] μετά[p] χαρά[ngfs] λαμβάνω[vipa3p] αὐτός[rpams]. **v.17** καί[c] οὐ[xo] ἔχω[vipa3p] ῥίζα[nafs] ἐν[p] ἑαυτοῦ[rxdmp] ἀλλά[c] πρόσκαιρος[anmpn] εἰμί[vipx3p] εἶτα[bo] γίνομαι[vpadgfs] θλῖψις[ngfs] ἤ[xo] διωγμός[ngms] διά[p] ὁ[dams] λόγος[nams] εὐθέως[bo] σκανδαλίζω[vipp3p]. **v.18** καί[c] οὗτος[rdnmp] εἰμί[vipx3p] ὁ[dnmp] εἰς[p] ὁ[dafp] ἄκανθα[nafp] σπείρω[vpppnmp] οὗτος[rdnmp] εἰμί[vipx3p] ὁ[dnmp] ὁ[dams] λόγος[nams] ἀκούω[vppanmp].

τοῦ πλούτου καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευόμεναι
20 συμπνίγουσιν τὸν λόγον καὶ ἄκαρπος γίνεται. καὶ οὗτοί εἰσιν
οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες οἵτινες ἀκούουσιν τὸν λό-
γον καὶ παραδέχονται καὶ καρποφοροῦσιν ἓν τριάκοντα καὶ ἓν
21 ἑξήκοντα καὶ ἓν ἑκατόν. Καὶ ἔλεγεν αὐτοῖς Μήτι ὁ λύχνος ἔρ-
χεται ἵνα ὑπὸ τὸν μόδιον τεθῇ ἢ ὑπὸ τὴν κλίνην οὐχ ἵνα ἐπὶ τὴν
22 λυχνίαν ἐπιτεθῇ· οὐ γάρ ἐστιν τί κρυπτὸν ὃ ἐὰν μὴ φανερωθῇ
23 οὐδὲ ἐγένετο ἀπόκρυφον ἀλλ ἵνα εἰς φανερόν ἔλθῃ. εἴ τις ἔχει
24 ὦτα ἀκούειν ἀκουέτω. Καὶ ἔλεγεν αὐτοῖς Βλέπετε τί ἀκούετε
ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθήσεται ὑμῖν καὶ προστεθήσεται ὑμῖν
25 τοῖς ἀκούουσιν. ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ, καὶ ὃς οὐκ
26 ἔχει καὶ ὃ ἔχει ἀρθήσεται ἀπ αὐτοῦ. Καὶ ἔλεγεν Οὕτως ἐστὶν
ἡ βασιλεία τοῦ θεοῦ ὡς ἐάν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς
27 γῆς. καὶ καθεύδῃ καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν καὶ ὁ σπό-
28 ρος βλαστάνῃ καὶ μηκύνηται ὡς οὐκ οἶδεν αὐτός. αὐτομάτη
γὰρ ἡ γῆ καρποφορεῖ πρῶτον χόρτον εἶτα στάχυν εἶτα πλήρη
29 σῖτον ἐν τῷ στάχυϊ. ὅταν δὲ παραδῷ ὁ καρπός εὐθέως ἀπο-
30 στέλλει τὸ δρέπανον ὅτι παρέστηκεν ὁ θερισμός. Καὶ ἔλεγεν
τίνι ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ θεοῦ ἢ ἐν ποία παραβολῇ
31 παραβάλωμεν αὐτὴν. ὡς κόκκῳ σινάπεως ὃς ὅταν σπαρῇ ἐ-
πὶ τῆς γῆς μικρότερος πάντων τῶν σπερμάτων ἐστὶν τῶν ἐπὶ

---

v.19 καί[c] ὁ[dnfp] μέριμνα[nnfp] ὁ[dgms] αἰών[ngms] οὗτος[rdgms] καί[c] ὁ[dnfs] ἀπάτη[nnfs] ὁ[dgms] πλοῦτος[ngms] καί[c] ὁ[dnfp] περί[p] ὁ[danp] λοιπός[aanpn] ἐπιθυμία[nnfp] εἰσπορεύομαι[vppnnfp] συμπνίγω[vipa3p] ὁ[dams] λόγος[nams] καί[c] ἄκαρπος[anmsn] γίνομαι[vipn3s]. **v.20** καί[c] οὗτος[rdnmp] εἰμί[vipx3p] ὁ[dnmp] ἐπί[p] ὁ[dafs] γῆ[nafs] ὁ[dafs] καλός[aafsn] σπείρω[vpapnmp] ὅστις[rrnmp] ἀκούω[vipa3p] ὁ[dams] λόγος[nams] καί[c] παραδέχομαι[vipn3p] καί[c] καρποφορέω[vipa3p] εἷς[p] τριάκοντα[tn] καί[c] εἷς[p] ἑξήκοντα[tn] καί[c] εἷς[p] ἑκατόν[tn]. **v.21** καί[c] λέγω[viia3s] αὐτός[rpdmp] μήτι[xo] ὁ[dnms] λύχνος[nnms] ἔρχομαι[vipn3s] ἵνα[c] ὑπό[p] ὁ[dams] μόδιος[nams] τίθημι[vsap3s] ἤ[xo] ὑπό[p] ὁ[dafs] κλίνη[nafs] οὐ[xo] ἵνα[c] ἐπί[p] ὁ[dafs] λυχνία[nafs] ἐπιτίθημι[vsap3s]. **v.22** οὐ[xo] γάρ[c] εἰμί[vipx3s] τίς[rinns] κρυπτός[annsn] ὅς[rrnns] ἐάν[qo] μή[xo] φανερόω[vsap3s] οὐδέ[bo] γίνομαι[viad3s] ἀπόκρυφος[annsn] ἀλλά[c] ἵνα[c] εἰς[p] φανερός[aamsn] ἔρχομαι[vsaa3s]. **v.23** εἰ[qo] τι-σρινμσ ἔχω[vipa3s] οὖς[nanp] ἀκούω[vnpa] ἀκούω[vdpa3s]. **v.24** καί[c] λέγω[viia3s] αὐτός[rpdmp] βλέπω[vdpa2p] τίς[rqans] ἀκούω[vipa2p] ἐν[p] ὅς[rrdns] μέτρον[ndns] μετρέω[vipa2p] μετρέω[vifp3s] σύ[rpd-p] καί[c] προστίθημι[vifp3s] σύ[rpd-p] ὁ[ddmp] ἀκούω[vppadmp]. **v.25** ὅς[rrnms] γάρ[c] ἄν[xo] ἔχω[vspa3s] δίδωμι[vifp3s] αὐτός[rpdms] καί[c] ὅς[rrnms] οὐ[xo] ἔχω[vipa3s] καί[c] ὅς[rrans] ἔχω[vipa3s] αἴρω[vifp3s] ἀπό[p] αὐτός[rpgms]. **v.26** καί[c] λέγω[viia3s] οὕτω[bo] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgms] θεός[ngms] ὡς[bo] ἐάν[qo] ἄνθρωπος[nnms] βάλλω[vsaa3s] ὁ[dams] σπόρος[nams] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs]. **v.27** καί[c] καθεύδω[vspa3s] καί[c] ἐγείρω[vspp3s] νύξ[nafs] καί[c] ἡμέρα[nafs] καί[c] ὁ[dnms] σπόρος[nnms] βλαστάνω[vspa3s] καί[c] μηκύνω[vspp3s] ὡς[bo] οὐ[xo] οἶδα[vixa3s] αὐτός[rpnms]. **v.28** αὐτόματος[anfsn] γάρ[c] ὁ[dnfs] γῆ[nnfs] καρποφορέω[vipa3s] πρῶτος[bo] χόρτος[nams] εἶτα[bo] στάχυς[nams] εἶτα[bo] πλήρης[aamsn] σῖτος[nams] ἐν[p] ὁ[ddms] στάχυς[ndms]. **v.29** ὅταν[c] δέ[c] παραδίδωμι[vsaa3s] ὁ[dnms] καρπός[nnms] εὐθέως[bo] ἀποστέλλω[vipa3s] ὁ[dans] δρέπανον[nans] ὅτι[c] παρίστημι[vixa3s] ὁ[dnms] θερισμός[nnms]. **v.30** καί[c] λέγω[viia3s] τίς[rqdms] ὁμοιόω[vsaa1p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] θεός[ngms] ἤ[xo] ἐν[p] ποῖος[rqdfs] παραβολή[ndfs] παραβάλλω[vsaa1p] αὐτός[rpafs].

τῆς γῆς. καὶ ὅταν σπαρῇ ἀναβαίνει καὶ γίνεται πάντων τῶν 32
λαχάνων μείζων καὶ ποιεῖ κλάδους μεγάλους ὥστε δύνασθαι
ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν.
Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον κα- 33
θὼς ἠδύναντο ἀκούειν, χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς 34
κατ ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ ἐπέλυεν πάντα. Καὶ λέγει 35
αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας γενομένης Διέλθωμεν εἰς τὸ
πέραν. καὶ ἀφέντες τὸν ὄχλον παραλαμβάνουσιν αὐτὸν ὡς ἦν 36
ἐν τῷ πλοίῳ καὶ ἄλλα δὲ πλοιάρια ἦν μετ αὐτοῦ. καὶ γίνεται 37
λαῖλαψ ἀνέμου μεγάλη τὰ δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον
ὥστε αὐτό ἤδη γεμίζεσθαι. καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ 38
προσκεφάλαιον καθεύδων καὶ διεγείρουσιν αὐτὸν καὶ λέγουσιν
αὐτῷ Διδάσκαλε οὐ μέλει σοι ὅτι ἀπολλύμεθα. καὶ διεγερθεὶς 39
ἐπετίμησεν τῷ ἀνέμῳ καὶ εἶπεν τῇ θαλάσσῃ Σιώπα πεφίμωσο
καὶ ἐκόπασεν ὁ ἄνεμος καὶ ἐγένετο γαλήνη μεγάλη. καὶ εἶπεν 40
αὐτοῖς Τί δειλοί ἐστε οὕτως πῶς οὐκ ἔχετε πίστιν. καὶ ἐφοβή- 41
θησαν φόβον μέγαν καὶ ἔλεγον πρὸς ἀλλήλους Τίς ἄρα οὗτός
ἐστιν ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ.

Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν **5**
Γαδαρηνῶν. καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου εὐθέως ἀπήν- 2

---

v.31 ὡς[bo] κόκκος[ndms] σίναπι[ngns] ὅς[rrnms] ὅταν[c] σπείρω[vsap3s] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] μικρός[anmsc] πᾶς[agnpn] ὁ[dgnp] σπέρμα[ngnp] εἰμί[vipx3s] ὁ[dgnp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs]. **v.32** καί[c] ὅταν[c] σπείρω[vsap3s] ἀναβαίνω[vipa3s] καί[c] γίνομαι[vipn3s] πᾶς[agnpn] ὁ[dgnp] λάχανον[ngnp] μέγας[anmsc] καί[c] ποιέω[vipa3s] κλάδος[namp] μέγας[aampn] ὥστε[c] δύναμαι[vnpn] ὑπό[p] ὁ[dafs] σκιά[nafs] αὐτός[rpgms] ὁ[danp] πετεινός[nanp] ὁ[dgms] οὐρανός[ngms] κατασκηνόω[vnpa]. **v.33** καί[c] τοιοῦτος[rddfp] παραβολή[ndfp] πολύς[adfpn] λαλέω[viia3s] αὐτός[rpdmp] ὁ[dams] λόγος[nams] καθώς[bo] δύναμαι[viin3p] ἀκούω[vnpa]. **v.34** χωρίς[bo] δέ[c] παραβολή[ngfs] οὐ[xo] λαλέω[viia3s] αὐτός[rpdmp] κατά[p] ἴδιος[aafsn] δέ[c] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ἐπιλύω[viia3s] πᾶς[aanpn]. **v.35** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfs] ὄψιος[agfsn] γίνομαι[vpadgfs] διέρχομαι[vsaa1p] εἰς[p] ὁ[dans] πέραν[bo]. **v.36** καί[c] ἀφίημι[vpaanmp] ὁ[dams] ὄχλος[nams] παραλαμβάνω[vipa3p] αὐτός[rpams] ὡς[bo] εἰμί[viix3s] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] καί[c] ἄλλος[annpn] δέ[c] πλοιάριον[nnnp] εἰμί[viix3s] μετά[p] αὐτός[rpgms]. **v.37** καί[c] γίνομαι[vipn3s] λαῖλαψ[nnfs] ἄνεμος[ngms] μέγας[anfsn] ὁ[dnnp] δέ[c] κῦμα[nnnp] ἐπιβάλλω[viia3s] εἰς[p] ὁ[dans] πλοῖον[nans] ὥστε[c] αὐτός[rpnns] ἤδη[bo] γεμίζω[vnpp]. **v.38** καί[c] εἰμί[viix3s] αὐτός[rpnms] ἐπί[p] ὁ[ddfs] πρύμνα[ndfs] ἐπί[p] ὁ[dans] προσκεφάλαιον[nans] καθεύδω[vppanms] καί[c] διεγείρω[vipa3p] αὐτός[rpams] καί[c] λέγω[vipa3p] αὐτός[rpdms] διδάσκαλος[nvms] οὐ[xo] μέλει[vipq3s] σύ[rpd-s] ὅτι[c] ἀπόλλυμι[vipm1p]. **v.39** καί[c] διεγείρω[vpapnms] ἐπιτιμάω[viaa3s] ὁ[ddms] ἄνεμος[ndms] καί[c] λέγω[viaa3s] ὁ[ddfs] θάλασσα[ndfs] σιωπάω[vdpa2s] φιμόω[vdxp2s] καί[c] κοπάζω[viaa3s] ὁ[dnms] ἄνεμος[nnms] καί[c] γίνομαι[viad3s] γαλήνη[nnfs] μέγας[anfsn]. **v.40** καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] τίς[rqnns] δειλός[anmpn] εἰμί[vipx2p] οὕτω[bo] πῶς[bo] οὐ[xo] ἔχω[vipa2p] πίστις[nafs]. **v.41** καί[c] φοβέομαι[viao3p] φόβος[nams] μέγας[aamsn] καί[c] λέγω[viia3p] πρός[p] ἀλλήλων[reamp] τίς[rqnms] ἄρα[xo] οὗτος[rdnms] εἰμί[vipx3s] ὅτι[c] καί[c] ὁ[dnms] ἄνεμος[nnms] καί[c] ὁ[dnfs] θάλασσα[nnfs] ὑπακούω[vipa3p] αὐτός[rpdms]. **5. v.1** καί[c] ἔρχομαι[viaa3p] εἰς[p] ὁ[dans] πέραν[bo] ὁ[dgfs] θάλασσα[ngfs] εἰς[p] ὁ[dafs] χώρα[nafs] ὁ[dgmp] Γαδαρηνός[agmpn].

τησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ.
3 ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνήμείοις, καὶ οὔτε ἁλύσεσιν
4 οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι. διὰ τὸ αὐτὸν πολλάκις πέδαις
καὶ ἁλύσεσιν δεδέσθαι καὶ διεσπάσθαι ὑπ αὐτοῦ τὰς ἁλύσεις
καὶ τὰς πέδας συντετρῖφθαι καὶ οὐδεὶς αὐτὸν ἴσχυεν δαμάσαι,
5 καὶ διαπαντός νυκτὸς καὶ ἡμέρας ἐν τοῖς ὄρεσιν καὶ ἐν τοῖς
6 μνήμασιν ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις. ἰδὼν δὲ
τὸν Ἰησοῦν ἀπὸ μακρόθεν ἔδραμεν καὶ προσεκύνησεν αὐτῷ.
7 καὶ κράξας φωνῇ μεγάλῃ εἶπεν Τί ἐμοὶ καὶ σοί Ἰησοῦ υἱὲ τοῦ
8 θεοῦ τοῦ ὑψίστου ὁρκίζω σε τὸν θεόν μή με βασανίσῃς. ἔλεγεν
γὰρ αὐτῷ Ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου.
9 καὶ ἐπηρώτα αὐτόν Τί σοι ὄνομά καὶ ἀπεκρίθη λέγων, Λεγε-
10 ὼν ὄνομά μοι ὅτι πολλοί ἐσμεν. καὶ παρεκάλει αὐτὸν πολλὰ
11 ἵνα μὴ αὐτοὺς ἀποστείλῃ ἔξω τῆς χώρας. Ἦν δὲ ἐκεῖ πρὸς
12 τὰ ὄρη ἀγέλη χοίρων μεγάλη βοσκομένη, καὶ παρεκάλεσαν
αὐτὸν πάντες οἱ δαίμονες λέγοντες Πέμψον ἡμᾶς εἰς τοὺς χοί-
13 ρους ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν. καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως
ὁ Ἰησοῦς. καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα εἰσῆλθον
εἰς τοὺς χοίρους καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς
τὴν θάλασσαν ἦσαν δὲ ὡς δισχίλιοι καὶ ἐπνίγοντο ἐν τῇ θαλάσ-
14 σῃ. οἱ δὲ βόσκοντες τοὺς χοίρους ἔφυγον καὶ ἀνήγγειλάν εἰς

---

v.2 καί[c] ἐξέρχομαι[vpaadms] αὐτός[rpdms] ἐκ[p] ὁ[dgns] πλοῖον[ngns] εὐθέως[bo] ἀπαντάω[viaa3s] αὐτός[rpdms] ἐκ[p] ὁ[dgnp] μνημεῖον[ngnp] ἄνθρωπος[nnms] ἐν[p] πνεῦμα[ndns] ἀκάθαρτος[adnsn]. **v.3** ὅς[rrnms] ὁ[dafs] κατοίκησις[nafs] ἔχω[viia3s] ἐν[p] ὁ[ddnp] μνημεῖον[ndnp] καί[c] οὔτε[c] ἅλυσις[ndfp] οὐδείς[anfsn] δύναμαι[viin3s] αὐτός[rpams] δέω[vnaa]. **v.4** διά[p] ὁ[dans] αὐτός[rpams] πολλάκις[bo] πέδη[ndfp] καί[c] ἅλυσις[ndfp] δέω[vnxp] καί[c] διασπάω[vnxp] ὑπό[p] αὐτός[rpgms] ὁ[dafp] ἅλυσις[nafp] καί[c] ὁ[dafp] πέδη[nafp] συντρίβω[vnxp] καί[c] οὐδείς[anfsn] αὐτός[rpams] ἰσχύω[viia3s] δαμάζω[vnaa]. **v.5** καί[c] διά&πᾶς[bo] νύξ[ngfs] καί[c] ἡμέρα[ngfs] ἐν[p] ὁ[ddnp] ὄρος[ndnp] καί[c] ἐν[p] ὁ[ddnp] μνῆμα[ndnp] εἰμί[viix3s] κράζω[vppanms] καί[c] κατακόπτω[vppanms] ἑαυτοῦ[rxams] λίθος[ndmp]. **v.6** ὁράω[vpaanms] δέ[c] ὁ[dams] Ἰησοῦς[nams] ἀπό[p] μακρόθεν[bo] τρέχω[viaa3s] καί[c] προσκυνέω[viaa3s] αὐτός[rpdms]. **v.7** καί[c] κράζω[vpaanms] φωνή[ndfs] μέγας[adfsn] λέγω[viaa3s] τίς[rqnns] ἐγώ[rpd-s] καί[c] σύ[rpd-s] Ἰησοῦς[nvms] υἱός[nvms] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ὕψιστος[agmsn] ὁρκίζω[vipa1s] σύ[rpa-s] ὁ[dams] θεός[nams] μή[xo] ἐγώ[rpa-s] βασανίζω[vsaa2s]. **v.8** λέγω[viia3s] γάρ[c] αὐτός[rpdms] ἐξέρχομαι[vdaa2s] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] ἀκάθαρτος[annsn] ἐκ[p] ὁ[dgms] ἄνθρωπος[ngms]. **v.9** καί[c] ἐπερωτάω[viia3s] αὐτός[rpams] τίς[rqnns] σύ[rpd-s] ὄνομα[nnns] καί[c] ἀποκρίνομαι[viad3s] λέγω[vppanms] λεγιών[nnms] ὄνομα[nnns] ἐγώ[rpd-s] ὅτι[c] πολύς[anmpn] εἰμί[vipx1p]. **v.10** καί[c] παρακαλέω[viia3s] αὐτός[rpams] πολύς[aanpn] ἵνα[c] μή[xo] αὐτός[rpamp] ἀποστέλλω[vsaa3s] ἔξω[bo] ὁ[dgfs] χώρα[ngfs]. **v.11** εἰμί[viix3s] δέ[c] ἐκεῖ[bo] πρός[p] ὁ[danp] ὄρος[nanp] ἀγέλη[nnfs] χοῖρος[ngmp] μέγας[anfsn] βόσκω[vpppnfs]. **v.12** καί[c] παρακαλέω[viaa3p] αὐτός[rpams] πᾶς[anmpn] ὁ[dnmp] δαίμων[nnmp] λέγω[vppanmp] πέμπω[vdaa2s] ἐγώ[rpa-p] εἰς[p] ὁ[damp] χοῖρος[namp] ἵνα[c] εἰς[p] αὐτός[rpamp] εἰσέρχομαι[vsaa1p]. **v.13** καί[c] ἐπιτρέπω[viaa3s] αὐτός[rpdmp] εὐθέως[bo] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ἐξέρχομαι[vpaannp] ὁ[dnnp] πνεῦμα[nnnp] ὁ[dnnp] ἀκάθαρτος[annpn] εἰσέρχομαι[viaa3p] εἰς[p] ὁ[damp] χοῖρος[namp] καί[c] ὁρμάω[viaa3s] ὁ[dnfs] ἀγέλη[nnfs] κατά[p] ὁ[dgms] κρημνός[ngms] εἰς[p] ὁ[dafs] θάλασσα[nafs] εἰμί[viix3p] δέ[c] ὡς[bo] δισχίλιοι[nnmp] καί[c] πνίγω[viip3p] ἐν[p] ὁ[ddfs] θάλασσα[ndfs].

τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς, καὶ ἐξῆλθον ἰδεῖν τί ἐστιν τὸ
γεγονός. καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν καὶ θεωροῦσιν τὸν 15
δαιμονιζόμενον καθήμενον καὶ ἱματισμένον καὶ σωφρονοῦντα
τὸν ἐσχηκότα τὸν λεγεῶνα, καὶ ἐφοβήθησαν. καὶ διηγήσαντο 16
αὐτοῖς οἱ ἰδόντες πῶς ἐγένετο τῷ δαιμονιζομένῳ καὶ περὶ τῶν
χοίρων. καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν 17
ὁρίων αὐτῶν. καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον παρεκάλει 18
αὐτὸν ὁ δαιμονισθεὶς ἵνα ᾖ μετ αὐτοῦ. ὁ δὲ Ἰησοῦς οὐκ ἀ- 19
φῆκεν αὐτόν ἀλλὰ λέγει αὐτῷ Ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς
τοὺς σοὺς καὶ ἀνάγγειλον αὐτοῖς ὅσα σοι ὁ κύριός ἐποίησεν
καὶ ἠλέησέν σε. καὶ ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δε- 20
καπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς καὶ πάντες ἐθαύμαζον.
Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν 21
συνήχθη ὄχλος πολὺς ἐπ αὐτόν καὶ ἦν παρὰ τὴν θάλασσαν.
καὶ ἰδού, ἔρχεται εἷς τῶν ἀρχισυναγώγων ὀνόματι Ἰάειρος καὶ 22
ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ. καὶ παρεκάλει αὐ- 23
τὸν πολλὰ λέγων ὅτι Τὸ θυγάτριόν μου ἐσχάτως ἔχει ἵνα ἐλθὼν
ἐπιθῇς αὐτῇ τὰς χεῖρας ὅπως σωθῇ καὶ ζήσεται. καὶ ἀπῆλθεν 24
μετ αὐτοῦ Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς καὶ συνέθλιβον
αὐτόν. καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα. καὶ 25, 26
πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ

---

v.14 ὁ[dnmp] δέ[c] βόσκω[vppanmp] ὁ[damp] χοῖρος[namp] φεύγω[viaa3p] καί[c] ἀναγγέλλω[viaa3p] εἰς[p] ὁ[dafs] πόλις[nafs] καί[c] εἰς[p] ὁ[damp] ἀγρός[namp] καί[c] ἐξέρχομαι[viaa3p] ὁράω[vnaa] τίς[rqnns] εἰμί[vipx3s] ὁ[dnns] γίνομαι[vpxanns]. **v.15** καί[c] ἔρχομαι[vipn3p] πρός[p] ὁ[dams] Ἰησοῦς[nams] καί[c] θεωρέω[vipa3p] ὁ[dams] δαιμονίζομαι[vppnams] κάθημαι[vppnams] καί[c] ἱματίζω[vpxpams] καί[c] σωφρονέω[vppaams] ὁ[dams] ἔχω[vpxaams] ὁ[dams] λεγιών[nams] καί[c] φοβέομαι[viao3p]. **v.16** καί[c] διηγέομαι[viad3p] αὐτός[rpdmp] ὁ[dnmp] ὁράω[vpaanmp] πῶς[bo] γίνομαι[viad3s] ὁ[ddms] δαιμονίζομαι[vppndms] καί[c] περί[p] ὁ[dgmp] χοῖρος[ngmp]. **v.17** καί[c] ἄρχω[viad3p] παρακαλέω[vnpa] αὐτός[rpams] ἀπέρχομαι[vnaa] ἀπό[p] ὁ[dgnp] ὅριον[ngnp] αὐτός[rpgmp]. **v.18** καί[c] ἐμβαίνω[vpaagms] αὐτός[rpgms] εἰς[p] ὁ[dans] πλοῖον[nans] παρακαλέω[viia3s] αὐτός[rpams] ὁ[dnms] δαιμονίζομαι[vpaonms] ἵνα[c] εἰμί[vspx3s] μετά[p] αὐτός[rpgms]. **v.19** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] οὐ[xo] ἀφίημι[viaa3s] αὐτός[rpams] ἀλλά[c] λέγω[vipa3s] αὐτός[rpdms] ὑπάγω[vdpa2s] εἰς[p] ὁ[dams] οἶκος[nams] σύ[rpg-s] πρός[p] ὁ[damp] σός[rsamp] καί[c] ἀναγγέλλω[vdaa2s] αὐτός[rpdmp] ὅσος[rcanp] σύ[rpd-s] ὁ[dnms] κύριος[nnms] ποιέω[viaa3s] καί[c] ἐλεέω[viaa3s] σύ[rpa-s]. **v.20** καί[c] ἀπέρχομαι[viaa3s] καί[c] ἄρχω[viad3s] κηρύσσω[vnpa] ἐν[p] ὁ[ddfs] Δεκάπολις[ndfs] ὅσος[rcanp] ποιέω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] πᾶς[anmpn] θαυμάζω[viia3p]. **v.21** καί[c] διαπεράω[vpaagms] ὁ[dgms] Ἰησοῦς[ngms] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] πάλιν[bo] εἰς[p] ὁ[dans] πέραν[bo] συνάγω[viap3s] ὄχλος[nnms] πολύς[anmsn] ἐπί[p] αὐτός[rpams] καί[c] εἰμί[viix3s] παρά[p] ὁ[dafs] θάλασσα[nafs]. **v.22** καί[c] ἰδού[vdaa2s] ἔρχομαι[vipn3s] εἷς[nnms] ὁ[dgmp] ἀρχισυνάγωγος[ngmp] ὄνομα[ndns] Ἰάϊρος[nnms] καί[c] ὁράω[vpaanms] αὐτός[rpams] πίπτω[vipa3s] πρός[p] ὁ[damp] πούς[namp] αὐτός[rpgms]. **v.23** καί[c] παρακαλέω[viia3s] αὐτός[rpams] πολύς[aanpn] λέγω[vppanms] ὅτι[c] ὁ[dnns] θυγάτριον[nnns] ἐγώ[rpg-s] ἐσχάτως[bo] ἔχω[vipa3s] ἵνα[c] ἔρχομαι[vpaanms] ἐπιτίθημι[vsaa2s] αὐτός[rpdfs] ὁ[dafp] χείρ[nafp] ὅπως[bo] σῴζω[vsap3s] καί[c] ζάω[vifd3s]. **v.24** καί[c] ἀπέρχομαι[viaa3s] μετά[p] αὐτός[rpgms] καί[c] ἀκολουθέω[viia3s] αὐτός[rpdms] ὄχλος[nnms] πολύς[anmsn] καί[c] συνθλίβω[viia3p] αὐτός[rpams]. **v.25** καί[c] γυνή[nnfs] τίς[rinfs] εἰμί[vppxnfs] ἐν[p] ῥύσις[ndfs] αἷμα[ngns] ἔτος[nnnp] δώδεκα[tn].

ἑαυτῆς πάντα καὶ μηδὲν ὠφεληθεῖσα ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον
27 ἐλθοῦσα. ἀκούσασα περὶ τοῦ Ἰησοῦ ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπι-
28 σθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ, ἔλεγεν γὰρ ὅτι κἂν τῶν ἱματίων
29 αὐτοῦ ἅψωμαι σωθήσομαι. καὶ εὐθὲως ἐξηράνθη ἡ πηγὴ τοῦ
αἵματος αὐτῆς καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος.
30 καὶ εὐθὲως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν
ἐξελθοῦσαν ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγεν Τίς μου ἥψατο τῶν
31 ἱματίων. καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ Βλέπεις τὸν ὄχλον
33 Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ, καὶ τὸ ἀγαπᾶν αὐτὸν
ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς συνέσεως καὶ ἐξ ὅλης τῆς
ψυχῆς, καὶ ἐξ ὅλης τῆς ἰσχύος καὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς
ἑαυτὸν πλεῖόν ἐστιν πάντων τῶν ὁλοκαυτωμάτων καὶ τῶν θυ-
34 σιῶν. καὶ ὁ Ἰησοῦς ἰδὼν αὐτὸν ὅτι νουνεχῶς ἀπεκρίθη εἶπεν
αὐτῷ Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ καὶ οὐδεὶς
35 οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς
ἔλεγεν διδάσκων ἐν τῷ ἱερῷ Πῶς λέγουσιν οἱ γραμματεῖς ὅτι ὁ

---

v.26 περί[p] δέ[c] ὁ[dgmp] νεκρός[agmpn] ὅτι[c] ἐγείρω[vipp3p] οὐ[xo] ἀναγινώσκω[viaa2p] ἐν[p] ὁ[ddfs] βίβλος[ndfs] Μωϋσῆς[ngms] ἐπί[p] ὁ[dgfs] βάτος[ngms] ὡς[bo] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] θεός[nnms] λέγω[vppanms] ἐγώ[rpn-s] ὁ[dnms] θεός[nnms] Ἀβραάμ[tp] καί[c] ὁ[dnms] θεός[nnms] Ἰσαάκ[tp] καί[c] ὁ[dnms] θεός[nnms] Ἰακώβ[tp]. **v.27** οὐ[xo] εἰμί[vipx3s] ὁ[dnms] θεός[nnms] νεκρός[agmpn] ἀλλά[c] θεός[nnms] ζάω[vppagmp] σύ[rpn-p] οὖν[c] πολύς[aansn] πλανάω[vipp2p]. **v.28** καί[c] προσέρχομαι[vpaanms] εἷς[nnms] ὁ[dgmp] γραμματεύς[ngmp] ἀκούω[vpaanms] αὐτός[rpgmp] συζητέω[vppagmp] οἶδα[vpxanms] ὅτι[c] καλῶς[bo] αὐτός[rpdmp] ἀποκρίνομαι[viad3s] ἐπερωτάω[viaa3s] αὐτός[rpams] ποῖος[rqnfs] εἰμί[vipx3s] πρῶτος[anfsn] πᾶς[agfpn] ἐντολή[nnfs]. **v.29** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] ὅτι[c] πρῶτος[anfsn] πᾶς[agfpn] ὁ[dgfp] ἐντολή[ngfp] ἀκούω[vdpa2s] Ἰσραήλ[tp] κύριος[nnms] ὁ[dnms] θεός[nnms] ἐγώ[rpg-p] κύριος[nnms] εἷς[nnms] εἰμί[vipx3s]. **v.30** καί[c] ἀγαπάω[vifa2s] κύριος[nams] ὁ[dams] θεός[nams] σύ[rpg-s] ἐκ[p] ὅλος[agfsn] ὁ[dgfs] καρδία[ngfs] σύ[rpg-s] καί[c] ἐκ[p] ὅλος[agfsn] ὁ[dgfs] ψυχή[ngfs] σύ[rpg-s] καί[c] ἐκ[p] ὅλος[agfsn] ὁ[dgfs] διάνοια[ngfs] σύ[rpg-s] καί[c] ἐκ[p] ὅλος[agfsn] ὁ[dgfs] ἰσχύς[ngfs] σύ[rpg-s] οὗτος[rdnfs] πρῶτος[anfsn] ἐντολή[nnfs]. **v.31** καί[c] δεύτερος[anfsn] ὅμοιος[anfsn] οὗτος[rpdfs] ἀγαπάω[vifa2s] ὁ[dams] πλησίον[bo] σύ[rpg-s] ὡς[bo] σεαυτοῦ[rxams] μέγας[anfsc] οὗτος[rdgfp] ἄλλος[anfsn] ἐντολή[nnfs] οὐ[xo] εἰμί[vipx3s]. **v.32** καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] γραμματεύς[nnms] καλῶς[bo] διδάσκαλος[nvms] ἐπί[p] ἀλήθεια[ngfs] λέγω[viaa2s] ὅτι[c] εἷς[nnms] εἰμί[vipx3s] θεός[nnms] καί[c] οὐ[xo] εἰμί[vipx3s] ἄλλος[anmsn] πλήν[bo] αὐτός[rpgms]. **v.33** καί[c] ὁ[dnns] ἀγαπάω[vnpa] αὐτός[rpams] ἐκ[p] ὅλος[agfsn] ὁ[dgfs] καρδία[ngfs] καί[c] ἐκ[p] ὅλος[agfsn] ὁ[dgfs] σύνεσις[ngfs] καί[c] ἐκ[p] ὅλος[agfsn] ὁ[dgfs] ψυχή[ngfs] καί[c] ἐκ[p] ὅλος[agfsn] ὁ[dgfs] ἰσχύς[ngfs] καί[c] ὁ[dnns] ἀγαπάω[vnpa] ὁ[dams] πλησίον[bo] ὡς[bo] ἑαυτοῦ[rxams] πολύς[annsc] εἰμί[vipx3s] πᾶς[agnpn] ὁ[dgnp] ὁλοκαύτωμα[ngnp] καί[c] ὁ[dgfp] θυσία[ngfp]. **v.34** καί[c] ὁ[dnms] Ἰησοῦς[nnms] ὁράω[vpaanms] αὐτός[rpams] ὅτι[c] νουνεχῶς[bo] ἀποκρίνομαι[viad3s] λέγω[viaa3s] αὐτός[rpdms] οὐ[xo] μακράν[bo] εἰμί[vipx2s] ἀπό[p] ὁ[dgfs] βασιλεία[ngfs] ὁ[dgms] θεός[ngms] καί[c] οὐδείς[anfsn] οὐκέτι[bo] τολμάω[viia3s] αὐτός[rpams] ἐπερωτάω[vnaa].

Χριστὸς υἱός ἐστιν Δαβίδ· αὐτὸς γὰρ Δαβὶδ εἶπεν ἐν τῷ πνεύ- 36
ματι τῷ ἁγίῳ Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, Κάθου ἐκ δεξιῶν
μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
αὐτὸς οὖν Δαβὶδ λέγει αὐτὸν κύριον καὶ πόθεν υἱός αὐτοῦ ἐστιν 37
καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως. Καὶ ἔλεγεν αὐτοῖς ἐν 38
τῇ διδαχῇ αὐτοῦ Βλέπετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων
ἐν στολαῖς περιπατεῖν καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς. καὶ 39
πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς
δείπνοις. οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει 40
μακρὰ προσευχόμενοι, οὗτοι λήψονται περισσότερον κρίμα.
Καὶ καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου ἐθεώρει 41
πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον καὶ πολλοὶ
πλούσιοι ἔβαλλον πολλά, καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβα- 42
λεν λεπτὰ δύο ὅ ἐστιν κοδράντης. καὶ προσκαλεσάμενος τοὺς 43
μαθητὰς αὐτοῦ λέγει αὐτοῖς Ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα αὕτη
ἡ πτωχὴ πλεῖον πάντων βέβληκεν τῶν βαλόντων εἰς τὸ γαζοφυ-
λάκιον, πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον αὕτη 44
δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα εἶχεν ἔβαλεν ὅλον τὸν
βίον αὐτῆς.

Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ λέγει αὐτῷ εἷς τῶν **13**
μαθητῶν αὐτοῦ Διδάσκαλε ἴδε ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκο-

---

v.35 καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viia3s] διδάσκω[vppanms] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] πῶς[bo] λέγω[vipa3p] ὁ[dnmp] γραμματεύς[nnmp] ὅτι[c] ὁ[dnms] Χριστός[nnms] υἱός[nnms] εἰμί[vipx3s] Δαυίδ[tp]. **v.36** αὐτός[rpnms] γάρ[c] Δαυίδ[tp] λέγω[viaa3s] ἐν[p] ὁ[ddns] πνεῦμα[ndns] ὁ[ddns] ἅγιος[adnsn] λέγω[viaa3s] ὁ[dnms] κύριος[nnms] ὁ[ddms] κύριος[ndms] ἐγώ[rpg-s] κάθημαι[vdpn2s] ἐκ[p] δεξιός[agmpn] ἐγώ[rpg-s] ἕως[c] ἄν[xo] τίθημι[vsaa1s] ὁ[damp] ἐχθρός[aampn] σύ[rpg-s] ὑποπόδιον[nans] ὁ[dgmp] πούς[ngmp] σύ[rpg-s]. **v.37** αὐτός[rpnms] οὖν[c] Δαυίδ[tp] λέγω[vipa3s] αὐτός[rpams] κύριος[nams] καί[c] πόθεν[bo] υἱός[nnms] αὐτός[rpgms] εἰμί[vipx3s] καί[c] ὁ[dnms] πολύς[anmsn] ὄχλος[nnms] ἀκούω[viia3s] αὐτός[rpgms] ἡδέως[bo]. **v.38** καί[c] λέγω[viia3s] αὐτός[rpdmp] ἐν[p] ὁ[ddfs] διδαχή[ndfs] αὐτός[rpgms] βλέπω[vdpa2p] ἀπό[p] ὁ[dgmp] γραμματεύς[ngmp] ὁ[dgmp] θέλω[vppagmp] ἐν[p] στολή[ndfp] περιπατέω[vnpa] καί[c] ἀσπασμός[namp] ἐν[p] ὁ[ddfp] ἀγορά[ndfp]. **v.39** καί[c] πρωτοκαθεδρία[nafp] ἐν[p] ὁ[ddfp] συναγωγή[ndfp] καί[c] πρωτοκλισία[nafp] ἐν[p] ὁ[ddnp] δεῖπνον[ndnp]. **v.40** ὁ[dnmp] κατεσθίω[vppanmp] ὁ[dafp] οἰκία[nafp] ὁ[dgfp] χήρα[ngfp] καί[c] πρόφασις[ndfs] μακρός[aanpn] προσεύχομαι[vppnnmp] οὗτος[rdnmp] λαμβάνω[vifd3p] περισσός[aansc] κρίμα[nans]. **v.41** καί[c] καθίζω[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] κατέναντι[bo] ὁ[dgns] γαζοφυλάκιον[ngns] θεωρέω[viia3s] πῶς[bo] ὁ[dnms] ὄχλος[nnms] βάλλω[vipa3s] χαλκός[nams] εἰς[p] ὁ[dans] γαζοφυλάκιον[nans] καί[c] πολύς[anmpn] πλούσιος[anmpn] βάλλω[viia3p] πολύς[aanpn]. **v.42** καί[c] ἔρχομαι[vpaanfs] εἷς[nnfs] χήρα[nnfs] πτωχός[anfsn] βάλλω[viaa3s] λεπτός[nanp] δύο[tn] ὅς[rrnns] εἰμί[vipx3s] κοδράντης[nnms]. **v.43** καί[c] προσκαλέομαι[vpadnms] ὁ[damp] μαθητής[namp] αὐτός[rpgms] λέγω[vipa3s] αὐτός[rpdmp] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ὁ[dnfs] χήρα[nnfs] οὗτος[rdnfs] ὁ[dnfs] πτωχός[anfsn] πολύς[aansc] πᾶς[agmpn] βάλλω[vixa3s] ὁ[dgmp] βάλλω[vpaagmp] εἰς[p] ὁ[dans] γαζοφυλάκιον[nans]. **v.44** πᾶς[anmpn] γάρ[c] ἐκ[p] ὁ[dgns] περισσεύω[vppagns] αὐτός[rpdmp] βάλλω[viaa3p] οὗτος[rpnfs] δέ[c] ἐκ[p] ὁ[dgfs] ὑστέρησις[ngfs] αὐτός[rpgfs] πᾶς[aanpn] ὅσος[rcanp] ἔχω[viia3s] βάλλω[viaa3s] ὅλος[aamsn] ὁ[dams] βίος[nams] αὐτός[rpgfs].

2 δομαί. καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτῷ Βλέπεις ταύτας
τὰς μεγάλας οἰκοδομάς οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λίθῳ, ὃς οὐ μὴ
3 καταλυθῇ. Καὶ καθημένου αὐτοῦ εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν
κατέναντι τοῦ ἱεροῦ ἐπηρώτων αὐτὸν κατ ἰδίαν Πέτρος καὶ Ἰά-
4 κωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας. Εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται
5 καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ πάντα ταῦτα συντελεῖσθαι. ὁ δὲ
Ἰησοῦς ἀποκριθεὶς αὐτοῖς ἤρξατο λέγειν Βλέπετε μή τις ὑμᾶς
6 πλανήσῃ, πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες
7 ὅτι Ἐγώ εἰμι καὶ πολλοὺς πλανήσουσιν. ὅταν δὲ ἀκούσητε
πολέμους καὶ ἀκοὰς πολέμων μὴ θροεῖσθε, δεῖ γὰρ γενέσθαι
8 ἀλλ οὔπω τὸ τέλος. ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασι-
λεία ἐπὶ βασιλείαν καὶ ἔσονται σεισμοὶ κατὰ τόπους καὶ ἔσονται
9 λιμοί, καὶ ταραχαί, ἀρχαὶ ὠδίνων ταῦτα. βλέπετε δὲ ὑμεῖς ἑαυ-
τούς, παραδώσουσιν γὰρ ὑμᾶς εἰς συνέδρια καὶ εἰς συναγωγὰς
δαρήσεσθε καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων σταθήσεσθε ἕνεκεν
10 ἐμοῦ εἰς μαρτύριον αὐτοῖς. καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον
11 κηρυχθῆναι τὸ εὐαγγέλιον. ὅταν δὲ ἄγαγωσιν ὑμᾶς παραδι-
δόντες μὴ προμεριμνᾶτε τί λαλήσητε μηδὲ μελετᾶτε, ἀλλ ὃ ἐὰν
δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τοῦτο λαλεῖτε, οὐ γάρ ἐστε ὑμεῖς
12 οἱ λαλοῦντες ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. παραδώσει δὲ ἀδελ-
φὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον καὶ ἐπαναστήσονται

13. **v.1** καί[c] ἐκπορεύομαι[vppngms] αὐτός[rpgms] ἐκ[p] ὁ[dgns] ἱερόν[ngns] λέγω[vipa3s] αὐτός[rpdms] εἷς[nnms] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] διδάσκαλος[nvms] ἴδε[i] ποταπός[anmpn] λίθος[nnmp] καί[c] ποταπός[anfpn] οἰκοδομή[nnfp]. **v.2** καί[c] ὁ[dnms] Ἰησοῦς[nnms] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] αὐτός[rpdms] βλέπω[vipa2s] οὗτος[rdafp] ὁ[dafp] μέγας[aafpn] οἰκοδομή[nafp] οὐ[xo] μή[xo] ἀφίημι[vsap3s] λίθος[nnms] ἐπί[p] λίθος[ndms] ὅς[rrnms] οὐ[xo] μή[xo] καταλύω[vsap3s]. **v.3** καί[c] κάθημαι[vppngms] αὐτός[rpgms] εἰς[p] ὁ[dans] ὄρος[nans] ὁ[dgfp] ἐλαία[ngfp] κατέναντι[bo] ὁ[dgns] ἱερόν[ngns] ἐπερωτάω[viia3p] αὐτός[rpams] κατά[p] ἴδιος[aafsn] Πέτρος[nnms] καί[c] Ἰάκωβος[nnms] καί[c] Ἰωάννης[nnms] καί[c] Ἀνδρέας[nnms]. **v.4** λέγω[vdaa2s] ἐγώ[rpd-p] πότε[xo] οὗτος[rdnnp] εἰμί[vifx3s] καί[c] τίς[rqnns] ὁ[dnns] σημεῖον[nnns] ὅταν[c] μέλλω[vspa3s] πᾶς[aanpn] οὗτος[rdanp] συντελέω[vnpp]. **v.5** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] ἀποκρίνομαι[vpaonms] αὐτός[rpdmp] ἄρχω[viad3s] λέγω[vnpa] βλέπω[vdpa2p] μή[xo] τι-σρινμσ σύ[rpa-p] πλανάω[vsaa3s]. **v.6** πολύς[anmpn] γάρ[c] ἔρχομαι[vifd3p] ἐπί[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] λέγω[vppanmp] ὅτι[c] ἐγώ[rpn-s] εἰμί[vipx1s] καί[c] πολύς[aampn] πλανάω[vifa3p]. **v.7** ὅταν[c] δέ[c] ἀκούω[vsaa2p] πόλεμος[namp] καί[c] ἀκοή[nafp] πόλεμος[ngmp] μή[xo] θροέω[vdpp2p] δεῖ[vipq3s] γάρ[c] γίνομαι[vnad] ἀλλά[c] οὔπω[bo] ὁ[dnns] τέλος[nnns]. **v.8** ἐγείρω[vifp3s] γάρ[c] ἔθνος[nnns] ἐπί[p] ἔθνος[nans] καί[c] βασιλεία[nnfs] ἐπί[p] βασιλεία[nafs] καί[c] εἰμί[vifx3p] σεισμός[nnmp] κατά[p] τόπος[namp] καί[c] εἰμί[vifx3p] λιμός[nnmp] καί[c] ταραχή[nnfp] ἀρχή[nnfp] ὠδίν[ngfp] οὗτος[rdnnp]. **v.9** βλέπω[vdpa2p] δέ[c] σύ[rpn-p] ἑαυτοῦ[rxamp] παραδίδωμι[vifa3p] γάρ[c] σύ[rpa-p] εἰς[p] συνέδριον[nanp] καί[c] εἰς[p] συναγωγή[nafp] δέρω[vifp2p] καί[c] ἐπί[p] ἡγεμών[ngmp] καί[c] βασιλεύς[ngmp] ἵστημι[vifp2p] ἕνεκα[bo] ἐγώ[rpg-s] εἰς[p] μαρτύριον[nans] αὐτός[rpdmp]. **v.10** καί[c] εἰς[p] πᾶς[aanpn] ὁ[danp] ἔθνος[nanp] δεῖ[vipq3s] πρῶτος[bo] κηρύσσω[vnap] ὁ[dnns] εὐαγγέλιον[nnns]. **v.11** ὅταν[c] δέ[c] ἄγω[vsaa3p] σύ[rpa-p] παραδίδωμι[vppanmp] μή[xo] προμεριμνάω[vdpa2p] τίς[rqans] λαλέω[vsaa2p] μηδέ[c] μελετάω[vdpa2p] ἀλλά[c] ὅς[rrans] ἐάν[qo] δίδωμι[vsap3s] σύ[rpd-p] ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] ὥρα[ndfs] οὗτος[rdans] λαλέω[vdpa2p] οὐ[xo] γάρ[c] εἰμί[vipx2p] σύ[rpn-p] ὁ[dnmp] λαλέω[vppanmp] ἀλλά[c] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] ἅγιος[annsn].

τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς, καὶ ἔσεσθε μισού- 13
μενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου ὁ δὲ ὑπομείνας εἰς τέλος
οὗτος σωθήσεται. Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως 14
τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου, ἑστός ὅπου οὐ δεῖ ὁ ἀνα-
γινώσκων νοείτω τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη.
ὁ δὲ ἐπὶ τοῦ δώματος μὴ καταβάτω εἰς τὴν οἰκίαν, μηδὲ εἰσελ- 15
θέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ. καὶ ὁ εἰς τὸν ἀγρὸν ὢν μὴ 16
ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. οὐαὶ δὲ ταῖς 17
ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέ-
ραις. προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, 18
ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις οἵα οὐ γέγονεν τοιαύτη 19
ἀπ ἀρχῆς κτίσεως ἧς ἔκτισεν ὁ θεὸς ἕως τοῦ νῦν καὶ οὐ μὴ γέ-
νηται. καὶ εἰ μὴ κύριος ἐκολόβωσεν τὰς ἡμέρας οὐκ ἂν ἐσώθη 20
πᾶσα σάρξ, ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο ἐκολόβωσεν
τὰς ἡμέρας. καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ Ἴδοὺ ὧδε ὁ Χριστός 21
ἤ Ἰδού, ἐκεῖ μὴ πιστεύσητε. ἐγερθήσονται γὰρ ψευδόχριστοι 22
καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα καὶ τέρατα πρὸς τὸ
ἀποπλανᾶν εἰ δυνατόν καὶ τοὺς ἐκλεκτούς. ὑμεῖς δὲ βλέπετε, 23
ἰδοῦ προείρηκα ὑμῖν πάντα. ἀλλ᾽ ἐν ἐκείναις ταῖς ἡμέραις με- 24
τὰ τὴν θλῖψιν ἐκείνην ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη οὐ

---

v.12 παραδίδωμι[vifa3s] δέ[c] ἀδελφός[nnms] ἀδελφός[nams] εἰς[p] θάνατος[nams] καί[c] πατήρ[nnms] τέκνον[nans] καί[c] ἐπανίστημι[vifd3p] τέκνον[nnnp] ἐπί[p] γονεύς[namp] καί[c] θανατόω[vifa3p] αὐτός[rpamp]. **v.13** καί[c] εἰμί[vifx2p] μισέω[vpppnmp] ὑπό[p] πᾶς[agmpn] διά[p] ὁ[dans] ὄνομα[nans] ἐγώ[rpg-s] ὁ[dnms] δέ[c] ὑπομένω[vpaanms] εἰς[p] τέλος[nans] οὗτος[rdnms] σῴζω[vifp3s]. **v.14** ὅταν[c] δέ[c] ὁράω[vsaa2p] ὁ[dans] βδέλυγμα[nans] ὁ[dgfs] ἐρήμωσις[ngfs] ὁ[dans] λέγω[vpapans] ὑπό[p] Δανιήλ[tp] ὁ[dgms] προφήτης[ngms] ἵστημι[vpxaans] ὅπου[bo] οὐ[xo] δεῖ[vipq3s] ὁ[dnms] ἀναγινώσκω[vppanms] νοέω[vdpa3s] τότε[bo] ὁ[dnmp] ἐν[p] ὁ[ddfs] Ἰουδαία[ndfs] φεύγω[vdpa3p] εἰς[p] ὁ[danp] ὄρος[nanp]. **v.15** ὁ[dnms] δέ[c] ἐπί[p] ὁ[dgns] δῶμα[ngns] μή[xo] καταβαίνω[vdaa3s] εἰς[p] ὁ[dafs] οἰκία[nafs] μηδέ[c] εἰσέρχομαι[vdaa3s] αἴρω[vnaa] τι-σριανσ ἐκ[p] ὁ[dgfs] οἰκία[ngfs] αὐτός[rpgms]. **v.16** καί[c] ὁ[dnms] εἰς[p] ὁ[dams] ἀγρός[nams] εἰμί[vppxnms] μή[xo] ἐπιστρέφω[vdaa3s] εἰς[p] ὁ[danp] ὀπίσω[bo] αἴρω[vnaa] ὁ[dans] ἱμάτιον[nans] αὐτός[rpgms]. **v.17** οὐαί[i] δέ[c] ὁ[ddfp] ἐν[p] γαστήρ[ndfs] ἔχω[vppadfp] καί[c] ὁ[ddfp] θηλάζω[vppadfp] ἐν[p] ἐκεῖνος[rddfp] ὁ[ddfp] ἡμέρα[ndfp]. **v.18** προσεύχομαι[vdpn2p] δέ[c] ἵνα[c] μή[xo] γίνομαι[vsad3s] ὁ[dnfs] φυγή[nnfs] σύ[rpg-p] χειμών[ngms]. **v.19** εἰμί[vifx3p] γάρ[c] ὁ[dnfp] ἡμέρα[nnfp] ἐκεῖνος[rdnfp] θλῖψις[nnfs] οἷος[rrnfs] οὐ[xo] γίνομαι[vixa3s] τοιοῦτος[rdnfs] ἀπό[p] ἀρχή[ngfs] κτίσις[ngfs] ὅς[rrgfs] κτίζω[viaa3s] ὁ[dnms] θεός[nnms] ἕως[c] ὁ[dgms] νῦν[bo] καί[c] οὐ[xo] μή[xo] γίνομαι[vsad3s]. **v.20** καί[c] εἰ[qo] μή[xo] κύριος[nnms] κολοβόω[viaa3s] ὁ[dafp] ἡμέρα[nafp] οὐ[xo] ἄν[xo] σῴζω[viap3s] πᾶς[anfsn] σάρξ[nnfs] ἀλλά[c] διά[p] ὁ[damp] ἐκλεκτός[aampn] ὅς[rramp] ἐκλέγω[viam3s] κολοβόω[viaa3s] ὁ[dafp] ἡμέρα[nafp]. **v.21** καί[c] τότε[bo] ἐάν[qo] τι-σρινμσ σύ[rpd-p] λέγω[vsaa3s] ἰδού[vdaa2s] ὧδε[bo] ὁ[dnms] Χριστός[nnms] ἤ[xo] ἰδού[vdaa2s] ἐκεῖ[bo] μή[xo] πιστεύω[vsaa2p]. **v.22** ἐγείρω[vifp3p] γάρ[c] ψευδόχριστος[nnmp] καί[c] ψευδοπροφήτης[nnmp] καί[c] δίδωμι[vifa3p] σημεῖον[nanp] καί[c] τέρας[nanp] πρός[p] ὁ[dans] ἀποπλανάω[vnpa] εἰ[qo] δυνατός[annsn] καί[c] ὁ[damp] ἐκλεκτός[aampn]. **v.23** σύ[rpn-p] δέ[c] βλέπω[vdpa2p] ἰδού[vdaa2s] προεῖπον[vixa1s] σύ[rpd-p] πᾶς[aanpn].

25 δώσει τὸ φέγγος αὐτῆς. καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔσονται
ἐκπίπτοντες, καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσον-
26 ται. καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν
27 νεφέλαις μετὰ δυνάμεως πολλῆς καὶ δόξης. καὶ τότε ἀποστε-
λεῖ τοὺς ἀγγέλους αὐτοῦ καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ,
ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ.
28 Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν, ὅταν αὐτῆς ἤδη ὁ
κλάδος ἁπαλὸς γένηται καὶ ἐκφύῃ τὰ φύλλα γινώσκετε ὅτι ἐγ-
29 γὺς τὸ θέρος ἐστίν, οὕτως καὶ ὑμεῖς ὅταν ταῦτα ἴδητε γινόμενα
30 γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. ἀμὴν λέγω ὑμῖν ὅτι οὐ
31 μὴ παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις οὗ πάντα ταῦτα γένηται. ὁ
οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται οἱ δὲ λόγοι μου οὐ μὴ πα-
32 ρέλθωσιν. Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς
οἶδεν οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ οὐδὲ ὁ υἱός εἰ μὴ ὁ πα-
33 τήρ. βλέπετε ἀγρυπνεῖτε, καὶ προσεύχεσθε, οὐκ οἴδατε γὰρ
34 πότε ὁ καιρός ἐστιν. ὡς ἄνθρωπος ἀπόδημος ἀφεὶς τὴν οἰκίαν
αὐτοῦ καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν καὶ ἑκάστῳ
35 τὸ ἔργον αὐτοῦ καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ. γρη-
γορεῖτε οὖν, οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται
36 ὀψὲ ἢ μεσονυκτίου, ἢ ἀλεκτοροφωνίας ἢ πρωΐ. μὴ ἐλθὼν ἐξ-

---

v.24 ἀλλά[c] ἐν[p] ἐκεῖνος[rddfp] ὁ[ddfp] ἡμέρα[ndfp] μετά[p] ὁ[dafs] θλῖψις[nafs] ἐκεῖνος[rdafs] ὁ[dnms] ἥλιος[nnms] σκοτίζω[vifp3s] καί[c] ὁ[dnfs] σελήνη[nnfs] οὐ[xo] δίδωμι[vifa3s] ὁ[dans] φέγγος[nans] αὐτός[rpgfs]. **v.25** καί[c] ὁ[dnmp] ἀστήρ[nnmp] ὁ[dgms] οὐρανός[ngms] εἰμί[vifx3p] ἐκπίπτω[vppanmp] καί[c] ὁ[dnfp] δύναμις[nnfp] ὁ[dnfp] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] σαλεύω[vifp3p]. **v.26** καί[c] τότε[bo] ὁράω[vifd3p] ὁ[dams] υἱός[nams] ὁ[dgms] ἄνθρωπος[ngms] ἔρχομαι[vppnams] ἐν[p] νεφέλη[ndfp] μετά[p] δύναμις[ngfs] πολύς[agfsn] καί[c] δόξα[ngfs]. **v.27** καί[c] τότε[bo] ἀποστέλλω[vifa3s] ὁ[damp] ἄγγελος[namp] αὐτός[rpgms] καί[c] ἐπισυνάγω[vifa3s] ὁ[damp] ἐκλεκτός[aampn] αὐτός[rpgms] ἐκ[p] ὁ[dgmp] τέσσαρες[ngmp] ἄνεμος[ngmp] ἀπό[p] ἄκρον[ngns] γῆ[ngfs] ἕως[c] ἄκρον[ngns] οὐρανός[ngms]. **v.28** ἀπό[p] δέ[c] ὁ[dgfs] συκῆ[ngfs] μανθάνω[vdaa2p] ὁ[dafs] παραβολή[nafs] ὅταν[c] αὐτός[rpgfs] ἤδη[bo] ὁ[dnms] κλάδος[nnms] ἁπαλός[anmsn] γίνομαι[vsad3s] καί[c] ἐκφύω[vspa3s] ὁ[danp] φύλλον[nanp] γινώσκω[vipa2p] ὅτι[c] ἐγγύς[bo] ὁ[dnns] θέρος[nnns] εἰμί[vipx3s]. **v.29** οὕτω[bo] καί[c] σύ[rpn-p] ὅταν[c] οὗτος[rdanp] ὁράω[vsaa2p] γίνομαι[vppnanp] γινώσκω[vdpa2p] ὅτι[c] ἐγγύς[bo] εἰμί[vipx3s] ἐπί[p] θύρα[ndfp]. **v.30** ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] οὐ[xo] μή[xo] παρέρχομαι[vsaa3s] ὁ[dnfs] γενεά[nnfs] οὗτος[rdnfs] μέχρι[bo] ὅς[rrgms] πᾶς[annpn] οὗτος[rdnnp] γίνομαι[vsad3s]. **v.31** ὁ[dnms] οὐρανός[nnms] καί[c] ὁ[dnfs] γῆ[nnfs] παρέρχομαι[vifd3p] ὁ[dnmp] δέ[c] λόγος[nnmp] ἐγώ[rpg-s] οὐ[xo] μή[xo] παρέρχομαι[vsaa3p]. **v.32** περί[p] δέ[c] ὁ[dgfs] ἡμέρα[ngfs] ἐκεῖνος[rdgfs] καί[c] ὁ[dgfs] ὥρα[ngfs] οὐδείς[anfsn] οἶδα[vixa3s] οὐδέ[bo] ὁ[dnmp] ἄγγελος[nnmp] ὁ[dnmp] ἐν[p] οὐρανός[ndms] οὐδέ[bo] ὁ[dnms] υἱός[nnms] εἰ[qo] μή[xo] ὁ[dnms] πατήρ[nnms]. **v.33** βλέπω[vdpa2p] ἀγρυπνέω[vdpa2p] καί[c] προσεύχομαι[vdpn2p] οὐ[xo] οἶδα[vixa2p] γάρ[c] πότε[xo] ὁ[dnms] καιρός[nnms] εἰμί[vipx3s]. **v.34** ὡς[bo] ἄνθρωπος[nnms] ἀπόδημος[anmsn] ἀφίημι[vpaanms] ὁ[dafs] οἰκία[nafs] αὐτός[rpgms] καί[c] δίδωμι[vpaanms] ὁ[ddmp] δοῦλος[ndmp] αὐτός[rpgms] ὁ[dafs] ἐξουσία[nafs] καί[c] ἕκαστος[admsn] ὁ[dans] ἔργον[nans] αὐτός[rpgms] καί[c] ὁ[ddms] θυρωρός[ndms] ἐντέλλομαι[viad3s] ἵνα[c] γρηγορέω[vspa3s]. **v.35** γρηγορέω[vdpa2p] οὖν[c] οὐ[xo] οἶδα[vixa2p] γάρ[c] πότε[xo] ὁ[dnms] κύριος[nnms] ὁ[dgfs] οἰκία[ngfs] ἔρχομαι[vipn3s] ὀψέ[bo] ἤ[xo] μεσονύκτιον[ngns] ἤ[xo] ἀλεκτοροφωνία[ngfs] ἤ[xo] πρωΐ[bo].

αίφνης εὕρῃ ὑμᾶς καθεύδοντας. ἃ δὲ ὑμῖν λέγω πᾶσιν λέγω 37
γρηγορεῖτε.
῏Ην δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας καὶ ἐζήτουν **14**
οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς πῶς αὐτὸν ἐν δόλῳ κρατήσαν-
τες ἀποκτείνωσιν, ἔλεγον δὲ, Μὴ ἐν τῇ ἑορτῇ μήποτε θόρυβος 2
ἔσται τοῦ λαοῦ. Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σί- 3
μωνος τοῦ λεπροῦ κατακειμένου αὐτοῦ ἦλθεν γυνὴ ἔχουσα
ἀλάβαστρον μύρου νάρδου πιστικῆς πολυτελοῦς Καὶ συντρί-
ψασα τό ἀλάβαστρον κατέχεεν αὐτοῦ κατὰ τῆς κεφαλῆς. ἦ- 4
σαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτούς καὶ λέγοντες, Εἰς τί
ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν. ἠδύνατο γὰρ τοῦτο πρα- 5
θῆναι ἐπάνω τριακοσίων δηναρίων καὶ δοθῆναι τοῖς πτωχοῖς,
καὶ ἐνεβριμῶντο αὐτῇ. ὁ δὲ Ἰησοῦς εἶπεν Ἄφετε αὐτήν, τί αὐ- 6
τῇ κόπους παρέχετε καλὸν ἔργον εἰργάσατο εἰς ἐμέ. πάντοτε 7
γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ ἑαυτῶν καὶ ὅταν θέλητε δύνασθε
αὐτούς εὖ ποιῆσαι ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. ὃ εἶχεν αὕτη ἐ- 8
ποίησεν, προέλαβεν μυρίσαι μου τὸ σῶμά εἰς τὸν ἐνταφιασμόν.
ἀμὴν λέγω ὑμῖν ὅπου ἂν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο εἰς ὅλον 9
τὸν κόσμον καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον
αὐτῆς. Καὶ ὁ Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα ἀπῆλθεν 10
πρὸς τοὺς ἀρχιερεῖς ἵνα παραδῷ αὐτὸν αὐτοῖς. οἱ δὲ ἀκού- 11

---

v.36 μή[xo] ἔρχομαι[vpaanms] ἐξαίφνης[bo] εὑρίσκω[vsaa3s] σύ[rpa-p] καθεύδω[vppaamp]. **v.37** ὅς[rranp] δέ[c] σύ[rpd-p] λέγω[vipa1s] πᾶς[admpn] λέγω[vipa1s] γρηγορέω[vdpa2p]. **14. v.1** εἰμί[viix3s] δέ[c] ὁ[dnns] πάσχα[ta] καί[c] ὁ[dnnp] ἄζυμος[annpn] μετά[p] δύο[tn] ἡμέρα[nafp] καί[c] ζητέω[viia3p] ὁ[dnmp] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] γραμματεύς[nnmp] πῶς[bo] αὐτός[rpams] ἐν[p] δόλος[ndms] κρατέω[vpaanmp] ἀποκτείνω[vspa3p]. **v.2** λέγω[viia3p] δέ[c] μή[xo] ἐν[p] ὁ[ddfs] ἑορτή[ndfs] μήποτε[bo] θόρυβος[nnms] εἰμί[vifx3s] ὁ[dgms] λαός[ngms]. **v.3** καί[c] εἰμί[vppxgms] αὐτός[rpgms] ἐν[p] Βηθανία[ndfs] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs] Σίμων[ngms] ὁ[dgms] λεπρός[agmsn] κατάκειμαι[vppngms] αὐτός[rpgms] ἔρχομαι[viaa3s] γυνή[nnfs] ἔχω[vppanfs] ἀλάβαστρος[nans] μύρον[ngns] νάρδος[ngfs] πιστικός[agfsn] πολυτελής[agfsn] καί[c] συντρίβω[vpaanfs] ὁ[dans] ἀλάβαστρος[nans] καταχέω[viaa3s] αὐτός[rpgms] κατά[p] ὁ[dgfs] κεφαλή[ngfs]. **v.4** εἰμί[viix3p] δέ[c] τι-σρινμπ ἀγανακτέω[vppanmp] πρός[p] ἑαυτοῦ[rxamp] καί[c] λέγω[vppanmp] εἰς[p] τίς[rqans] ὁ[dnfs] ἀπώλεια[nnfs] οὗτος[rdnfs] ὁ[dgns] μύρον[ngns] γίνομαι[vixa3s]. **v.5** δύναμαι[viin3s] γάρ[c] οὗτος[rdans] πιπράσκω[vnap] ἐπάνω[bo] τριακόσιοι[ngmp] δηνάριον[ngnp] καί[c] δίδωμι[vnap] ὁ[ddmp] πτωχός[admpn] καί[c] ἐμβριμάομαι[viin3p] αὐτός[rpdfs]. **v.6** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] ἀφίημι[vdaa2p] αὐτός[rpafs] τίς[rqans] αὐτός[rpdfs] κόπος[namp] παρέχω[vipa2p] καλός[aansn] ἔργον[nans] ἐργάζομαι[viad3s] εἰς[p] ἐγώ[rpa-s]. **v.7** πάντοτε[bo] γάρ[c] ὁ[damp] πτωχός[aampn] ἔχω[vipa2p] μετά[p] ἑαυτοῦ[rxgmp] καί[c] ὅταν[c] θέλω[vspa2p] δύναμαι[vipn2p] αὐτός[rpamp] εὖ[bo] ποιέω[vnaa] ἐγώ[rpa-s] δέ[c] οὐ[xo] πάντοτε[bo] ἔχω[vipa2p]. **v.8** ὅς[rrans] ἔχω[viia3s] αὐτός[rpnfs] ποιέω[viaa3s] προλαμβάνω[viaa3s] μυρίζω[vnaa] ἐγώ[rpg-s] ὁ[dans] σῶμα[nans] εἰς[p] ὁ[dams] ἐνταφιασμός[nams]. **v.9** ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅπου[bo] ἄν[xo] κηρύσσω[vsap3s] ὁ[dnns] εὐαγγέλιον[nnns] οὗτος[rdnns] εἰς[p] ὅλος[aamsn] ὁ[dams] κόσμος[nams] καί[c] ὅς[rrans] ποιέω[viaa3s] οὗτος[rpnfs] λαλέω[vifp3s] εἰς[p] μνημόσυνον[nans] αὐτός[rpgfs]. **v.10** καί[c] ὁ[dnms] Ἰούδας[nnms] ὁ[dnms] Ἰσκαριώθ[nnms] εἷς[nnms] ὁ[dgmp] δώδεκα[tn] ἀπέρχομαι[viaa3s] πρός[p] ὁ[damp] ἀρχιερεύς[namp] ἵνα[c] παραδίδωμι[vsaa3s] αὐτός[rpams] αὐτός[rpdmp].

σαντες ἐχάρησαν καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι καὶ
12 ἐζήτει πῶς εὐκαίρως αὐτὸν παραδῷ. Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν
ἀζύμων ὅτε τὸ πάσχα ἔθυον λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ
13 Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν ἵνα φάγῃς τὸ πάσχα. καὶ
ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς Ὑπάγετε
εἰς τὴν πόλιν καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος
14 βαστάζων, ἀκολουθήσατε αὐτῷ. καὶ ὅπου ἐὰν εἰσέλθῃ εἴπατε
τῷ οἰκοδεσπότῃ ὅτι Ὁ διδάσκαλος λέγει Ποῦ ἐστιν τὸ κατάλυ-
15 μά ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω. καὶ αὐτὸς
ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμένον ἕτοιμον, ἐκεῖ ἑτοιμάσατε
16 ἡμῖν. καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἦλθον εἰς τὴν πόλιν
17 καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς καὶ ἡτοίμασαν τὸ πάσχα. Καὶ
18 ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα. καὶ ἀνακειμένων
αὐτῶν καὶ ἐσθιόντων εἶπεν ὁ Ἰησοῦς Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς
19 ἐξ ὑμῶν παραδώσει με ὁ ἐσθίων μετ ἐμοῦ. οἵ δὲ ἤρξαντο λυ-
πεῖσθαι καὶ λέγειν αὐτῷ εἷς καθ' εἷς Μήτι ἐγώ καὶ ἄλλος, μήτι
20 ἐγώ· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς Εἷς ἐκ τῶν δώδεκα ὁ ἐμβα-
21 πτόμενος μετ ἐμοῦ εἰς τὸ τρύβλιον. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου
ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐ-
κείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται, καλὸν ἦν αὐτῷ

---

v.11 ὁ[dnmp] δέ[c] ἀκούω[vpaanmp] χαίρω[viao3p] καί[c] ἐπαγγέλλομαι[vian3p] αὐτός[rpdms] ἀργύριον[nans] δίδωμι[vnaa] καί[c] ζητέω[viia3s] πῶς[bo] εὐκαίρως[bo] αὐτός[rpams] παραδίδωμι[vsaa3s]. **v.12** καί[c] ὁ[ddfs] πρῶτος[adfsn] ἡμέρα[ndfs] ὁ[dgnp] ἄζυμος[agnpn] ὅτε[bo] ὁ[dans] πάσχα[ta] θύω[viia3p] λέγω[vipa3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ποῦ[xo] θέλω[vipa2s] ἀπέρχομαι[vpaanmp] ἑτοιμάζω[vsaa1p] ἵνα[c] ἐσθίω[vsaa2s] ὁ[dans] πάσχα[ta]. **v.13** καί[c] ἀποστέλλω[vipa3s] δύο[tn] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ὑπάγω[vdpa2p] εἰς[p] ὁ[dafs] πόλις[nafs] καί[c] ἀπαντάω[vifa3s] σύ[rpd-p] ἄνθρωπος[nnms] κεράμιον[nans] ὕδωρ[ngns] βαστάζω[vppanms] ἀκολουθέω[vdaa2p] αὐτός[rpdms]. **v.14** καί[c] ὅπου[bo] ἐάν[qo] εἰσέρχομαι[vsaa3s] λέγω[vdaa2p] ὁ[ddms] οἰκοδεσπότης[ndms] ὅτι[c] ὁ[dnms] διδάσκαλος[nnms] λέγω[vipa3s] ποῦ[xo] εἰμί[vipx3s] ὁ[dnns] κατάλυμα[nnns] ὅπου[bo] ὁ[dans] πάσχα[ta] μετά[p] ὁ[dgmp] μαθητής[ngmp] ἐγώ[rpg-s] ἐσθίω[vsaa1s]. **v.15** καί[c] αὐτός[rpnms] σύ[rpd-p] δείκνυμι[vifa3s] ἀνάγαιον[nans] μέγας[aansn] στρωννύω[vpxpans] ἕτοιμος[aansn] ἐκεῖ[bo] ἑτοιμάζω[vdaa2p] ἐγώ[rpd-p]. **v.16** καί[c] ἐξέρχομαι[viaa3p] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] καί[c] ἔρχομαι[viaa3p] εἰς[p] ὁ[dafs] πόλις[nafs] καί[c] εὑρίσκω[viaa3p] καθώς[bo] λέγω[viaa3s] αὐτός[rpdmp] καί[c] ἑτοιμάζω[viaa3p] ὁ[dans] πάσχα[ta]. **v.17** καί[c] ὄψιος[agfsn] γίνομαι[vpadgfs] ἔρχομαι[vipn3s] μετά[p] ὁ[dgmp] δώδεκα[tn]. **v.18** καί[c] ἀνάκειμαι[vppngmp] αὐτός[rpgmp] καί[c] ἐσθίω[vppagmp] λέγω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] εἷς[nnms] ἐκ[p] σύ[rpg-p] παραδίδωμι[vifa3s] ἐγώ[rpa-s] ὁ[dnms] ἐσθίω[vppanms] μετά[p] ἐγώ[rpg-s]. **v.19** ὁ[dnmp] δέ[c] ἄρχω[viad3p] λυπέω[vnpp] καί[c] λέγω[vnpa] αὐτός[rpdms] εἷς[nnms] κατά[p] εἷς[nnms] μήτι[xo] ἐγώ[rpn-s] καί[c] ἄλλος[anmsn] μήτι[xo] ἐγώ[rpn-s]. **v.20** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] αὐτός[rpdmp] εἷς[nnms] ἐκ[p] ὁ[dgmp] δώδεκα[tn] ὁ[dnms] ἐμβάπτω[vppmnms] μετά[p] ἐγώ[rpg-s] εἰς[p] ὁ[dans] τρύβλιον[nans].

εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Καὶ ἐσθιόντων αὐτῶν 22
λαβὼν ὁ Ἰησοῦς ἄρτον εὐλογήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς
καὶ εἶπεν Λάβετε φάγετε, τοῦτό ἐστιν τὸ σῶμά μου. καὶ λαβὼν 23
τὸ ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς καὶ ἔπιον ἐξ αὐτοῦ
πάντες. καὶ εἶπεν αὐτοῖς Τοῦτό ἐστιν τὸ αἷμά μου τὸ τῆς και- 24
νῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον. ἀμὴν λέγω ὑμῖν 25
ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς
ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.
Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν. Καὶ λέγει 26, 27
αὐτοῖς ὁ Ἰησοῦς ὅτι Πάντες σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ
νυκτὶ ταύτῃ, ὅτι γέγραπται Πατάξω τὸν ποιμένα καὶ διασκορ-
πισθήσεται τὰ πρόβατα. ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με προάξω 28
ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ὁ δὲ Πέτρος ἔφη αὐτῷ καὶ Εἰ πάντες 29
σκανδαλισθήσονται ἀλλ οὐκ ἐγώ. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς 30
Ἀμὴν λέγω σοι ὅτι σήμερον ἐν τῇ νυκτὶ ταύτῃ πρὶν ἢ δὶς ἀλέ-
κτορα φωνῆσαι τρίς ἀπαρνήσῃ με. ὁ δὲ ἐκ περισσοῦ ἔλεγεν 31
μᾶλλον, Ἐὰν με δέῃ συναποθανεῖν σοι οὐ μή σε ἀπαρνήσομαι
ὡσαύτως δὲ καὶ πάντες ἔλεγον. Καὶ ἔρχονται εἰς χωρίον οὗ 32
τὸ ὄνομα Γεθσημανῆ, καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ Καθίσατε
ὧδε ἕως προσεύξωμαι. καὶ παραλαμβάνει τὸν Πέτρον καὶ τὸν 33

---

v.21 ὁ[dnms] μέν[xo] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] ὑπάγω[vipa3s] καθώς[bo] γράφω[vixp3s] περί[p] αὐτός[rpgms] οὐαί[i] δέ[c] ὁ[ddms] ἄνθρωπος[ndms] ἐκεῖνος[rddms] διά[p] ὅς[rrgms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] παραδίδωμι[vipp3s] καλός[annsn] εἰμί[viix3s] αὐτός[rpdms] εἰ[qo] οὐ[xo] γεννάω[viap3s] ὁ[dnms] ἄνθρωπος[nnms] ἐκεῖνος[rdnms]. **v.22** καί[c] ἐσθίω[vppagmp] αὐτός[rpgmp] λαμβάνω[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] ἄρτος[nams] εὐλογέω[vpaanms] κλάω[viaa3s] καί[c] δίδωμι[viaa3s] αὐτός[rpdmp] καί[c] λέγω[viaa3s] λαμβάνω[vdaa2p] ἐσθίω[vdaa2p] οὗτος[rdnns] εἰμί[vipx3s] ὁ[dnns] σῶμα[nnns] ἐγώ[rpg-s]. **v.23** καί[c] λαμβάνω[vpaanms] ὁ[dans] ποτήριον[nans] εὐχαριστέω[vpaanms] δίδωμι[viaa3s] αὐτός[rpdmp] καί[c] πίνω[viaa3p] ἐκ[p] αὐτός[rpgns] πᾶς[anmpn]. **v.24** καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] οὗτος[rdnns] εἰμί[vipx3s] ὁ[dnns] αἷμα[nnns] ἐγώ[rpg-s] ὁ[dnns] ὁ[dgfs] καινός[agfsn] διαθήκη[ngfs] ὁ[dnns] περί[p] πολύς[agmpn] ἐκχέω[vpppnns]. **v.25** ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] οὐκέτι[bo] οὐ[xo] μή[xo] πίνω[vsaa1s] ἐκ[p] ὁ[dgns] γέννημα[ngns] ὁ[dgfs] ἄμπελος[ngfs] ἕως[c] ὁ[dgfs] ἡμέρα[ngfs] ἐκεῖνος[rdgfs] ὅταν[c] αὐτός[rpans] πίνω[vspa1s] καινός[aansn] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgms] θεός[ngms]. **v.26** καί[c] ὑμνέω[vpaanmp] ἐξέρχομαι[viaa3p] εἰς[p] ὁ[dans] ὄρος[nans] ὁ[dgfp] ἐλαία[ngfp]. **v.27** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] πᾶς[anmpn] σκανδαλίζω[vifp2p] ἐν[p] ἐγώ[rpd-s] ἐν[p] ὁ[ddfs] νύξ[ndfs] οὗτος[rddfs] ὅτι[c] γράφω[vixp3s] πατάσσω[vifa1s] ὁ[dams] ποιμήν[nams] καί[c] διασκορπίζω[vifp3s] ὁ[dnnp] πρόβατον[nnnp]. **v.28** ἀλλά[c] μετά[p] ὁ[dans] ἐγείρω[vnap] ἐγώ[rpa-s] προάγω[vifa1s] σύ[rpa-p] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs]. **v.29** ὁ[dnms] δέ[c] Πέτρος[nnms] φημί[viix3s] αὐτός[rpdms] καί[c] εἰ[qo] πᾶς[anmpn] σκανδαλίζω[vifp3p] ἀλλά[c] οὐ[xo] ἐγώ[rpn-s]. **v.30** καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-s] ὅτι[c] σήμερον[bo] ἐν[p] ὁ[ddfs] νύξ[ndfs] οὗτος[rddfs] πρίν[bo] ἤ[xo] δίς[bo] ἀλέκτωρ[nams] φωνέω[vnaa] τρίς[bo] ἀπαρνέομαι[vifd2s] ἐγώ[rpa-s]. **v.31** ὁ[dnms] δέ[c] ἐκ[p] περισσός[agnsn] λέγω[viia3s] μᾶλλον[bo] ἐάν[qo] ἐγώ[rpa-s] δεῖ[vspq3s] συναποθνῄσκω[vnaa] σύ[rpd-s] οὐ[xo] μή[xo] σύ[rpa-s] ἀπαρνέομαι[vifd1s] ὡσαύτως[bo] δέ[c] καί[c] πᾶς[anmpn] λέγω[viia3p]. **v.32** καί[c] ἔρχομαι[vipn3p] εἰς[p] χωρίον[nans] ὅς[rrgns] ὁ[dnns] ὄνομα[nnns] Γεθσημανί[tp] καί[c] λέγω[vipa3s] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] καθίζω[vdaa2p] ὧδε[bo] ἕως[c] προσεύχομαι[vsad1s].

Ἰάκωβον καὶ Ἰωάννην μεθʹ ἑαυτοῦ καὶ ἤρξατο ἐκθαμβεῖσθαι
34 καὶ ἀδημονεῖν. καὶ λέγει αὐτοῖς Περίλυπός ἐστιν ἡ ψυχή μου
35 ἕως θανάτου, μείνατε ὧδε καὶ γρηγορεῖτε. καὶ προελθὼν μι-
κρὸν ἔπεσεν ἐπὶ τῆς γῆς καὶ προσηύχετο ἵνα εἰ δυνατόν ἐστιν
36 παρέλθῃ ἀπ αὐτοῦ ἡ ὥρα. καὶ ἔλεγεν Αββα ὁ πατήρ πάντα
δυνατά σοι, παρένεγκε τὸ ποτήριον ἀπ ἐμοῦ τοῦτο, ἀλλ οὐ τί
37 ἐγὼ θέλω ἀλλὰ τί σύ. καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς κα-
θεύδοντας καὶ λέγει τῷ Πέτρῳ Σίμων καθεύδεις οὐκ ἴσχυσας
38 μίαν ὥραν γρηγορῆσαι. γρηγορεῖτε καὶ προσεύχεσθε ἵνα μὴ
εἰσέλθητε εἰς πειρασμόν, τὸ μὲν πνεῦμα πρόθυμον ἡ δὲ σὰρξ
39 ἀσθενής. καὶ πάλιν ἀπελθὼν προσηύξατο τὸν αὐτὸν λόγον
40 εἰπών. καὶ ὑποστρέψας εὗρεν αὐτοὺς πάλιν καθεύδοντας ἦ-
σαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν βεβαρήμενοι, καὶ οὐκ ᾔδεισαν τί
41 αὐτῷ ἀποκριθῶσιν. καὶ ἔρχεται τὸ τρίτον καὶ λέγει αὐτοῖς Κα-
θεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε, ἀπέχει, ἦλθεν ἡ ὥρα ἰδοὺ
παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτω-
42, 43 λῶν. ἐγείρεσθε ἄγωμεν, ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν. Καὶ
εὐθὲως, ἔτι αὐτοῦ λαλοῦντος παραγίνεται Ἰούδας εἷς ὢν τῶν
δώδεκα καὶ μετ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων
παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων.
44 δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς λέγων Ὃν ἂν

---

v.33 καί[c] παραλαμβάνω[vipa3s] ὁ[dams] Πέτρος[nams] καί[c] ὁ[dams] Ἰάκωβος[nams] καί[c] Ἰωάννης[nams] μετά[p] ἑαυτοῦ[rxgms] καί[c] ἄρχω[viad3s] ἐκθαμβέω[vnpp] καί[c] ἀδημονέω[vnpa]. **v.34** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] περίλυπος[anfsn] εἰμί[vipx3s] ὁ[dnfs] ψυχή[nnfs] ἐγώ[rpg-s] ἕως[c] θάνατος[ngms] μένω[vdaa2p] ὧδε[bo] καί[c] γρηγορέω[vdpa2p]. **v.35** καί[c] προέρχομαι[vpaanms] μικρός[aansn] πίπτω[viaa3s] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] καί[c] προσεύχομαι[viin3s] ἵνα[c] εἰ[qo] δυνατός[annsn] εἰμί[vipx3s] παρέρχομαι[vsaa3s] ἀπό[p] αὐτός[rpgms] ὁ[dnfs] ὥρα[nnfs]. **v.36** καί[c] λέγω[viia3s] ἀββά[tp] ὁ[dnms] πατήρ[nnms] πᾶς[annpn] δυνατός[annpn] σύ[rpd-s] παραφέρω[vdaa2s] ὁ[dans] ποτήριον[nans] ἀπό[p] ἐγώ[rpg-s] οὗτος[rdans] ἀλλά[c] οὐ[xo] τίς[rqans] ἐγώ[rpn-s] θέλω[vipa1s] ἀλλά[c] τίς[rqans] σύ[rpn-s]. **v.37** καί[c] ἔρχομαι[vipn3s] καί[c] εὑρίσκω[vipa3s] αὐτός[rpamp] καθεύδω[vppaamp] καί[c] λέγω[vipa3s] ὁ[ddms] Πέτρος[ndms] Σίμων[nvms] καθεύδω[vipa2s] οὐ[xo] ἰσχύω[viaa2s] εἷς[nafs] ὥρα[nafs] γρηγορέω[vnaa]. **v.38** γρηγορέω[vdpa2p] καί[c] προσεύχομαι[vdpn2p] ἵνα[c] μή[xo] εἰσέρχομαι[vsaa2p] εἰς[p] πειρασμός[nams] ὁ[dnns] μέν[xo] πνεῦμα[nnns] πρόθυμος[annsn] ὁ[dnfs] δέ[c] σάρξ[nnfs] ἀσθενής[anfsn]. **v.39** καί[c] πάλιν[bo] ἀπέρχομαι[vpaanms] προσεύχομαι[viad3s] ὁ[dams] αὐτός[rpams] λόγος[nams] λέγω[vpaanms]. **v.40** καί[c] ὑποστρέφω[vpaanms] εὑρίσκω[viaa3s] αὐτός[rpamp] πάλιν[bo] καθεύδω[vppaamp] εἰμί[viix3p] γάρ[c] ὁ[dnmp] ὀφθαλμός[nnmp] αὐτός[rpgmp] βαρέω[vpxpnmp] καί[c] οὐ[xo] οἶδα[viya3p] τίς[rqans] αὐτός[rpdms] ἀποκρίνομαι[vsao3p]. **v.41** καί[c] ἔρχομαι[vipn3s] ὁ[dans] τρίτος[aansn] καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] καθεύδω[vipa2p] ὁ[dans] λοιπός[aansn] καί[c] ἀναπαύω[vipm2p] ἀπέχω[vipa3s] ἔρχομαι[viaa3s] ὁ[dnfs] ὥρα[nnfs] ἰδού[vdaa2s] παραδίδωμι[vipp3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] εἰς[p] ὁ[dafp] χείρ[nafp] ὁ[dgmp] ἁμαρτωλός[agmpn]. **v.42** ἐγείρω[vdpe2p] ἄγω[vspa1p] ἰδού[vdaa2s] ὁ[dnms] παραδίδωμι[vppanms] ἐγώ[rpa-s] ἐγγίζω[vixa3s]. **v.43** καί[c] εὐθέως[bo] ἔτι[bo] αὐτός[rpgms] λαλέω[vppagms] παραγίνομαι[vipn3s] Ἰούδας[nnms] εἷς[nnms] εἰμί[vppxnms] ὁ[dgmp] δώδεκα[tn] καί[c] μετά[p] αὐτός[rpgms] ὄχλος[nnms] πολύς[anmsn] μετά[p] μάχαιρα[ngfp] καί[c] ξύλον[ngnp] παρά[p] ὁ[dgmp] ἀρχιερεύς[ngmp] καί[c] ὁ[dgmp] γραμματεύς[ngmp] καί[c] ὁ[dgmp] πρεσβύτερος[agmpn].

φιλήσω αὐτός ἐστιν κρατήσατε αὐτὸν καὶ ἀπαγάγετε ἀσφαλῶς.
καὶ ἐλθὼν εὐθέως προσελθὼν αὐτῷ λέγει Ῥαββί Ῥαββί καὶ κατε- 45
φίλησεν αὐτόν, οἱ δὲ ἐπέβαλον ἐπ' αὐτόν τὰς χεῖρας αὑτῶν, καὶ 46
ἐκράτησαν αὐτὸν. εἷς δέ τις τῶν παρεστηκότων σπασάμενος 47
τὴν μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν
αὐτοῦ τὸ ὠτίον. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς Ὡς ἐπὶ 48
λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με. καθ 49
ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων καὶ οὐκ ἐκρατή-
σατέ με, ἀλλ ἵνα πληρωθῶσιν αἱ γραφαί. καὶ ἀφέντες αὐτὸν 50
πάντες ἔφυγον. Καὶ εἱς τις νεανίσκος ἠκολούθει αὐτῷ περιβε- 51
βλημένος σινδόνα ἐπὶ γυμνοῦ καὶ κρατοῦσιν αὐτόν, οἱ νεανί-
σκοι, ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν ἀπ' αὐτῶν. 52
Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα καὶ συνέρχονται 53
αὐτῷ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμμα-
τεῖς. καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω 54
εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑ-
πηρετῶν καὶ θερμαινόμενος πρὸς τὸ φῶς. οἱ δὲ ἀρχιερεῖς καὶ 55
ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν εἰς τὸ
θανατῶσαι αὐτόν καὶ οὐχ εὕρισκον. πολλοὶ γὰρ ἐψευδομαρ- 56
τύρουν κατ αὐτοῦ καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. καί τινες 57

---

v.44 δίδωμι[viya3s] δέ[c] ὁ[dnms] παραδίδωμι[vppanms] αὐτός[rpams] σύσσημον[nans] αὐτός[rpdmp] λέγω[vppanms] ὅς[rrams] ἄν[xo] φιλέω[vsaa1s] αὐτός[rpnms] εἰμί[vipx3s] κρατέω[vdaa2p] αὐτός[rpams] καί[c] ἀπάγω[vdaa2p] ἀσφαλῶς[bo]. **v.45** καί[c] ἔρχομαι[vpaanms] εὐθέως[bo] προσέρχομαι[vpaanms] αὐτός[rpdms] λέγω[vipa3s] ῥαββί[th] ῥαββί[th] καί[c] καταφιλέω[viaa3s] αὐτός[rpams]. **v.46** ὁ[dnmp] δέ[c] ἐπιβάλλω[viaa3p] ἐπί[p] αὐτός[rpams] ὁ[dafp] χείρ[nafp] αὐτός[rpgmp] καί[c] κρατέω[viaa3p] αὐτός[rpams]. **v.47** εἷς[nnms] δέ[c] τι-σρινμσ ὁ[dgmp] παρίστημι[vpxagmp] σπάω[vpamnms] ὁ[dafs] μάχαιρα[nafs] παίω[viaa3s] ὁ[dams] δοῦλος[nams] ὁ[dgms] ἀρχιερεύς[ngms] καί[c] ἀφαιρέω[viaa3s] αὐτός[rpgms] ὁ[dans] ὠτίον[nans]. **v.48** καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] ὡς[bo] ἐπί[p] λῃστής[nams] ἐξέρχομαι[viaa2p] μετά[p] μάχαιρα[ngfp] καί[c] ξύλον[ngnp] συλλαμβάνω[vnaa] ἐγώ[rpa-s]. **v.49** κατά[p] ἡμέρα[nafs] εἰμί[viix1s] πρός[p] σύ[rpa-p] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] διδάσκω[vppanms] καί[c] οὐ[xo] κρατέω[viaa2p] ἐγώ[rpa-s] ἀλλά[c] ἵνα[c] πληρόω[vsap3p] ὁ[dnfp] γραφή[nnfp]. **v.50** καί[c] ἀφίημι[vpaanmp] αὐτός[rpams] πᾶς[anmpn] φεύγω[viaa3p]. **v.51** καί[c] εἷς[nnms] τι-σρινμσ νεανίσκος[nnms] ἀκολουθέω[viia3s] αὐτός[rpdms] περιβάλλω[vpxpnms] σινδών[nafs] ἐπί[p] γυμνός[agnsn] καί[c] κρατέω[vipa3p] αὐτός[rpams] ὁ[dnmp] νεανίσκος[nnmp]. **v.52** ὁ[dnms] δέ[c] καταλείπω[vpaanms] ὁ[dafs] σινδών[nafs] γυμνός[anmsn] φεύγω[viaa3s] ἀπό[p] αὐτός[rpgmp]. **v.53** καί[c] ἀπάγω[viaa3p] ὁ[dams] Ἰησοῦς[nams] πρός[p] ὁ[dams] ἀρχιερεύς[nams] καί[c] συνέρχομαι[vipn3p] αὐτός[rpdms] πᾶς[anmpn] ὁ[dnmp] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] πρεσβύτερος[anmpn] καί[c] ὁ[dnmp] γραμματεύς[nnmp]. **v.54** καί[c] ὁ[dnms] Πέτρος[nnms] ἀπό[p] μακρόθεν[bo] ἀκολουθέω[viaa3s] αὐτός[rpdms] ἕως[c] ἔσω[bo] εἰς[p] ὁ[dafs] αὐλή[nafs] ὁ[dgms] ἀρχιερεύς[ngms] καί[c] εἰμί[viix3s] συγκάθημαι[vppnnms] μετά[p] ὁ[dgmp] ὑπηρέτης[ngmp] καί[c] θερμαίνομαι[vppmnms] πρός[p] ὁ[dans] φῶς[nans]. **v.55** ὁ[dnmp] δέ[c] ἀρχιερεύς[nnmp] καί[c] ὅλος[annsn] ὁ[dnns] συνέδριον[nnns] ζητέω[viia3p] κατά[p] ὁ[dgms] Ἰησοῦς[ngms] μαρτυρία[nafs] εἰς[p] ὁ[dans] θανατόω[vnaa] αὐτός[rpams] καί[c] οὐ[xo] εὑρίσκω[viia3p]. **v.56** πολύς[anmpn] γάρ[c] ψευδομαρτυρέω[viia3p] κατά[p] αὐτός[rpgms] καί[c] ἴσος[anfpn] ὁ[dnfp] μαρτυρία[nnfp] οὐ[xo] εἰμί[viix3p].

58 ἀναστάντες ἐψευδομαρτύρουν κατ αὐτοῦ λέγοντες. ὅτι Ἡμεῖς
ἠκούσαμεν αὐτοῦ λέγοντος ὅτι Ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον
τὸν χειροποίητον καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον
59, 60 οἰκοδομήσω. καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν. καὶ
ἀναστὰς ὁ ἀρχιερεὺς εἰς τὸ μέσον ἐπηρώτησεν τὸν Ἰησοῦν λέ-
61 γων Οὐκ ἀποκρίνῃ οὐδέν τί οὗτοί σου καταμαρτυροῦσιν. ὁ
δὲ ἐσιώπα καὶ οὐδέν ἀπεκρίνατο πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα
62 αὐτὸν καὶ λέγει αὐτῷ Σὺ εἶ ὁ Χριστὸς ὁ υἱός τοῦ εὐλογητοῦ. ὁ
δὲ Ἰησοῦς εἶπεν Ἐγώ εἰμι καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου
καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον μετὰ τῶν νε-
63 φελῶν τοῦ οὐρανοῦ. ὁ δὲ ἀρχιερεὺς διαρρήξας τοὺς χιτῶνας
64 αὐτοῦ λέγει Τί ἔτι χρείαν ἔχομεν μαρτύρων. ἠκούσατε τῆς
βλασφημίας, τί ὑμῖν φαίνεται οἱ δὲ πάντες κατέκριναν αὐτὸν
65 εἶναι ἔνοχον θανάτου. Καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ καὶ
περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ καὶ κολαφίζειν αὐτὸν καὶ
λέγειν αὐτῷ Προφήτευσον καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν
66 ἔβαλλον. Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω ἔρχεται μία
67 τῶν παιδισκῶν τοῦ ἀρχιερέως. καὶ ἰδοῦσα τὸν Πέτρον θερμαι-
νόμενον ἐμβλέψασα αὐτῷ λέγει Καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ
68 Ἰησοῦ ἦσθα. ὁ δὲ ἠρνήσατο λέγων Οὐκ οἶδα οὐδέ ἐπίσταμαι
τί σὺ λέγεις καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον καὶ ἀλέκτωρ ἐφώ-

---

v.57 καί[c] τι-σρινμπ ἀνίστημι[vpaanmp] ψευδομαρτυρέω[viia3p] κατά[p] αὐτός[rpgms] λέγω[vppanmp]. **v.58** ὅτι[c] ἐγώ[rpn-p] ἀκούω[viaa1p] αὐτός[rpgms] λέγω[vppagms] ὅτι[c] ἐγώ[rpn-s] καταλύω[vifa1s] ὁ[dams] ναός[nams] οὗτος[rdams] ὁ[dams] χειροποίητος[aamsn] καί[c] διά[p] τρεῖς[ngfp] ἡμέρα[ngfp] ἄλλος[aamsn] ἀχειροποίητος[aamsn] οἰκοδομέω[vifa1s]. **v.59** καί[c] οὐδέ[bo] οὕτω[bo] ἴσος[anfsn] εἰμί[viix3s] ὁ[dnfs] μαρτυρία[nnfs] αὐτός[rpgmp]. **v.60** καί[c] ἀνίστημι[vpaanms] ὁ[dnms] ἀρχιερεύς[nnms] εἰς[p] ὁ[dans] μέσος[aansn] ἐπερωτάω[viaa3s] ὁ[dams] Ἰησοῦς[nams] λέγω[vppanms] οὐ[xo] ἀποκρίνομαι[vipn2s] οὐδείς[aansn] τίς[rqans] οὗτος[rdnmp] σύ[rpg-s] καταμαρτυρέω[vipa3p]. **v.61** ὁ[dnms] δέ[c] σιωπάω[viia3s] καί[c] οὐδείς[aansn] ἀποκρίνομαι[viad3s] πάλιν[bo] ὁ[dnms] ἀρχιερεύς[nnms] ἐπερωτάω[viia3s] αὐτός[rpams] καί[c] λέγω[vipa3s] αὐτός[rpdms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] Χριστός[nnms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] εὐλογητός[agmsn]. **v.62** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] ἐγώ[rpn-s] εἰμί[vipx1s] καί[c] ὁράω[vifd2p] ὁ[dams] υἱός[nams] ὁ[dgms] ἄνθρωπος[ngms] κάθημαι[vppnams] ἐκ[p] δεξιός[agmpn] ὁ[dgfs] δύναμις[ngfs] καί[c] ἔρχομαι[vppnams] μετά[p] ὁ[dgfp] νεφέλη[ngfp] ὁ[dgms] οὐρανός[ngms]. **v.63** ὁ[dnms] δέ[c] ἀρχιερεύς[nnms] διαρρήγνυμι[vpaanms] ὁ[damp] χιτών[namp] αὐτός[rpgms] λέγω[vipa3s] τίς[rqans] ἔτι[bo] χρεία[nafs] ἔχω[vipa1p] μάρτυς[ngmp]. **v.64** ἀκούω[viaa2p] ὁ[dgfs] βλασφημία[ngfs] τίς[rqans] σύ[rpd-p] φαίνω[vipe3s] ὁ[dnmp] δέ[c] πᾶς[anmpn] κατακρίνω[viaa3p] αὐτός[rpams] εἰμί[vnpx] ἔνοχος[aamsn] θάνατος[ngms]. **v.65** καί[c] ἄρχω[viad3p] τι-σρινμπ ἐμπτύω[vnpa] αὐτός[rpdms] καί[c] περικαλύπτω[vnpa] ὁ[dans] πρόσωπον[nans] αὐτός[rpgms] καί[c] κολαφίζω[vnpa] αὐτός[rpams] καί[c] λέγω[vnpa] αὐτός[rpdms] προφητεύω[vdaa2s] καί[c] ὁ[dnmp] ὑπηρέτης[nnmp] ῥάπισμα[ndnp] αὐτός[rpams] βάλλω[viia3p]. **v.66** καί[c] εἰμί[vppxgms] ὁ[dgms] Πέτρος[ngms] ἐν[p] ὁ[ddfs] αὐλή[ndfs] κάτω[bo] ἔρχομαι[vipn3s] εἷς[nnfs] ὁ[dgfp] παιδίσκη[ngfp] ὁ[dgms] ἀρχιερεύς[ngms]. **v.67** καί[c] ὁράω[vpaanfs] ὁ[dams] Πέτρος[nams] θερμαίνομαι[vppmams] ἐμβλέπω[vpaanfs] αὐτός[rpdms] λέγω[vipa3s] καί[c] σύ[rpn-s] μετά[p] ὁ[dgms] Ναζαρηνός[ngms] Ἰησοῦς[ngms] εἰμί[viix2s].

νησεν. καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν πάλιν ἤρξατο λέγειν τοῖς 69
παρεστηκόσιν, ὅτι Οὗτος ἐξ αὐτῶν ἐστιν. ὁ δὲ πάλιν ἠρνεῖτο 70
καὶ μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ Ἀληθῶς
ἐξ αὐτῶν εἶ καὶ γὰρ Γαλιλαῖος εἶ καὶ ἡ λαλιά σου ὁμοιάζει. ὁ 71
δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν ὅτι Οὐκ οἶδα τὸν ἄνθρω-
πον τοῦτον ὃν λέγετε. καὶ ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησεν καὶ 72
ἀνεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος οὗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι
Πρὶν ἀλέκτορα φωνῆσαι δὶς ἀπαρνήσῃ, με τρίς καὶ ἐπιβαλὼν
ἔκλαιεν.

Καὶ εὐθέως ἐπὶ τὸ πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς **15**
μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων καὶ ὅλον τὸ συνέδριον
δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν καὶ παρέδωκαν τῷ Πιλάτῳ.
καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλᾶτος Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων 2
ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ Σὺ λέγεις. καὶ κατηγόρουν αὐτοῦ 3
οἱ ἀρχιερεῖς πολλά. ὁ δὲ Πιλᾶτος πάλιν ἐπηρώτησεν αὐτὸν λέ- 4
γων Οὐκ ἀποκρίνῃ οὐδέν ἴδε πόσα σου καταμαρτυροῦσιν. ὁ 5
δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη ὥστε θαυμάζειν τὸν Πιλᾶτον.
Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον ὅνπερ ᾐτοῦντο. 6
ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν συστασιαστῶν δεδεμέ- 7
νος οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν. καὶ ἀναβοήσας 8

---

v.68 ὁ[dnms] δέ[c] ἀρνέομαι[viad3s] λέγω[vppanms] οὐ[xo] οἶδα[vixa1s] οὐδέ[bo] ἐπίσταμαι[vipn1s] τίς[rqans] σύ[rpn-s] λέγω[vipa2s] καί[c] ἐξέρχομαι[viaa3s] ἔξω[bo] εἰς[p] ὁ[dans] προαύλιον[nans] καί[c] ἀλέκτωρ[nnms] φωνέω[viaa3s]. **v.69** καί[c] ὁ[dnfs] παιδίσκη[nnfs] ὁράω[vpaanfs] αὐτός[rpams] πάλιν[bo] ἄρχω[viad3s] λέγω[vnpa] ὁ[ddmp] παρίστημι[vpxadmp] ὅτι[c] οὗτος[rdnms] ἐκ[p] αὐτός[rpgmp] εἰμί[vipx3s]. **v.70** ὁ[dnms] δέ[c] πάλιν[bo] ἀρνέομαι[viin3s] καί[c] μετά[p] μικρός[aamsn] πάλιν[bo] ὁ[dnmp] παρίστημι[vpxanmp] λέγω[viia3p] ὁ[ddms] Πέτρος[ndms] ἀληθῶς[bo] ἐκ[p] αὐτός[rpgmp] εἰμί[vipx2s] καί[c] γάρ[c] Γαλιλαῖος[nnms] εἰμί[vipx2s] καί[c] ὁ[dnfs] λαλιά[nnfs] σύ[rpg-s] ὁμοιάζω[vipa3s]. **v.71** ὁ[dnms] δέ[c] ἄρχω[viad3s] ἀναθεματίζω[vnpa] καί[c] ὀμνύω[vnpa] ὅτι[c] οὐ[xo] οἶδα[vixa1s] ὁ[dams] ἄνθρωπος[nams] οὗτος[rdams] ὅς[rrams] λέγω[vipa2p]. **v.72** καί[c] ἐκ[p] δεύτερος[agnsn] ἀλέκτωρ[nnms] φωνέω[viaa3s] καί[c] ἀναμιμνῄσκω[viap3s] ὁ[dnms] Πέτρος[nnms] ὁ[dgns] ῥῆμα[ngns] ὅς[rrgns] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] πρίν[bo] ἀλέκτωρ[nams] φωνέω[vnaa] δίς[bo] ἀπαρνέομαι[vifd2s] ἐγώ[rpa-s] τρίς[bo] καί[c] ἐπιβάλλω[vpaanms] κλαίω[viia3s]. **15. v.1** καί[c] εὐθέως[bo] ἐπί[p] ὁ[dans] πρωΐ[bo] συμβούλιον[nans] ποιέω[vpaanmp] ὁ[dnmp] ἀρχιερεύς[nnmp] μετά[p] ὁ[dgmp] πρεσβύτερος[agmpn] καί[c] γραμματεύς[ngmp] καί[c] ὅλος[annsn] ὁ[dnns] συνέδριον[nnns] δέω[vpaanmp] ὁ[dams] Ἰησοῦς[nams] ἀποφέρω[viaa3p] καί[c] παραδίδωμι[viaa3p] ὁ[ddms] Πιλᾶτος[ndms]. **v.2** καί[c] ἐπερωτάω[viaa3s] αὐτός[rpams] ὁ[dnms] Πιλᾶτος[nnms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn] ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] αὐτός[rpdms] σύ[rpn-s] λέγω[vipa2s]. **v.3** καί[c] κατηγορέω[viia3p] αὐτός[rpgms] ὁ[dnmp] ἀρχιερεύς[nnmp] πολύς[aanpn]. **v.4** ὁ[dnms] δέ[c] Πιλᾶτος[nnms] πάλιν[bo] ἐπερωτάω[viaa3s] αὐτός[rpams] λέγω[vppanms] οὐ[xo] ἀποκρίνομαι[vipn2s] οὐδείς[aansn] ἴδε[i] πόσος[roanp] σύ[rpg-s] καταμαρτυρέω[vipa3p]. **v.5** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] οὐκέτι[bo] οὐδείς[aansn] ἀποκρίνομαι[viad3s] ὥστε[c] θαυμάζω[vnpa] ὁ[dams] Πιλᾶτος[nams]. **v.6** κατά[p] δέ[c] ἑορτή[nafs] ἀπολύω[viia3s] αὐτός[rpdmp] εἷς[nams] δέσμιος[nams] ὅσπερ[rrams] αἰτέω[viim3p]. **v.7** εἰμί[viix3s] δέ[c] ὁ[dnms] λέγω[vpppnms] Βαραββᾶς[nnms] μετά[p] ὁ[dgmp] συστασιαστής[ngmp] δέω[vpxpnms] ὅστις[rrnmp] ἐν[p] ὁ[ddfs] στάσις[ndfs] φόνος[nams] ποιέω[viya3p].

9 ὁ ὄχλος ἤρξατο αἰτεῖσθαι καθὼς ἀεί ἐποίει αὐτοῖς. ὁ δὲ Πιλᾶ-
τος ἀπεκρίθη αὐτοῖς λέγων Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα
10 τῶν Ἰουδαίων. ἐγίνωσκεν γὰρ ὅτι διὰ φθόνον παραδεδώκεισαν
11 αὐτὸν οἱ ἀρχιερεῖς. οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον ἵνα
12 μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. ὁ δὲ Πιλᾶτος ἀποκρι-
θεὶς πάλιν εἶπεν αὐτοῖς Τί οὖν θέλετε ποιήσω ὃν λέγετε βασιλέα
13, 14 τῶν Ἰουδαίων. οἱ δὲ πάλιν ἔκραξαν Σταύρωσον αὐτόν. ὁ δὲ
Πιλᾶτος ἔλεγεν αὐτοῖς Τί γὰρ κακόν ἐποίησεν οἱ δὲ περισσο-
15 τέρως ἔκραξαν Σταύρωσον αὐτόν. ὁ δὲ Πιλᾶτος βουλόμενος
τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν καὶ
16 παρέδωκεν τὸν Ἰησοῦν φραγελλώσας ἵνα σταυρωθῇ. Οἱ δὲ
στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς ὅ ἐστιν πραιτώριον
17 καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. καὶ ἐνδύουσιν αὐτὸν πορ-
φύραν καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον,
18 καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν Χαῖρε βασιλεῦ τῶν Ἰουδαίων,
19 καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον αὐτῷ
20 καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ. καὶ ὅτε ἐνέπαιξαν
αὐτῷ ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱ-
μάτια τὰ ἴδια. καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν.
21 Καὶ ἀγγαρεύουσιν παράγοντά τινα Σίμωνα Κυρηναῖον ἐρχόμε-
νον ἀπ ἀγροῦ τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου ἵνα ἄρῃ

---

v.8 καί[c] ἀναβοάω[vpaanms] ὁ[dnms] ὄχλος[nnms] ἄρχω[viad3s] αἰτέω[vnpm] καθώς[bo] ἀεί[bo] ποιέω[viia3s] αὐτός[rpdmp]. **v.9** ὁ[dnms] δέ[c] Πιλᾶτος[nnms] ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] λέγω[vppanms] θέλω[vipa2p] ἀπολύω[vsaa1s] σύ[rpd-p] ὁ[dams] βασιλεύς[nams] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.10** γινώσκω[viia3s] γάρ[c] ὅτι[c] διά[p] φθόνος[nams] παραδίδωμι[viya3p] αὐτός[rpams] ὁ[dnmp] ἀρχιερεύς[nnmp]. **v.11** ὁ[dnmp] δέ[c] ἀρχιερεύς[nnmp] ἀνασείω[viaa3p] ὁ[dams] ὄχλος[nams] ἵνα[c] μᾶλλον[bo] ὁ[dams] Βαραββᾶς[nams] ἀπολύω[vsaa3s] αὐτός[rpdmp]. **v.12** ὁ[dnms] δέ[c] Πιλᾶτος[nnms] ἀποκρίνομαι[vpaonms] πάλιν[bo] λέγω[viaa3s] αὐτός[rpdmp] τίς[rqans] οὖν[c] θέλω[vipa2p] ποιέω[vsaa1s] ὅς[rrams] λέγω[vipa2p] βασιλεύς[nams] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.13** ὁ[dnmp] δέ[c] πάλιν[bo] κράζω[viaa3p] σταυρόω[vdaa2s] αὐτός[rpams]. **v.14** ὁ[dnms] δέ[c] Πιλᾶτος[nnms] λέγω[viia3s] αὐτός[rpdmp] τίς[rqans] γάρ[c] κακός[aansn] ποιέω[viaa3s] ὁ[dnmp] δέ[c] περισσοτέρως[bo] κράζω[viaa3p] σταυρόω[vdaa2s] αὐτός[rpams]. **v.15** ὁ[dnms] δέ[c] Πιλᾶτος[nnms] βούλομαι[vppnnms] ὁ[ddms] ὄχλος[ndms] ὁ[dans] ἱκανός[aansn] ποιέω[vnaa] ἀπολύω[viaa3s] αὐτός[rpdmp] ὁ[dams] Βαραββᾶς[nams] καί[c] παραδίδωμι[viaa3s] ὁ[dams] Ἰησοῦς[nams] φραγελλόω[vpaanms] ἵνα[c] σταυρόω[vsap3s]. **v.16** ὁ[dnmp] δέ[c] στρατιώτης[nnmp] ἀπάγω[viaa3p] αὐτός[rpams] ἔσω[bo] ὁ[dgfs] αὐλή[ngfs] ὅς[rrnns] εἰμί[vipx3s] πραιτώριον[nnns] καί[c] συγκαλέω[vipa3p] ὅλος[aafsn] ὁ[dafs] σπεῖρα[nafs]. **v.17** καί[c] ἐνδύω[vipa3p] αὐτός[rpams] πορφύρα[nafs] καί[c] περιτίθημι[vipa3s] αὐτός[rpdms] πλέκω[vpaanmp] ἀκάνθινος[aamsn] στέφανος[nams]. **v.18** καί[c] ἄρχω[viad3p] ἀσπάζομαι[vnpn] αὐτός[rpams] χαίρω[vdpa2s] βασιλεύς[nvms] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.19** καί[c] τύπτω[viia3p] αὐτός[rpgms] ὁ[dafs] κεφαλή[nafs] κάλαμος[ndms] καί[c] ἐμπτύω[viia3p] αὐτός[rpdms] καί[c] τίθημι[vppanmp] ὁ[danp] γόνυ[nanp] προσκυνέω[viia3p] αὐτός[rpdms]. **v.20** καί[c] ὅτε[bo] ἐμπαίζω[viaa3p] αὐτός[rpdms] ἐκδύω[viaa3p] αὐτός[rpams] ὁ[dafs] πορφύρα[nafs] καί[c] ἐνδύω[viaa3p] αὐτός[rpams] ὁ[danp] ἱμάτιον[nanp] ὁ[danp] ἴδιος[aanpn] καί[c] ἐξάγω[vipa3p] αὐτός[rpams] ἵνα[c] σταυρόω[vsaa3p] αὐτός[rpams].

τὸν σταυρὸν αὐτοῦ. καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον 22
ὅ ἐστιν μεθερμηνευόμενον Κρανίου Τόπος. καὶ ἐδίδουν αὐτῷ 23
πιεῖν ἐσμυρνισμένον οἶνον, ὁ δὲ οὐκ ἔλαβεν. καὶ σταυρώσαν- 24
τες αὐτὸν διεμερίζον τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον ἐπ αὐτὰ
τίς τί ἄρῃ. ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν αὐτόν. καὶ ἦν ἡ 25, 26
ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη Ὁ βασιλεὺς τῶν Ἰ-
ουδαίων. Καὶ σὺν αὐτῷ σταυροῦσιν δύο λῃστάς ἕνα ἐκ δεξιῶν 27
καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέ- 28
γουσα, Καὶ μετὰ ἀνόμων ἐλογίσθη. Καὶ οἱ παραπορευόμενοι 29
ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγον-
τες Οὐὰ ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν.
σῶσον σεαυτὸν καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ. ὁμοίως δὲ καὶ 30, 31
οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων
ἔλεγον Ἄλλους ἔσωσεν ἑαυτὸν οὐ δύναται σῶσαι, ὁ Χριστὸς ὁ 32
βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ ἵνα ἴδω-
μεν καὶ πιστεύσωμεν καὶ οἱ συνεσταυρωμένοι αὐτῷ ὠνείδιζον
αὐτόν. γενομένης δὲ ὥρας ἕκτης σκότος ἐγένετο ἐφ ὅλην τὴν 33
γῆν ἕως ὥρας ἐννάτης. καὶ τῇ ὥρᾳ τῇ ἐννάτῃ ἐβόησεν ὁ Ἰη- 34
σοῦς φωνῇ μεγάλῃ λέγων, Ελωι ελωι λαμμᾶ σαβαχθανι ὅ ἐστιν
μεθερμηνευόμενον Ὁ θεός μου ὁ θεός μου εἰς τί με ἐγκατέ-

---

v.21 καί[c] ἀγγαρεύω[vipa3p] παράγω[vppaams] τι-σριαμσ Σίμων[nams] Κυρηναῖος[nams] ἔρχομαι[vppnams] ἀπό[p] ἀγρός[ngms] ὁ[dams] πατήρ[nams] Ἀλέξανδρος[ngms] καί[c] Ῥοῦφος[ngms] ἵνα[c] αἴρω[vsaa3s] ὁ[dams] σταυρός[nams] αὐτός[rpgms]. **v.22** καί[c] φέρω[vipa3p] αὐτός[rpams] ἐπί[p] Γολγοθᾶ[nafs] τόπος[nams] ὅς[rrnns] εἰμί[vipx3s] μεθερμηνεύω[vppp nns] κρανίον[ngns] τόπος[nnms]. **v.23** καί[c] δίδωμι[viia3p] αὐτός[rpdms] πίνω[vnaa] σμυρνίζω[vpxpams] οἶνος[nams] ὁ[dnms] δέ[c] οὐ[xo] λαμβάνω[viaa3s]. **v.24** καί[c] σταυρόω[vpaanmp] αὐτός[rpams] διαμερίζω[viia3p] ὁ[danp] ἱμάτιον[nanp] αὐτός[rpgms] βάλλω[vppanmp] κλῆρος[nams] ἐπί[p] αὐτός[rpanp] τίς[rqnms] τίς[rqans] αἴρω[vsaa3s]. **v.25** εἰμί[viix3s] δέ[c] ὥρα[nnfs] τρίτος[anfsn] καί[c] σταυρόω[viaa3p] αὐτός[rpams]. **v.26** καί[c] εἰμί[viix3s] ὁ[dnfs] ἐπιγραφή[nnfs] ὁ[dgfs] αἰτία[ngfs] αὐτός[rpgms] ἐπιγράφω[vpxpnfs] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.27** καί[c] σύν[p] αὐτός[rpdms] σταυρόω[vipa3p] δύο[tn] λῃστής[namp] εἷς[nams] ἐκ[p] δεξιός[agmpn] καί[c] εἷς[nams] ἐκ[p] εὐώνυμος[agmpn] αὐτός[rpgms]. **v.28** καί[c] πληρόω[viap3s] ὁ[dnfs] γραφή[nnfs] ὁ[dnfs] λέγω[vppanfs] καί[c] μετά[p] ἄνομος[agmpn] λογίζομαι[viap3s]. **v.29** καί[c] ὁ[dnmp] παραπορεύομαι[vppnnmp] βλασφημέω[viia3p] αὐτός[rpams] κινέω[vppanmp] ὁ[dafp] κεφαλή[nafp] αὐτός[rpgmp] καί[c] λέγω[vppanmp] οὐά[i] ὁ[dnms] καταλύω[vppanms] ὁ[dams] ναός[nams] καί[c] ἐν[p] τρεῖς[ndfp] ἡμέρα[ndfp] οἰκοδομέω[vppanms]. **v.30** σῴζω[vdaa2s] σεαυτοῦ[rxams] καί[c] καταβαίνω[vdaa2s] ἀπό[p] ὁ[dgms] σταυρός[ngms]. **v.31** ὁμοίως[bo] δέ[c] καί[c] ὁ[dnmp] ἀρχιερεύς[nnmp] ἐμπαίζω[vppanmp] πρός[p] ἀλλήλων[reamp] μετά[p] ὁ[dgmp] γραμματεύς[ngmp] λέγω[viia3p] ἄλλος[aampn] σῴζω[viaa3s] ἑαυτοῦ[rxams] οὐ[xo] δύναμαι[vipn3s] σῴζω[vnaa]. **v.32** ὁ[dnms] Χριστός[nnms] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgms] Ἰσραήλ[tp] καταβαίνω[vdaa3s] νῦν[bo] ἀπό[p] ὁ[dgms] σταυρός[ngms] ἵνα[c] ὁράω[vsaa1p] καί[c] πιστεύω[vsaa1p] καί[c] ὁ[dnmp] συσταυρόω[vpxpnmp] αὐτός[rpdms] ὀνειδίζω[viia3p] αὐτός[rpams]. **v.33** γίνομαι[vpadgfs] δέ[c] ὥρα[ngfs] ἕκτος[agfsn] σκότος[nnns] γίνομαι[viad3s] ἐπί[p] ὅλος[aafsn] ὁ[dafs] γῆ[nafs] ἕως[c] ὥρα[ngfs] ἔνατος[agfsn].

35 λιπές. καί τινες τῶν παρεστηκότων ἀκούσαντες ἔλεγον Ἰδοὺ
36 Ἠλίαν φωνεῖ. δραμὼν δέ εἷς καὶ γεμίσας σπόγγον ὄξους περι-
θεὶς τε καλάμῳ ἐπότιζεν αὐτόν λέγων Ἄφετε ἴδωμεν εἰ ἔρχεται
37 Ἠλίας καθελεῖν αὐτόν. ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην
38 ἐξέπνευσεν. Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο
39 ἀπὸ ἄνωθεν ἕως κάτω. Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ
ἐναντίας αὐτοῦ ὅτι οὕτως κράξας ἐξέπνευσεν εἶπεν Ἀληθῶς ὁ
40 ἄνθρωπος οὗτος υἱὸς ἦν θεοῦ. Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ
μακρόθεν θεωροῦσαι ἐν αἷς ἦν καὶ Μαρία ἡ Μαγδαληνὴ καὶ
Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ μήτηρ καὶ Σαλώμη.
41 αἳ καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ καὶ διηκόνουν
αὐτῷ καὶ, ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα.
42 Καὶ ἤδη ὀψίας γενομένης ἐπεὶ ἦν παρασκευή ὅ ἐστιν προσάβ-
43 βατον. ἦλθεν Ἰωσὴφ ὁ ἀπὸ Ἁριμαθαίας εὐσχήμων βουλευτής
ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ θεοῦ τολμή-
σας εἰσῆλθεν πρὸς Πιλᾶτον καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ.
44 ὁ δὲ Πιλᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκεν καὶ προσκαλεσάμε-
45 νος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανεν, καὶ
46 γνοὺς ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ. καὶ
ἀγοράσας σινδόνα καὶ καθελὼν αὐτὸν ἐνείλησεν τῇ σινδόνι καὶ

---

v.6 ὁ[dnns] γεννάω[vpxpnns] ἐκ[p] ὁ[dgfs] σάρξ[ngfs] σάρξ[nnfs] εἰμί[vipx3s] καί[c] ὁ[dnns] γεννάω[vpxpnns] ἐκ[p] ὁ[dgns] πνεῦμα[ngns] πνεῦμα[nnns] εἰμί[vipx3s]. **v.7** μή[xo] θαυμάζω[vsaa2s] ὅτι[c] λέγω[viaa1s] σύ[rpd-s] δεῖ[vipq3s] σύ[rpa-p] γεννάω[vnap] ἄνωθεν[bo]. **v.8** ὁ[dnns] πνεῦμα[nnns] ὅπου[bo] θέλω[vipa3s] πνέω[vipa3s] καί[c] ὁ[dafs] φωνή[nafs] αὐτός[rpgns] ἀκούω[vipa2s] ἀλλά[c] οὐ[xo] οἶδα[vixa2s] πόθεν[bo] ἔρχομαι[vipn3s] καί[c] ποῦ[xo] ὑπάγω[vipa3s] οὕτω[bo] εἰμί[vipx3s] πᾶς[anmsn] ὁ[dnms] γεννάω[vpxpnms] ἐκ[p] ὁ[dgns] πνεῦμα[ngns]. **v.9** ἀποκρίνομαι[viad3s] Νικόδημος[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] πῶς[bo] δύναμαι[vipn3s] οὗτος[rdnnp] γίνομαι[vnad]. **v.10** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] διδάσκαλος[nnms] ὁ[dgms] Ἰσραήλ[tp] καί[c] οὗτος[rdanp] οὐ[xo] γινώσκω[vipa2s]. **v.11** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-s] ὅτι[c] ὅς[rrans] οἶδα[vixa1p] λαλέω[vipa1p] καί[c] ὅς[rrans] ὁράω[vixa1p] μαρτυρέω[vipa1p] καί[c] ὁ[dafs] μαρτυρία[nafs] ἐγώ[rpg-p] οὐ[xo] λαμβάνω[vipa2p]. **v.12** εἰ[qo] ὁ[danp] ἐπίγειος[aanpn] λέγω[viaa1s] σύ[rpd-p] καί[c] οὐ[xo] πιστεύω[vipa2p] πῶς[bo] ἐάν[qo] λέγω[vsaa1s] σύ[rpd-p] ὁ[danp] ἐπουράνιος[aanpn] πιστεύω[vifa2p]. **v.13** καί[c] οὐδείς[anfsn] ἀναβαίνω[vixa3s] εἰς[p] ὁ[dams] οὐρανός[nams] εἰ[qo] μή[xo] ὁ[dnms] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] καταβαίνω[vpaanms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] ὁ[dnms] εἰμί[vppxnms] ἐν[p] ὁ[ddms] οὐρανός[ndms]. **v.14** καί[c] καθώς[bo] Μωϋσῆς[nnms] ὑψόω[viaa3s] ὁ[dams] ὄφις[nams] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] οὕτω[bo] ὑψόω[vnap] δεῖ[vipq3s] ὁ[dams] υἱός[nams] ὁ[dgms] ἄνθρωπος[ngms]. **v.15** ἵνα[c] πᾶς[anmsn] ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] αὐτός[rpams] μή[xo] ἀπόλλυμι[vsam3s] ἀλλά[c] ἔχω[vspa3s] ζωή[nafs] αἰώνιος[aafsn]. **v.16** οὕτω[bo] γάρ[c] ἀγαπάω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[dams] κόσμος[nams] ὥστε[c] ὁ[dams] υἱός[nams] αὐτός[rpgms] ὁ[dams] μονογενής[aamsn] δίδωμι[viaa3s] ἵνα[c] πᾶς[anmsn] ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] αὐτός[rpams] μή[xo] ἀπόλλυμι[vsam3s] ἀλλά[c] ἔχω[vspa3s] ζωή[nafs] αἰώνιος[aafsn]. **v.17** οὐ[xo] γάρ[c] ἀποστέλλω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[dams] υἱός[nams] αὐτός[rpgms] εἰς[p] ὁ[dams] κόσμος[nams] ἵνα[c] κρίνω[vspa3s] ὁ[dams] κόσμος[nams] ἀλλά[c] ἵνα[c] σῴζω[vsap3s] ὁ[dnms] κόσμος[nnms] διά[p] αὐτός[rpgms].

θεοῦ. αὕτη δέ ἐστιν ἡ κρίσις ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κό- 19
σμον καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς,
ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. πᾶς γὰρ ὁ φαῦλα πράσσων 20
μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς ἵνα μὴ ἐλεγχθῇ τὰ
ἔργα αὐτοῦ, ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς ἵνα 21
φανερωθῇ αὐτοῦ τὰ ἔργα ὅτι ἐν θεῷ ἐστιν εἰργασμένα. Μετὰ 22
ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν
γῆν καὶ ἐκεῖ διέτριβεν μετ αὐτῶν καὶ ἐβάπτιζεν. ἦν δὲ καὶ Ἰ- 23
ωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ ὅτι ὕδατα πολλὰ
ἦν ἐκεῖ καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο, οὔπω γὰρ ἦν βεβλη- 24
μένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης. Ἐγένετο οὖν ζήτησις ἐκ 25
τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίων περὶ καθαρισμοῦ. καὶ 26
ἦλθον πρὸς τὸν Ἰωάννην καὶ εἶπον αὐτῷ Ῥαββί ὃς ἦν μετὰ σοῦ
πέραν τοῦ Ἰορδάνου ᾧ σὺ μεμαρτύρηκας ἴδε οὗτος βαπτίζει καὶ
πάντες ἔρχονται πρὸς αὐτόν. ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν Οὐ 27
δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ
ἐκ τοῦ οὐρανοῦ. αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι εἶπον Οὐκ 28
εἰμὶ ἐγὼ ὁ Χριστός ἀλλ ὅτι Ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐ-
κείνου. ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν, ὁ δὲ φίλος τοῦ 29
νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ χαρᾷ χαίρει διὰ τὴν φω-

---

v.18 ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] αὐτός[rpams] οὐ[xo] κρίνω[vipp3s] ὁ[dnms] δέ[c] μή[xo] πιστεύω[vppanms] ἤδη[bo] κρίνω[vixp3s] ὅτι[c] μή[xo] πιστεύω[vixa3s] εἰς[p] ὁ[dans] ὄνομα[nans] ὁ[dgms] μονογενής[agmsn] υἱός[ngms] ὁ[dgms] θεός[ngms]. **v.19** οὗτος[rdnfs] δέ[c] εἰμί[vipx3s] ὁ[dnfs] κρίσις[nnfs] ὅτι[c] ὁ[dnns] φῶς[nnns] ἔρχομαι[vixa3s] εἰς[p] ὁ[dams] κόσμος[nams] καί[c] ἀγαπάω[viaa3p] ὁ[dnmp] ἄνθρωπος[nnmp] μᾶλλον[bo] ὁ[dans] σκότος[nans] ἤ[xo] ὁ[dans] φῶς[nans] εἰμί[viix3s] γάρ[c] πονηρός[annpn] αὐτός[rpgmp] ὁ[dnnp] ἔργον[nnnp]. **v.20** πᾶς[anmsn] γάρ[c] ὁ[dnms] φαῦλος[aanpn] πράσσω[vppanms] μισέω[vipa3s] ὁ[dans] φῶς[nans] καί[c] οὐ[xo] ἔρχομαι[vipn3s] πρός[p] ὁ[dans] φῶς[nans] ἵνα[c] μή[xo] ἐλέγχω[vsap3s] ὁ[dnnp] ἔργον[nnnp] αὐτός[rpgms]. **v.21** ὁ[dnms] δέ[c] ποιέω[vppanms] ὁ[dafs] ἀλήθεια[nafs] ἔρχομαι[vipn3s] πρός[p] ὁ[dans] φῶς[nans] ἵνα[c] φανερόω[vsap3s] αὐτός[rpgms] ὁ[dnnp] ἔργον[nnnp] ὅτι[c] ἐν[p] θεός[ndms] εἰμί[vipx3s] ἐργάζομαι[vpxpnnp]. **v.22** μετά[p] οὗτος[rdanp] ἔρχομαι[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] εἰς[p] ὁ[dafs] Ἰουδαῖος[aafsn] γῆ[nafs] καί[c] ἐκεῖ[bo] διατρίβω[viia3s] μετά[p] αὐτός[rpgmp] καί[c] βαπτίζω[viia3s]. **v.23** εἰμί[viix3s] δέ[c] καί[c] Ἰωάννης[nnms] βαπτίζω[vppanms] ἐν[p] Αἰνών[tp] ἐγγύς[bo] ὁ[dgms] Σαλείμ[tp] ὅτι[c] ὕδωρ[nnnp] πολύς[annpn] εἰμί[viix3s] ἐκεῖ[bo] καί[c] παραγίνομαι[viid3p] καί[c] βαπτίζω[viip3p]. **v.24** οὔπω[bo] γάρ[c] εἰμί[viix3s] βάλλω[vpxpnms] εἰς[p] ὁ[dafs] φυλακή[nafs] ὁ[dnms] Ἰωάννης[nnms]. **v.25** γίνομαι[viad3s] οὖν[c] ζήτησις[nnfs] ἐκ[p] ὁ[dgmp] μαθητής[ngmp] Ἰωάννης[ngms] μετά[p] Ἰουδαῖος[agmpn] περί[p] καθαρισμός[ngms]. **v.26** καί[c] ἔρχομαι[viaa3p] πρός[p] ὁ[dams] Ἰωάννης[nams] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] ῥαββί[th] ὅς[rrnms] εἰμί[viix3s] μετά[p] σύ[rpg-s] πέραν[bo] ὁ[dgms] Ἰορδάνης[ngms] ὅς[rrdms] σύ[rpn-s] μαρτυρέω[vixa2s] ἴδε[i] οὗτος[rdnms] βαπτίζω[vipa3s] καί[c] πᾶς[anmpn] ἔρχομαι[vipn3p] πρός[p] αὐτός[rpams]. **v.27** ἀποκρίνομαι[viad3s] Ἰωάννης[nnms] καί[c] λέγω[viaa3s] οὐ[xo] δύναμαι[vipn3s] ἄνθρωπος[nnms] λαμβάνω[vnpa] οὐδείς[aansn] ἐάν[qo] μή[xo] εἰμί[vspx3s] δίδωμι[vpxpnns] αὐτός[rpdms] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms]. **v.28** αὐτός[rpnmp] σύ[rpn-p] ἐγώ[rpd-s] μαρτυρέω[vipa2p] ὅτι[c] λέγω[viaa1s] οὐ[xo] εἰμί[vipx1s] ἐγώ[rpn-s] ὁ[dnms] Χριστός[nnms] ἀλλά[c] ὅτι[c] ἀποστέλλω[vpxpnms] εἰμί[vipx1s] ἔμπροσθεν[p] ἐκεῖνος[rdgms].

30 νὴν τοῦ νυμφίου αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. ἐκεῖνον
31 δεῖ αὐξάνειν ἐμὲ δὲ ἐλαττοῦσθαι. Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω
πάντων ἐστίν, ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς ἐστιν καὶ ἐκ τῆς γῆς
32 λαλεῖ ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστίν, καὶ ὃ
ἑώρακεν καὶ ἤκουσεν τοῦτο μαρτυρεῖ καὶ τὴν μαρτυρίαν αὐτοῦ
33 οὐδεὶς λαμβάνει. ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν
34 ὅτι ὁ θεὸς ἀληθής ἐστιν. ὃν γὰρ ἀπέστειλεν ὁ θεὸς τὰ ῥήματα
τοῦ θεοῦ λαλεῖ οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς, τὸ πνεῦμα.
35 ὁ πατὴρ ἀγαπᾷ τὸν υἱόν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.
36 ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον, ὁ δὲ ἀπειθῶν τῷ υἱῷ
οὐκ ὄψεται ζωήν ἀλλ ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ αὐτόν.

4 Ὡς οὖν ἔγνω ὁ Κύριος ὅτι ἤκουσαν οἱ φαρισαῖοι ὅτι Ἰησοῦς
2 πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης. καίτοιγε Ἰη-
3 σοῦς αὐτὸς οὐκ ἐβάπτιζεν ἀλλ οἱ μαθηταὶ αὐτοῦ. ἀφῆκεν τὴν
4 Ἰουδαίαν καὶ ἀπῆλθεν πάλιν εἰς τὴν Γαλιλαίαν. ἔδει δὲ αὐτὸν
5 διέρχεσθαι διὰ τῆς Σαμαρείας. ἔρχεται οὖν εἰς πόλιν τῆς Σα-
μαρείας λεγομένην Συχὰρ πλησίον τοῦ χωρίου ὃ ἔδωκεν Ἰακὼβ
6 Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ, ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ ὁ οὖν Ἰησοῦς
κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ,
7 ὥρα ἦν ὡσεὶ ἕκτη. Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι

---

v.29 ὁ^{dnms} ἔχω^{vppanms} ὁ^{dafs} νύμφη^{nafs} νυμφίος^{nnms} εἰμί^{vipx3s} ὁ^{dnms} δέ^{c} φίλος^{anmsn} ὁ^{dgms} νυμφίος^{ngms} ὁ^{dnms} ἵστημι^{vpxanms} καί^{c} ἀκούω^{vppanms} αὐτός^{rpgms} χαρά^{ndfs} χαίρω^{vipa3s} διά^{p} ὁ^{dafs} φωνή^{nafs} ὁ^{dgms} νυμφίος^{ngms} οὗτος^{rdnfs} οὖν^{c} ὁ^{dnfs} χαρά^{nnfs} ὁ^{dnfs} ἐμός^{rsnfs} πληρόω^{vixp3s}. **v.30** ἐκεῖνος^{rdams} δεῖ^{vipq3s} αὐξάνω^{vnpa} ἐγώ$^{rpa-s}$ δέ^{c} ἐλαττόω^{vnpp}. **v.31** ὁ^{dnms} ἄνωθεν^{bo} ἔρχομαι^{vppnnms} ἐπάνω^{bo} πᾶς^{agnpn} εἰμί^{vipx3s} ὁ^{dnms} εἰμί^{vppxnms} ἐκ^{p} ὁ^{dgfs} γῆ^{ngfs} ἐκ^{p} ὁ^{dgfs} γῆ^{ngfs} εἰμί^{vipx3s} καί^{c} ἐκ^{p} ὁ^{dgfs} γῆ^{ngfs} λαλέω^{vipa3s} ὁ^{dnms} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} ἔρχομαι^{vppnnms} ἐπάνω^{bo} πᾶς^{agnpn} εἰμί^{vipx3s}. **v.32** καί^{c} ὅς^{rrans} ὁράω^{vixa3s} καί^{c} ἀκούω^{viaa3s} οὗτος^{rdans} μαρτυρέω^{vipa3s} καί^{c} ὁ^{dafs} μαρτυρία^{nafs} αὐτός^{rpgms} οὐδείς^{anfsn} λαμβάνω^{vipa3s}. **v.33** ὁ^{dnms} λαμβάνω^{vpaanms} αὐτός^{rpgms} ὁ^{dafs} μαρτυρία^{nafs} σφραγίζω^{viaa3s} ὅτι^{c} ὁ^{dnms} θεός^{nnms} ἀληθής^{anmsn} εἰμί^{vipx3s}. **v.34** ὅς^{rrams} γάρ^{c} ἀποστέλλω^{viaa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{danp} ῥῆμα^{nanp} ὁ^{dgms} θεός^{ngms} λαλέω^{vipa3s} οὐ^{xo} γάρ^{c} ἐκ^{p} μέτρον^{ngns} δίδωμι^{vipa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dans} πνεῦμα^{nans}. **v.35** ὁ^{dnms} πατήρ^{nnms} ἀγαπάω^{vipa3s} ὁ^{dams} υἱός^{nams} καί^{c} πᾶς^{aanpn} δίδωμι^{vixa3s} ἐν^{p} ὁ^{ddfs} χείρ^{ndfs} αὐτός^{rpgms}. **v.36** ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} ὁ^{dams} υἱός^{nams} ἔχω^{vipa3s} ζωή^{nafs} αἰώνιος^{aafsn} ὁ^{dnms} δέ^{c} ἀπειθέω^{vppanms} ὁ^{ddms} υἱός^{ndms} οὐ^{xo} ὁράω^{vifd3s} ζωή^{nafs} ἀλλά^{c} ὁ^{dnfs} ὀργή^{nnfs} ὁ^{dgms} θεός^{ngms} μένω^{vipa3s} ἐπί^{p} αὐτός^{rpams}. **4. v.1** ὡς^{bo} οὖν^{c} γινώσκω^{viaa3s} ὁ^{dnms} κύριος^{nnms} ὅτι^{c} ἀκούω^{viaa3p} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} ὅτι^{c} Ἰησοῦς^{nnms} πολύς^{aampc} μαθητής^{namp} ποιέω^{vipa3s} καί^{c} βαπτίζω^{vipa3s} ἤ^{xo} Ἰωάννης^{nnms}. **v.2** καίτοιγε^{c} Ἰησοῦς^{nnms} αὐτός^{rpnms} οὐ^{xo} βαπτίζω^{viia3s} ἀλλά^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms}. **v.3** ἀφίημι^{viaa3s} ὁ^{dafs} Ἰουδαία^{nafs} καί^{c} ἀπέρχομαι^{viaa3s} πάλιν^{bo} εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs}. **v.4** δεῖ^{viiq3s} δέ^{c} αὐτός^{rpams} διέρχομαι^{vnpn} διά^{p} ὁ^{dgfs} Σαμάρεια^{ngfs}. **v.5** ἔρχομαι^{vipn3s} οὖν^{c} εἰς^{p} πόλις^{nafs} ὁ^{dgfs} Σαμάρεια^{ngfs} λέγω^{vpppafs} Συχάρ^{tp} πλησίον^{bo} ὁ^{dgns} χωρίον^{ngns} ὅς^{rrans} δίδωμι^{viaa3s} Ἰακώβ^{tp} Ἰωσήφ^{tp} ὁ^{ddms} υἱός^{ndms} αὐτός^{rpgms}. **v.6** εἰμί^{viix3s} δέ^{c} ἐκεῖ^{bo} πηγή^{nnfs} ὁ^{dgms} Ἰακώβ^{tp} ὁ^{dnms} οὖν^{c} Ἰησοῦς^{nnms} κοπιάω^{vpxanms} ἐκ^{p} ὁ^{dgfs} ὁδοιπορία^{ngfs} καθέζομαι^{viin3s} οὕτω^{bo} ἐπί^{p} ὁ^{ddfs} πηγή^{ndfs} ὥρα^{nnfs} εἰμί^{viix3s} ὡσεί^{bo} ἕκτος^{anfsn}.

ὕδωρ λέγει αὐτῇ ὁ Ἰησοῦς Δός μοι πιεῖν, οἱ γὰρ μαθηταὶ αὐτοῦ 8
ἀπεληλύθεισαν εἰς τὴν πόλιν ἵνα τροφὰς ἀγοράσωσιν. λέγει 9
οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις, Πῶς σὺ Ἰουδαῖος ὢν παρ ἐμοῦ
πιεῖν αἰτεῖς οὔσης γυναικὸς Σαμαρείτιδος· οὐ γὰρ συγχρῶνται
Ἰουδαῖοι Σαμαρείταις. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ Εἰ 10
ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ καὶ τίς ἐστιν ὁ λέγων σοι Δός μοι
πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. λέ- 11
γει αὐτῷ ἡ γυνή Κύριε οὔτε ἄντλημα ἔχεις καὶ τὸ φρέαρ ἐστὶν
βαθύ, πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν. μὴ σὺ μείζων εἶ τοῦ 12
πατρὸς ἡμῶν Ἰακώβ ὅς ἔδωκεν ἡμῖν τὸ φρέαρ καὶ αὐτὸς ἐξ αὐ-
τοῦ ἔπιεν καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ. ἀπεκρίθη 13
ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῇ Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου
διψήσει πάλιν, ὅς δ ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ 14
οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ γενή-
σεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. λέγει 15
πρὸς αὐτὸν ἡ γυνή Κύριε δός μοι τοῦτο τὸ ὕδωρ ἵνα μὴ διψῶ
μηδὲ έρχωμαι ἐνθάδε ἀντλεῖν. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Ὕπαγε 16
φώνησον τὸν ἄνδρα σου καὶ ἐλθὲ ἐνθάδε. ἀπεκρίθη ἡ γυνὴ 17
καὶ εἶπεν Οὐκ ἔχω ἄνδρα λέγει αὐτῇ ὁ Ἰησοῦς Καλῶς εἶπας
ὅτι Ἄνδρα οὐκ ἔχω, πέντε γὰρ ἄνδρας ἔσχες καὶ νῦν ὃν ἔχεις 18

---

v.7 ἔρχομαι[vipn3s] γυνή[nnfs] ἐκ[p] ὁ[dgfs] Σαμάρεια[ngfs] ἀντλέω[vnaa] ὕδωρ[nans] λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] δίδωμι[vdaa2s] ἐγώ[rpd-s] πίνω[vnaa]. **v.8** ὁ[dnmp] γάρ[c] μαθητής[nnmp] αὐτός[rpgms] ἀπέρχομαι[viya3p] εἰς[p] ὁ[dafs] πόλις[nafs] ἵνα[c] τροφή[nafp] ἀγοράζω[vsaa3p]. **v.9** λέγω[vipa3s] οὖν[c] αὐτός[rpdms] ὁ[dnfs] γυνή[nnfs] ὁ[dnfs] Σαμαρῖτις[nnfs] πῶς[bo] σύ[rpn-s] Ἰουδαῖος[anmsn] εἰμί[vppxnms] παρά[p] ἐγώ[rpg-s] πίνω[vnaa] αἰτέω[vipa2s] εἰμί[vppxgfs] γυνή[ngfs] Σαμαρῖτις[ngfs] οὐ[xo] γάρ[c] συγχράομαι[vipn3p] Ἰουδαῖος[anmpn] Σαμαρίτης[ndmp]. **v.10** ἀποκρίνομαι[viad3s] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdfs] εἰ[qo] οἶδα[viya2s] ὁ[dafs] δωρεά[nafs] ὁ[dgms] θεός[ngms] καί[c] τίς[rqnms] εἰμί[vipx3s] ὁ[dnms] λέγω[vppanms] σύ[rpd-s] δίδωμι[vdaa2s] ἐγώ[rpd-s] πίνω[vnaa] σύ[rpn-s] ἄν[xo] αἰτέω[viaa2s] αὐτός[rpams] καί[c] δίδωμι[viaa3s] ἄν[xo] σύ[rpd-s] ὕδωρ[nans] ζάω[vppaans]. **v.11** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnfs] γυνή[nnfs] κύριος[nvms] οὔτε[c] ἄντλημα[nans] ἔχω[vipa2s] καί[c] ὁ[dnns] φρέαρ[nnns] εἰμί[vipx3s] βαθύς[annsn] πόθεν[bo] οὖν[c] ἔχω[vipa2s] ὁ[dans] ὕδωρ[nans] ὁ[dans] ζάω[vppaans]. **v.12** μή[xo] σύ[rpn-s] μέγας[anmsc] εἰμί[vipx2s] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-p] Ἰακώβ[tp] ὅς[rrnms] δίδωμι[viaa3s] ἐγώ[rpd-p] ὁ[dans] φρέαρ[nans] καί[c] αὐτός[rpnms] ἐκ[p] αὐτός[rpgns] πίνω[viaa3s] καί[c] ὁ[dnmp] υἱός[nnmp] αὐτός[rpgms] καί[c] ὁ[dnnp] θρέμμα[nnnp] αὐτός[rpgms]. **v.13** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdfs] πᾶς[anmsn] ὁ[dnms] πίνω[vppanms] ἐκ[p] ὁ[dgns] ὕδωρ[ngns] οὗτος[rdgns] διψάω[vifa3s] πάλιν[bo]. **v.14** ὅς[rrnms] δέ[c] ἄν[xo] πίνω[vsaa3s] ἐκ[p] ὁ[dgns] ὕδωρ[ngns] ὅς[rrgns] ἐγώ[rpn-s] δίδωμι[vifa1s] αὐτός[rpdms] οὐ[xo] μή[xo] διψάω[vsaa3s] εἰς[p] ὁ[dams] αἰών[nams] ἀλλά[c] ὁ[dnns] ὕδωρ[nnns] ὅς[rrans] δίδωμι[vifa1s] αὐτός[rpdms] γίνομαι[vifd3s] ἐν[p] αὐτός[rpdms] πηγή[nnfs] ὕδωρ[ngns] ἅλλομαι[vppngns] εἰς[p] ζωή[nafs] αἰώνιος[aafsn]. **v.15** λέγω[vipa3s] πρός[p] αὐτός[rpams] ὁ[dnfs] γυνή[nnfs] κύριος[nvms] δίδωμι[vdaa2s] ἐγώ[rpd-s] οὗτος[rdans] ὁ[dans] ὕδωρ[nans] ἵνα[c] μή[xo] διψάω[vspa1s] μηδέ[c] ἔρχομαι[vspn1s] ἐνθάδε[bo] ἀντλέω[vnpa]. **v.16** λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] ὑπάγω[vdpa2s] φωνέω[vdaa2s] ὁ[dams] ἀνήρ[nams] σύ[rpg-s] καί[c] ἔρχομαι[vdaa2s] ἐνθάδε[bo]. **v.17** ἀποκρίνομαι[viad3s] ὁ[dnfs] γυνή[nnfs] καί[c] λέγω[viaa3s] οὐ[xo] ἔχω[vipa1s] ἀνήρ[nams] λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] καλῶς[bo] λέγω[viaa2s] ὅτι[c] ἀνήρ[nams] οὐ[xo] ἔχω[vipa1s].

19 οὐκ ἔστιν σου ἀνήρ, τοῦτο ἀληθὲς εἴρηκας. λέγει αὐτῷ ἡ γυνή
20 Κύριε θεωρῶ ὅτι προφήτης εἶ σύ. οἱ πατέρες ἡμῶν ἐν τούτῳ
τῷ ὄρει προσεκύνησαν, καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις
21 ἐστὶν ὁ τόπος ὅπου δεῖ προσκυνεῖν. λέγει αὐτῇ ὁ Ἰησοῦς γύναι
πίστευσον μοι ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε
22 ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. ὑμεῖς προσκυνεῖτε
ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν ὅτι ἡ σωτηρία ἐκ
23 τῶν Ἰουδαίων ἐστίν. ἀλ᾽λ ἔρχεται ὥρα καὶ νῦν ἐστιν ὅτε οἱ ἀλη-
θινοὶ προσκυνηταὶ προσκυνήσουσιν τῷ πατρὶ ἐν πνεύματι καὶ
ἀληθείᾳ, καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας
24 αὐτόν. πνεῦμα ὁ θεός καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύ-
25 ματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. λέγει αὐτῷ ἡ γυνή Οἶδα ὅτι
Μεσσίας ἔρχεται ὁ λεγόμενος Χριστός, ὅταν ἔλθῃ ἐκεῖνος ἀναγ-
26 γελεῖ ἡμῖν πάντα. λέγει αὐτῇ ὁ Ἰησοῦς Ἐγώ εἰμι ὁ λαλῶν σοι.
27 Καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἐθαύμασαν ὅτι μετὰ
γυναικὸς ἐλάλει, οὐδεὶς μέντοι εἶπεν Τί ζητεῖς ἤ Τί λαλεῖς μετ
28 αὐτῆς. ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν
29 εἰς τὴν πόλιν καὶ λέγει τοῖς ἀνθρώποις. Δεῦτε ἴδετε ἄνθρωπον
ὅς εἶπέν μοι πάντα ὅσα ἐποίησα μήτι οὗτός ἐστιν ὁ Χριστός.
30, 31 ἐξῆλθον οὖν ἐκ τῆς πόλεως καὶ ἤρχοντο πρὸς αὐτόν. Ἐν δὲ

---

v.18 πέντε[tn] γάρ[c] ἀνήρ[namp] ἔχω[viaa2s] καί[c] νῦν[bo] ὅς[rrams] ἔχω[vipa2s] οὐ[xo] εἰμί[vipx3s] σύ[rpg-s] ἀνήρ[nnms] οὗτος[rdans] ἀληθής[aansn] λέγω[vixa2s]. **v.19** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnfs] γυνή[nnfs] κύριος[nvms] θεωρέω[vipa1s] ὅτι[c] προφήτης[nnms] εἰμί[vipx2s] σύ[rpn-s]. **v.20** ὁ[dnmp] πατήρ[nnmp] ἐγώ[rpg-p] ἐν[p] οὗτος[rddns] ὁ[ddns] ὄρος[ndns] προσκυνέω[viaa3p] καί[c] σύ[rpn-p] λέγω[vipa2p] ὅτι[c] ἐν[p] Ἱεροσόλυμα[ndnp] εἰμί[vipx3s] ὁ[dnms] τόπος[nnms] ὅπου[bo] δεῖ[vipq3s] προσκυνέω[vnpa]. **v.21** λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] γυνή[nvfs] πιστεύω[vdaa2s] ἐγώ[rpd-s] ὅτι[c] ἔρχομαι[vipn3s] ὥρα[nnfs] ὅτε[bo] οὔτε[c] ἐν[p] ὁ[ddns] ὄρος[ndns] οὗτος[rddns] οὔτε[c] ἐν[p] Ἱεροσόλυμα[ndnp] προσκυνέω[vifa2p] ὁ[ddms] πατήρ[ndms]. **v.22** σύ[rpn-p] προσκυνέω[vipa2p] ὅς[rrans] οὐ[xo] οἶδα[vixa2p] ἐγώ[rpn-p] προσκυνέω[vipa1p] ὅς[rrans] οἶδα[vixa1p] ὅτι[c] ὁ[dnfs] σωτηρία[nnfs] ἐκ[p] ὁ[dgmp] Ἰουδαῖος[agmpn] εἰμί[vipx3s]. **v.23** ἀλλά[c] ἔρχομαι[vipn3s] ὥρα[nnfs] καί[c] νῦν[bo] εἰμί[vipx3s] ὅτε[bo] ὁ[dnmp] ἀληθινός[anmpn] προσκυνητής[nnmp] προσκυνέω[vifa3p] ὁ[ddms] πατήρ[ndms] ἐν[p] πνεῦμα[ndns] καί[c] ἀλήθεια[ndfs] καί[c] γάρ[c] ὁ[dnms] πατήρ[nnms] τοιοῦτος[rdamp] ζητέω[vipa3s] ὁ[damp] προσκυνέω[vppaamp] αὐτός[rpams]. **v.24** πνεῦμα[nnns] ὁ[dnms] θεός[nnms] καί[c] ὁ[damp] προσκυνέω[vppaamp] αὐτός[rpams] ἐν[p] πνεῦμα[ndns] καί[c] ἀλήθεια[ndfs] δεῖ[vipq3s] προσκυνέω[vnpa]. **v.25** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnfs] γυνή[nnfs] οἶδα[vixa1s] ὅτι[c] Μεσσίας[nnms] ἔρχομαι[vipn3s] ὁ[dnms] λέγω[vpppnms] Χριστός[nnms] ὅταν[c] ἔρχομαι[vsaa3s] ἐκεῖνος[rdnms] ἀναγγέλλω[vifa3s] ἐγώ[rpd-p] πᾶς[aanpn]. **v.26** λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnms] λαλέω[vppanms] σύ[rpd-s]. **v.27** καί[c] ἐπί[p] οὗτος[rddms] ἔρχομαι[viaa3p] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] καί[c] θαυμάζω[viaa3p] ὅτι[c] μετά[p] γυνή[ngfs] λαλέω[viia3s] οὐδείς[anfsn] μέντοι[c] λέγω[viaa3s] τίς[rqans] ζητέω[vipa2s] ἤ[xo] τίς[rqans] λαλέω[vipa2s] μετά[p] αὐτός[rpgfs]. **v.28** ἀφίημι[viaa3s] οὖν[c] ὁ[dafs] ὑδρία[nafs] αὐτός[rpgfs] ὁ[dnfs] γυνή[nnfs] καί[c] ἀπέρχομαι[viaa3s] εἰς[p] ὁ[dafs] πόλις[nafs] καί[c] λέγω[vipa3s] ὁ[ddmp] ἄνθρωπος[ndmp]. **v.29** δεῦτε[vdvx2p] ὁράω[vdaa2p] ἄνθρωπος[nams] ὅς[rrnms] λέγω[viaa3s] ἐγώ[rpd-s] πᾶς[aanpn] ὅσος[rcanp] ποιέω[viaa1s] μήτι[xo] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] Χριστός[nnms]. **v.30** ἐξέρχομαι[viaa3p] οὖν[c] ἐκ[p] ὁ[dgfs] πόλις[ngfs] καί[c] ἔρχομαι[viin3p] πρός[p] αὐτός[rpams].

τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ λέγοντες Ῥαββί φάγε. ὁ 32
δὲ εἶπεν αὐτοῖς Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε.
ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους Μή τις ἤνεγκεν αὐτῷ 33
φαγεῖν. λέγει αὐτοῖς ὁ Ἰησοῦς Ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ 34
θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. οὐχ 35
ὑμεῖς λέγετε ὅτι Ἔτι τετράμηνόν ἐστιν καὶ ὁ θερισμὸς ἔρχεται
ἰδοὺ λέγω ὑμῖν ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε
τὰς χώρας ὅτι λευκαί εἰσιν πρὸς θερισμόν ἤδη. καὶ ὁ θερίζων 36
μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον ἵνα καὶ
ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. ἐν γὰρ τούτῳ ὁ λόγος 37
ἐστὶν ὁ ἀληθινὸς ὅτι Ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ θερί-
ζων. ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε, 38
ἄλλοι κεκοπιάκασιν καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύ-
θατε. Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν 39
τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης ὅτι
Εἶπέν μοι πάντα ὅσα ἐποίησα. ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ 40
Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ αὐτοῖς, καὶ ἔμεινεν ἐκεῖ
δύο ἡμέρας. καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον 41
αὐτοῦ. τῇ τε γυναικὶ ἔλεγον ὅτι Οὐκέτι διὰ τὴν σὴν λαλιὰν 42
πιστεύομεν, αὐτοὶ γὰρ ἀκηκόαμεν καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν
ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ Χριστός. Μετὰ δὲ τὰς δύο ἡ- 43

---

v.31 ἐν[p] δέ[c] ὁ[ddms] μεταξύ[bo] ἐρωτάω[viia3p] αὐτός[rpams] ὁ[dnmp] μαθητής[nnmp] λέγω[vppanmp] ῥαββί[th] ἐσθίω[vdaa2s]. **v.32** ὁ[dnms] δέ[c] λέγω[viaa3s] αὐτός[rpdmp] ἐγώ[rpn-s] βρῶσις[nafs] ἔχω[vipa1s] ἐσθίω[vnaa] ὅς[rrafs] σύ[rpn-p] οὐ[xo] οἶδα[vixa2p]. **v.33** λέγω[viia3p] οὖν[c] ὁ[dnmp] μαθητής[nnmp] πρός[p] ἀλλήλων[reamp] μή[xo] τι-σρινμσ φέρω[viaa3s] αὐτός[rpdms] ἐσθίω[vnaa]. **v.34** λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ἐμός[rsnns] βρῶμα[nnns] εἰμί[vipx3s] ἵνα[c] ποιέω[vspa1s] ὁ[dans] θέλημα[nans] ὁ[dgms] πέμπω[vpaagms] ἐγώ[rpa-s] καί[c] τελειόω[vsaa1s] αὐτός[rpgms] ὁ[dans] ἔργον[nans]. **v.35** οὐ[xo] σύ[rpn-p] λέγω[vipa2p] ὅτι[c] ἔτι[bo] τετράμηνος[annsn] εἰμί[vipx3s] καί[c] ὁ[dnms] θερισμός[nnms] ἔρχομαι[vipn3s] ἰδού[vdaa2s] λέγω[vipa1s] σύ[rpd-p] ἐπαίρω[vdaa2p] ὁ[damp] ὀφθαλμός[namp] σύ[rpg-p] καί[c] θεάομαι[vdad2p] ὁ[dafp] χώρα[nafp] ὅτι[c] λευκός[anfpn] εἰμί[vipx3p] πρός[p] θερισμός[nams] ἤδη[bo]. **v.36** καί[c] ὁ[dnms] θερίζω[vppanms] μισθός[nams] λαμβάνω[vipa3s] καί[c] συνάγω[vipa3s] καρπός[nams] εἰς[p] ζωή[nafs] αἰώνιος[aafsn] ἵνα[c] καί[c] ὁ[dnms] σπείρω[vppanms] ὁμοῦ[bo] χαίρω[vspa3s] καί[c] ὁ[dnms] θερίζω[vppanms]. **v.37** ἐν[p] γάρ[c] οὗτος[rddms] ὁ[dnms] λόγος[nnms] εἰμί[vipx3s] ὁ[dnms] ἀληθινός[anmsn] ὅτι[c] ἄλλος[anmsn] εἰμί[vipx3s] ὁ[dnms] σπείρω[vppanms] καί[c] ἄλλος[anmsn] ὁ[dnms] θερίζω[vppanms]. **v.38** ἐγώ[rpn-s] ἀποστέλλω[viaa1s] σύ[rpa-p] θερίζω[vnpa] ὅς[rrans] οὐ[xo] σύ[rpn-p] κοπιάω[vixa2p] ἄλλος[anmpn] κοπιάω[vixa3p] καί[c] σύ[rpn-p] εἰς[p] ὁ[dams] κόπος[nams] αὐτός[rpgmp] εἰσέρχομαι[vixa2p]. **v.39** ἐκ[p] δέ[c] ὁ[dgfs] πόλις[ngfs] ἐκεῖνος[rdgfs] πολύς[anmpn] πιστεύω[viaa3p] εἰς[p] αὐτός[rpams] ὁ[dgmp] Σαμαρίτης[ngmp] διά[p] ὁ[dams] λόγος[nams] ὁ[dgfs] γυνή[ngfs] μαρτυρέω[vppagfs] ὅτι[c] λέγω[viaa3s] ἐγώ[rpd-s] πᾶς[aanpn] ὅσος[rcanp] ποιέω[viaa1s]. **v.40** ὡς[bo] οὖν[c] ἔρχομαι[viaa3p] πρός[p] αὐτός[rpams] ὁ[dnmp] Σαμαρίτης[nnmp] ἐρωτάω[viia3p] αὐτός[rpams] μένω[vnaa] παρά[p] αὐτός[rpdmp] καί[c] μένω[viaa3s] ἐκεῖ[bo] δύο[tn] ἡμέρα[nafp]. **v.41** καί[c] πολύς[admsn] πολύς[anmpc] πιστεύω[viaa3p] διά[p] ὁ[dams] λόγος[nams] αὐτός[rpgms]. **v.42** ὁ[ddfs] τέ[xo] γυνή[ndfs] λέγω[viia3p] ὅτι[c] οὐκέτι[bo] διά[p] ὁ[dafs] σός[rsafs] λαλιά[nafs] πιστεύω[vipa1p] αὐτός[rpnmp] γάρ[c] ἀκούω[vixa1p] καί[c] οἶδα[vixa1p] ὅτι[c] οὗτος[rdnms] εἰμί[vipx3s] ἀληθῶς[bo] ὁ[dnms] σωτήρ[nnms] ὁ[dgms] κόσμος[ngms] ὁ[dnms] Χριστός[nnms].

44 μέρας ἐξῆλθεν ἐκεῖθεν καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν, αὐτὸς
γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι
45 τιμὴν οὐκ ἔχει. ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν ἐδέξαντο αὐ-
τὸν οἱ Γαλιλαῖοι πάντα ἑωρακότες ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις
46 ἐν τῇ ἑορτῇ καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν. Ἦλθεν οὖν
ὁ Ἰησοῦς πάλιν εἰς τὴν Κανὰ τῆς Γαλιλαίας ὅπου ἐποίησεν τὸ
ὕδωρ οἶνον καὶ ἦν τις βασιλικὸς οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερνα-
47 ούμ, οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν
Γαλιλαίαν ἀπῆλθεν πρὸς αὐτὸν καὶ ἠρώτα αὐτὸν, ἵνα καταβῇ
48 καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν ἤμελλεν γὰρ ἀποθνῄσκειν. εἶπεν
οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε οὐ
49 μὴ πιστεύσητε. λέγει πρὸς αὐτὸν ὁ βασιλικός Κύριε κατάβηθι
50 πρὶν ἀποθανεῖν τὸ παιδίον μου. λέγει αὐτῷ ὁ Ἰησοῦς Πορεύου
ὁ υἱός σου ζῇ καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ
51 Ἰησοῦς καὶ ἐπορεύετο. ἤδη δὲ αὐτοῦ καταβαίνοντος οἱ δοῦ-
λοι αὐτοῦ ἀπήντησαν αὐτῷ καὶ ἀπήγγειλαν λέγοντες ὅτι ὁ παῖς
52 σου ζῇ. ἐπύθετο οὖν παρ αὐτῶν τὴν ὥραν ἐν ᾗ κομψότερον
ἔσχεν, καὶ εἶπον αὐτῷ ὅτι Χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ
53 πυρετός. ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν
αὐτῷ ὁ Ἰησοῦς ὅτι Ὁ υἱός σου ζῇ καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ

---

v.43 μετά[p] δέ[c] ὁ[dafp] δύο[tn] ἡμέρα[nafp] ἐξέρχομαι[viaa3s] ἐκεῖθεν[bo] καί[c] ἀπέρχομαι[viaa3s] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs]. **v.44** αὐτός[rpnms] γάρ[c] ὁ[dnms] Ἰησοῦς[nnms] μαρτυρέω[viaa3s] ὅτι[c] προφήτης[nnms] ἐν[p] ὁ[ddfs] ἴδιος[adfsn] πατρίς[ndfs] τιμή[nafs] οὐ[xo] ἔχω[vipa3s]. **v.45** ὅτε[bo] οὖν[c] ἔρχομαι[viaa3s] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs] δέχομαι[viad3p] αὐτός[rpams] ὁ[dnmp] Γαλιλαῖος[nnmp] πᾶς[aanpn] ὁράω[vpxanmp] ὅς[rranp] ποιέω[viaa3s] ἐν[p] Ἱεροσόλυμα[ndnp] ἐν[p] ὁ[ddfs] ἑορτή[ndfs] καί[c] αὐτός[rpnmp] γάρ[c] ἔρχομαι[viaa3p] εἰς[p] ὁ[dafs] ἑορτή[nafs]. **v.46** ἔρχομαι[viaa3s] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] πάλιν[bo] εἰς[p] ὁ[dafs] Κανά[tp] ὁ[dgfs] Γαλιλαία[ngfs] ὅπου[bo] ποιέω[viaa3s] ὁ[dans] ὕδωρ[nans] οἶνος[nams] καί[c] εἰμί[viix3s] τι-σρινμσ βασιλικός[anmsn] ὅς[rrgms] ὁ[dnms] υἱός[nnms] ἀσθενέω[viia3s] ἐν[p] Καπερναούμ[tp]. **v.47** οὗτος[rdnms] ἀκούω[vpaanms] ὅτι[c] Ἰησοῦς[nnms] ἥκω[vipa3s] ἐκ[p] ὁ[dgfs] Ἰουδαία[ngfs] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs] ἀπέρχομαι[viaa3s] πρός[p] αὐτός[rpams] καί[c] ἐρωτάω[viia3s] αὐτός[rpams] ἵνα[c] καταβαίνω[vsaa3s] καί[c] ἰάομαι[vsad3s] αὐτός[rpgms] ὁ[dams] υἱός[nams] μέλλω[viia3s] γάρ[c] ἀποθνῄσκω[vnpa]. **v.48** λέγω[viaa3s] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] πρός[p] αὐτός[rpams] ἐάν[qo] μή[xo] σημεῖον[nanp] καί[c] τέρας[nanp] ὁράω[vsaa2p] οὐ[xo] μή[xo] πιστεύω[vsaa2p]. **v.49** λέγω[vipa3s] πρός[p] αὐτός[rpams] ὁ[dnms] βασιλικός[anmsn] κύριος[nvms] καταβαίνω[vdaa2s] πρίν[bo] ἀποθνῄσκω[vnaa] ὁ[dans] παιδίον[nans] ἐγώ[rpg-s]. **v.50** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] πορεύομαι[vdpn2s] ὁ[dnms] υἱός[nnms] σύ[rpg-s] ζάω[vipa3s] καί[c] πιστεύω[viaa3s] ὁ[dnms] ἄνθρωπος[nnms] ὁ[ddms] λόγος[ndms] ὅς[rrdms] λέγω[viaa3s] αὐτός[rpdms] Ἰησοῦς[nnms] καί[c] πορεύομαι[viin3s]. **v.51** ἤδη[bo] δέ[c] αὐτός[rpgms] καταβαίνω[vppagms] ὁ[dnmp] δοῦλος[nnmp] αὐτός[rpgms] ἀπαντάω[viaa3p] αὐτός[rpdms] καί[c] ἀπαγγέλλω[viaa3p] λέγω[vppanmp] ὅτι[c] ὁ[dnms] παῖς[nnms] σύ[rpg-s] ζάω[vipa3s]. **v.52** πυνθάνομαι[viad3s] οὖν[c] παρά[p] αὐτός[rpgmp] ὁ[dafs] ὥρα[nafs] ἐν[p] ὅς[rrdfs] κομψότερον[bo] ἔχω[viaa3s] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] ὅτι[c] ἐχθές[bo] ὥρα[nafs] ἕβδομος[aafsn] ἀφίημι[viaa3s] αὐτός[rpams] ὁ[dnms] πυρετός[nnms].

οἰκία αὐτοῦ ὅλη. Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ 54
Ἰησοῦς ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς **5**
Ἱεροσόλυμα. ἔστιν δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ 2
κολυμβήθρα ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς
ἔχουσα. ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούν- 3
των τυφλῶν χωλῶν ξηρῶν ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν.
ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ 4
ἐτάρασσεν τὸ ὕδωρ, ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ
ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατειχετο νοσήματι. ἦν δέ τις 5
ἄνθρωπος ἐκεῖ τριακονταοκτώ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ. τοῦτον 6
ἰδὼν ὁ Ἰησοῦς κατακείμενον καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον
ἔχει λέγει αὐτῷ Θέλεις ὑγιὴς γενέσθαι. ἀπεκρίθη αὐτῷ ὁ ἀ- 7
σθενῶν Κύριε ἄνθρωπον οὐκ ἔχω ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ
βάλλῃ με εἰς τὴν κολυμβήθραν, ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ ἄλλος
πρὸ ἐμοῦ καταβαίνει. λέγει αὐτῷ ὁ Ἰησοῦς ἐγεῖραι ἆρον τὸν 8
κράββατον σου καὶ περιπάτει. καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄν- 9
θρωπος καὶ ἦρεν τὸν κράββατον αὐτοῦ καὶ περιεπάτει Ἦν δὲ
σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθε- 10
ραπευμένῳ Σάββατόν ἐστιν οὐκ ἔξεστίν σοι ἆραι τὸν κράββατον.

---

v.53 γινώσκω[viaa3s] οὖν[c] ὁ[dnms] πατήρ[nnms] ὅτι[c] ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] ὥρα[ndfs] ἐν[p] ὅς[rrdfs] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] ὁ[dnms] υἱός[nnms] σύ[rpg-s] ζάω[vipa3s] καί[c] πιστεύω[viaa3s] αὐτός[rpnms] καί[c] ὁ[dnfs] οἰκία[nnfs] αὐτός[rpgms] ὅλος[anfsn]. **v.54** οὗτος[rdans] πάλιν[bo] δεύτερος[aansn] σημεῖον[nans] ποιέω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἔρχομαι[vpaanms] ἐκ[p] ὁ[dgfs] Ἰουδαία[ngfs] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs]. **5. v.1** μετά[p] οὗτος[rdanp] εἰμί[viix3s] ἑορτή[nnfs] ὁ[dgmp] Ἰουδαῖος[agmpn] καί[c] ἀναβαίνω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] Ἱεροσόλυμα[nafs]. **v.2** εἰμί[vipx3s] δέ[c] ἐν[p] ὁ[ddnp] Ἱεροσόλυμα[ndnp] ἐπί[p] ὁ[ddfs] προβατικός[adfsn] κολυμβήθρα[nnfs] ὁ[dnfs] ἐπιλέγω[vpppnfs] Ἑβραϊστί[bo] Βηθζαχά[tp] πέντε[tn] στοά[nafp] ἔχω[vppanfs]. **v.3** ἐν[p] οὗτος[rddfp] κατάκειμαι[viin3s] πλῆθος[nnns] πολύς[annsn] ὁ[dgmp] ἀσθενέω[vppagmp] τυφλός[agmpn] χωλός[agmpn] ξηρός[agmpn] ἐκδέχομαι[vppngmp] ὁ[dafs] ὁ[dgns] ὕδωρ[ngns] κίνησις[nafs]. **v.4** ἄγγελος[nnms] γάρ[c] κατά[p] καιρός[nams] καταβαίνω[viia3s] ἐν[p] ὁ[ddfs] κολυμβήθρα[ndfs] καί[c] ταράσσω[viia3s] ὁ[dans] ὕδωρ[nans] ὁ[dnms] οὖν[c] πρῶτος[anmsn] ἐμβαίνω[vpaanms] μετά[p] ὁ[dafs] ταραχή[nafs] ὁ[dgns] ὕδωρ[ngns] ὑγιής[anmsn] γίνομαι[viin3s] ὅς[rrdns] δήποτε[xo] κατέχω[viip3s] νόσημα[ndns]. **v.5** εἰμί[viix3s] δέ[c] τι-σρινμσ ἄνθρωπος[nnms] ἐκεῖ[bo] τριάκοντα[tn] ἔτος[nanp] ἔχω[vppanms] ἐν[p] ὁ[ddfs] ἀσθένεια[ndfs]. **v.6** οὗτος[rdams] ὁράω[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] κατάκειμαι[vppnams] καί[c] γινώσκω[vpaanms] ὅτι[c] πολύς[aamsn] ἤδη[bo] χρόνος[nams] ἔχω[vipa3s] λέγω[vipa3s] αὐτός[rpdms] θέλω[vipa2s] ὑγιής[anmsn] γίνομαι[vnad]. **v.7** ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] ὁ[dnms] ἀσθενέω[vppanms] κύριος[nvms] ἄνθρωπος[nams] οὐ[xo] ἔχω[vipa1s] ἵνα[c] ὅταν[c] ταράσσω[vsap3s] ὁ[dnns] ὕδωρ[nnns] βάλλω[vspa3s] ἐγώ[rpa-s] εἰς[p] ὁ[dafs] κολυμβήθρα[nafs] ἐν[p] ὅς[rrdms] δέ[c] ἔρχομαι[vipn1s] ἐγώ[rpn-s] ἄλλος[anmsn] πρό[p] ἐγώ[rpg-s] καταβαίνω[vipa3s]. **v.8** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἐγείρω[vdam2s] αἴρω[vdaa2s] ὁ[dams] κράβαττος[nams] σύ[rpg-s] καί[c] περιπατέω[vdpa2s]. **v.9** καί[c] εὐθέως[bo] γίνομαι[viad3s] ὑγιής[anmsn] ὁ[dnms] ἄνθρωπος[nnms] καί[c] αἴρω[viaa3s] ὁ[dams] κράβαττος[nams] αὐτός[rpgms] καί[c] περιπατέω[viia3s] εἰμί[viix3s] δέ[c] σάββατον[nnns] ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfs]. **v.10** λέγω[viia3p] οὖν[c] ὁ[dnmp] Ἰουδαῖος[anmpn] ὁ[ddms] θεραπεύω[vpxpdms] σάββατον[nnns] εἰμί[vipx3s] οὐ[xo] ἔξεστι[vipq3s] σύ[rpd-s] αἴρω[vnaa] ὁ[dams] κράβαττος[nams].

11 ἀπεκρίθη αὐτοῖς ὁ ποιήσας με ὑγιῆ ἐκεῖνός μοι εἶπεν Ἆρον τὸν
12 κράββατόν σου καὶ περιπάτει. ἠρώτησαν οὖν αὐτόν Τίς ἐστιν ὁ
ἄνθρωπος ὁ εἰπών σοι Ἆρον τὸν κράββατον σου καὶ περιπάτει.
13 ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου
14 ὄντος ἐν τῷ τόπῳ. μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ
ἱερῷ καὶ εἶπεν αὐτῷ Ἴδε ὑγιὴς γέγονας μηκέτι ἁμάρτανε ἵνα
15 μὴ χεῖρόν τι σοί γένηται. ἀπῆλθεν ὁ ἄνθρωπος καὶ ἀνήγγει-
16 λεν τοῖς Ἰουδαίοις ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ. καὶ
διὰ τοῦτο ἐδίωκον τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι καὶ ἐζήτουν αὐτὸν
17 ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. ὁ δὲ Ἰησοῦς ἀπεκρί-
νατο αὐτοῖς Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι.
18 διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι ὅτι
οὐ μόνον ἔλυεν τὸ σάββατον ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγεν τὸν
19 θεόν ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ. Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ
εἶπεν αὐτοῖς Ἀμὴν ἀμὴν λέγω ὑμῖν οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ
ἑαυτοῦ οὐδὲν ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα, ἃ γὰρ ἂν
20 ἐκεῖνος ποιῇ ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. ὁ γὰρ πατὴρ φιλεῖ
τὸν υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ καὶ μείζονα
21 τούτων δείξει αὐτῷ ἔργα ἵνα ὑμεῖς θαυμάζητε. ὥσπερ γὰρ ὁ
πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζῳοποιεῖ οὕτως καὶ ὁ υἱὸς οὓς

---

v.11 ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] ὁ[dnms] ποιέω[vpaanms] ἐγώ[rpa-s] ὑγιής[aamsn] ἐκεῖνος[rdnms] ἐγώ[rpd-s] λέγω[viaa3s] αἴρω[vdaa2s] ὁ[dams] κράβαττος[nams] σύ[rpg-s] καί[c] περιπατέω[vdpa2s]. **v.12** ἐρωτάω[viaa3p] οὖν[c] αὐτός[rpams] τίς[rqnms] εἰμί[vipx3s] ὁ[dnms] ἄνθρωπος[nnms] ὁ[dnms] λέγω[vpaanms] σύ[rpd-s] αἴρω[vdaa2s] ὁ[dams] κράβαττος[nams] σύ[rpg-s] καί[c] περιπατέω[vdpa2s]. **v.13** ὁ[dnms] δέ[c] ἰάομαι[vpapnms] οὐ[xo] οἶδα[viya3s] τίς[rqnms] εἰμί[vipx3s] ὁ[dnms] γάρ[c] Ἰησοῦς[nnms] ἐκνεύω[viaa3s] ὄχλος[ngms] εἰμί[vppxgms] ἐν[p] ὁ[ddms] τόπος[ndms]. **v.14** μετά[p] οὗτος[rdanp] εὑρίσκω[vipa3s] αὐτός[rpams] ὁ[dnms] Ἰησοῦς[nnms] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ἴδε[i] ὑγιής[anmsn] γίνομαι[vixa2s] μηκέτι[bo] ἁμαρτάνω[vdpa2s] ἵνα[c] μή[xo] χείρων[annsn] τι-σριννσ σύ[rpd-s] γίνομαι[vsad3s]. **v.15** ἀπέρχομαι[viaa3s] ὁ[dnms] ἄνθρωπος[nnms] καί[c] ἀναγγέλλω[viaa3s] ὁ[ddmp] Ἰουδαῖος[admpn] ὅτι[c] Ἰησοῦς[nnms] εἰμί[vipx3s] ὁ[dnms] ποιέω[vpaanms] αὐτός[rpams] ὑγιής[aamsn]. **v.16** καί[c] διά[p] οὗτος[rdans] διώκω[viia3p] ὁ[dams] Ἰησοῦς[nams] ὁ[dnmp] Ἰουδαῖος[anmpn] καί[c] ζητέω[viia3p] αὐτός[rpams] ἀποκτείνω[vnaa] ὅτι[c] οὗτος[rdanp] ποιέω[viia3s] ἐν[p] σάββατον[ndns]. **v.17** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ἕως[c] ἄρτι[bo] ἐργάζομαι[vipn3s] κἀγώ[rpn-s] ἐργάζομαι[vipn1s]. **v.18** διά[p] οὗτος[rdans] οὖν[c] μᾶλλον[bo] ζητέω[viia3p] αὐτός[rpams] ὁ[dnmp] Ἰουδαῖος[anmpn] ἀποκτείνω[vnaa] ὅτι[c] οὐ[xo] μόνος[bo] λύω[viia3s] ὁ[dans] σάββατον[nans] ἀλλά[c] καί[c] πατήρ[nams] ἴδιος[aamsn] λέγω[viia3s] ὁ[dams] θεός[nams] ἴσος[aamsn] ἑαυτοῦ[rxams] ποιέω[vppanms] ὁ[ddms] θεός[ndms]. **v.19** ἀποκρίνομαι[viad3s] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] οὐ[xo] δύναμαι[vipn3s] ὁ[dnms] υἱός[nnms] ποιέω[vnpa] ἀπό[p] ἑαυτοῦ[rxgms] οὐδείς[aansn] ἐάν[qo] μή[xo] τι-σριανσ βλέπω[vspa3s] ὁ[dams] πατήρ[nams] ποιέω[vppaams] ὅς[rranp] γάρ[c] ἄν[xo] ἐκεῖνος[rdnms] ποιέω[vspa3s] οὗτος[rdanp] καί[c] ὁ[dnms] υἱός[nnms] ὁμοίως[bo] ποιέω[vipa3s]. **v.20** ὁ[dnms] γάρ[c] πατήρ[nnms] φιλέω[vipa3s] ὁ[dams] υἱός[nams] καί[c] πᾶς[aanpn] δείκνυμι[vipa3s] αὐτός[rpdms] ὅς[rranp] αὐτός[rpnms] ποιέω[vipa3s] καί[c] μέγας[aanpc] οὗτος[rdgnp] δείκνυμι[vifa3s] αὐτός[rpdms] ἔργον[nanp] ἵνα[c] σύ[rpn-p] θαυμάζω[vspa2p].

θέλει ζῳοποιεῖ. οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα ἀλλὰ τὴν κρί- 22
σιν πᾶσαν δέδωκεν τῷ υἱῷ. ἵνα πάντες τιμῶσίν τὸν υἱὸν καθὼς 23
τιμῶσίν τὸν πατέρα ὁ μὴ τιμῶν τὸν υἱὸν οὐ τιμᾷ τὸν πατέρα τὸν
πέμψαντα αὐτόν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου 24
ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον καὶ εἰς
κρίσιν οὐκ ἔρχεται ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν
ζωήν. ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστιν 25
ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ καὶ οἱ
ἀκούσαντες ζήσονται. ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ 26
οὕτως ἔδωκεν καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. καὶ ἐξουσίαν 27
ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν ὅτι υἱὸς ἀνθρώπου ἐστίν. μὴ 28
θαυμάζετε τοῦτο ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνη-
μείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ. καὶ ἐκπορεύσονται οἱ τὰ 29
ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς οἱ δὲ τὰ φαῦλα πράξαντες
εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ ἐμαυτοῦ 30
οὐδέν, καθὼς ἀκούω κρίνω καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν ὅτι
οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με
πατρός. ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ ἡ μαρτυρία μου οὐκ 31
ἔστιν ἀληθής, ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ καὶ οἶδα ὅτι 32
ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ. ὑμεῖς ἀπε- 33

---

v.21 ὥσπερ[bo] γάρ[c] ὁ[dnms] πατήρ[nnms] ἐγείρω[vipa3s] ὁ[damp] νεκρός[aampn] καί[c] ζῳοποιέω[vipa3s] οὕτω[bo] καί[c] ὁ[dnms] υἱός[nnms] ὅς[rramp] θέλω[vipa3s] ζῳοποιέω[vipa3s]. **v.22** οὐδέ[bo] γάρ[c] ὁ[dnms] πατήρ[nnms] κρίνω[vipa3s] οὐδείς[aamsn] ἀλλά[c] ὁ[dafs] κρίσις[nafs] πᾶς[aafsn] δίδωμι[vixa3s] ὁ[ddms] υἱός[ndms]. **v.23** ἵνα[c] πᾶς[anmpn] τιμάω[vspa3p] ὁ[dams] υἱός[nams] καθώς[bo] τιμάω[vipa3p] ὁ[dams] πατήρ[nams] ὁ[dnms] μή[xo] τιμάω[vppanms] ὁ[dams] υἱός[nams] οὐ[xo] τιμάω[vipa3s] ὁ[dams] πατήρ[nams] ὁ[dams] πέμπω[vpaaams] αὐτός[rpams]. **v.24** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ὁ[dnms] ὁ[dams] λόγος[nams] ἐγώ[rpg-s] ἀκούω[vppanms] καί[c] πιστεύω[vppanms] ὁ[ddms] πέμπω[vpaadms] ἐγώ[rpa-s] ἔχω[vipa3s] ζωή[nafs] αἰώνιος[aafsn] καί[c] εἰς[p] κρίσις[nafs] οὐ[xo] ἔρχομαι[vipn3s] ἀλλά[c] μεταβαίνω[vixa3s] ἐκ[p] ὁ[dgms] θάνατος[ngms] εἰς[p] ὁ[dafs] ζωή[nafs]. **v.25** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ἔρχομαι[vipn3s] ὥρα[nnfs] καί[c] νῦν[bo] εἰμί[vipx3s] ὅτε[bo] ὁ[dnmp] νεκρός[anmpn] ἀκούω[vifd3p] ὁ[dgfs] φωνή[ngfs] ὁ[dgms] υἱός[ngms] ὁ[dgms] θεός[ngms] καί[c] ὁ[dnmp] ἀκούω[vpaanmp] ζάω[vifd3p]. **v.26** ὥσπερ[bo] γάρ[c] ὁ[dnms] πατήρ[nnms] ἔχω[vipa3s] ζωή[nafs] ἐν[p] ἑαυτοῦ[rxdms] οὕτω[bo] δίδωμι[viaa3s] καί[c] ὁ[ddms] υἱός[ndms] ζωή[nafs] ἔχω[vnpa] ἐν[p] ἑαυτοῦ[rxdms]. **v.27** καί[c] ἐξουσία[nafs] δίδωμι[viaa3s] αὐτός[rpdms] καί[c] κρίσις[nafs] ποιέω[vnpa] ὅτι[c] υἱός[nnms] ἄνθρωπος[ngms] εἰμί[vipx3s]. **v.28** μή[xo] θαυμάζω[vdpa2p] οὗτος[rdans] ὅτι[c] ἔρχομαι[vipn3s] ὥρα[nnfs] ἐν[p] ὅς[rrdfs] πᾶς[anmpn] ὁ[dnmp] ἐν[p] ὁ[ddnp] μνημεῖον[ndnp] ἀκούω[vifd3p] ὁ[dgfs] φωνή[ngfs] αὐτός[rpgms]. **v.29** καί[c] ἐκπορεύομαι[vifd3p] ὁ[dnmp] ὁ[danp] ἀγαθός[aanpn] ποιέω[vpaanmp] εἰς[p] ἀνάστασις[nafs] ζωή[ngfs] ὁ[dnmp] δέ[c] ὁ[danp] φαῦλος[aanpn] πράσσω[vpaanmp] εἰς[p] ἀνάστασις[nafs] κρίσις[ngfs]. **v.30** οὐ[xo] δύναμαι[vipn1s] ἐγώ[rpn-s] ποιέω[vnpa] ἀπό[p] ἐμαυτοῦ[rxgms] οὐδείς[aansn] καθώς[bo] ἀκούω[vipa1s] κρίνω[vipa1s] καί[c] ὁ[dnfs] κρίσις[nnfs] ὁ[dnfs] ἐμός[rsnfs] δίκαιος[anfsn] εἰμί[vipx3s] ὅτι[c] οὐ[xo] ζητέω[vipa1s] ὁ[dans] θέλημα[nans] ὁ[dans] ἐμός[rsans] ἀλλά[c] ὁ[dans] θέλημα[nans] ὁ[dgms] πέμπω[vpaagms] ἐγώ[rpa-s] πατήρ[ngms]. **v.31** ἐάν[qo] ἐγώ[rpn-s] μαρτυρέω[vspa1s] περί[p] ἐμαυτοῦ[rxgms] ὁ[dnfs] μαρτυρία[nnfs] ἐγώ[rpg-s] οὐ[xo] εἰμί[vipx3s] ἀληθής[anfsn]. **v.32** ἄλλος[anmsn] εἰμί[vipx3s] ὁ[dnms] μαρτυρέω[vppanms] περί[p] ἐγώ[rpg-s] καί[c] οἶδα[vixa1s] ὅτι[c] ἀληθής[anfsn] εἰμί[vipx3s] ὁ[dnfs] μαρτυρία[nnfs] ὅς[rrafs] μαρτυρέω[vipa3s] περί[p] ἐγώ[rpg-s].

34 στάλκατε πρὸς Ἰωάννην καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ, ἐγὼ δὲ
οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω ἀλλὰ ταῦτα λέγω
35 ἵνα ὑμεῖς σωθῆτε. ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαί-
νων ὑμεῖς δὲ ἠθελήσατε αγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ
36 αὐτοῦ. ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου, τὰ γὰρ
ἔργα ἃ ἔδωκέν μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτά αὐτὰ τὰ ἔργα ἃ
37 ἐγὼ ποιῶ μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με ἀπέσταλκεν, καὶ
ὁ πέμψας με πατὴρ αὐτὸς μεμαρτύρηκεν περὶ ἐμοῦ οὔτε φω-
38 νὴν αὐτοῦ ἀκηκόατε πώποτε οὔτε εἶδος αὐτοῦ ἑωράκατε. καὶ
τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν ὅτι ὃν ἀπέστειλεν
39 ἐκεῖνος τούτῳ ὑμεῖς οὐ πιστεύετε. ἐρευνᾶτε τὰς γραφάς ὅτι
ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, καὶ ἐκεῖναί εἰσιν αἱ
40 μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε ἐλθεῖν πρός με ἵνα ζω-
41, 42 ὴν ἔχητε. Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω. ἀλ᾽λ ἔγνωκα
43 ὑμᾶς ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. ἐγὼ ἐλή-
λυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου καὶ οὐ λαμβάνετέ με, ἐὰν
44 ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ ἐκεῖνον λήψεσθε. πῶς δύ-
νασθε ὑμεῖς πιστεῦσαι δόξαν παρὰ ἀλλήλων λαμβάνοντες καὶ
45 τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε. μὴ δοκεῖτε
ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα, ἔστιν ὁ κατηγορῶν
46 ὑμῶν Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. εἰ γὰρ ἐπιστεύετε Μω-

---

v.33 σύ[rpn-p] ἀποστέλλω[vixa2p] πρός[p] Ἰωάννης[nams] καί[c] μαρτυρέω[vixa3s] ὁ[ddfs] ἀλήθεια[ndfs]. **v.34** ἐγώ[rpn-s] δέ[c] οὐ[xo] παρά[p] ἄνθρωπος[ngms] ὁ[dafs] μαρτυρία[nafs] λαμβάνω[vipa1s] ἀλλά[c] οὗτος[rdanp] λέγω[vipa1s] ἵνα[c] σύ[rpn-p] σῴζω[vsap2p]. **v.35** ἐκεῖνος[rdnms] εἰμί[viix3s] ὁ[dnms] λύχνος[nnms] ὁ[dnms] καίω[vpppnms] καί[c] φαίνω[vppanms] σύ[rpn-p] δέ[c] θέλω[viaa2p] ἀγαλλιάω[vnao] πρός[p] ὥρα[nafs] ἐν[p] ὁ[ddns] φῶς[ndns] αὐτός[rpgms]. **v.36** ἐγώ[rpn-s] δέ[c] ἔχω[vipa1s] ὁ[dafs] μαρτυρία[nafs] μέγας[aafsc] ὁ[dgms] Ἰωάννης[ngms] ὁ[dnnp] γάρ[c] ἔργον[nnnp] ὅς[rranp] δίδωμι[viaa3s] ἐγώ[rpd-s] ὁ[dnms] πατήρ[nnms] ἵνα[c] τελειόω[vsaa1s] αὐτός[rpanp] αὐτός[rpnnp] ὁ[dnnp] ἔργον[nnnp] ὅς[rranp] ἐγώ[rpn-s] ποιέω[vipa1s] μαρτυρέω[vipa3s] περί[p] ἐγώ[rpg-s] ὅτι[c] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpa-s] ἀποστέλλω[vixa3s]. **v.37** καί[c] ὁ[dnms] πέμπω[vpaanms] ἐγώ[rpa-s] πατήρ[nnms] αὐτός[rpnms] μαρτυρέω[vixa3s] περί[p] ἐγώ[rpg-s] οὔτε[c] φωνή[nafs] αὐτός[rpgms] ἀκούω[vixa2p] πώποτε[bo] οὔτε[c] εἶδος[nans] αὐτός[rpgms] ὁράω[vixa2p]. **v.38** καί[c] ὁ[dams] λόγος[nams] αὐτός[rpgms] οὐ[xo] ἔχω[vipa2p] μένω[vppaams] ἐν[p] σύ[rpd-p] ὅτι[c] ὅς[rrams] ἀποστέλλω[viaa3s] ἐκεῖνος[rdnms] οὗτος[rddms] σύ[rpn-p] οὐ[xo] πιστεύω[vipa2p]. **v.39** ἐραυνάω[vipa2p] ὁ[dafp] γραφή[nafp] ὅτι[c] σύ[rpn-p] δοκέω[vipa2p] ἐν[p] αὐτός[rpdfp] ζωή[nafs] αἰώνιος[aafsn] ἔχω[vnpa] καί[c] ἐκεῖνος[rdnfp] εἰμί[vipx3p] ὁ[dnfp] μαρτυρέω[vppanfp] περί[p] ἐγώ[rpg-s]. **v.40** καί[c] οὐ[xo] θέλω[vipa2p] ἔρχομαι[vnaa] πρός[p] ἐγώ[rpa-s] ἵνα[c] ζωή[nafs] ἔχω[vspa2p]. **v.41** δόξα[nafs] παρά[p] ἄνθρωπος[ngmp] οὐ[xo] λαμβάνω[vipa1s]. **v.42** ἀλλά[c] γινώσκω[vixa1s] σύ[rpa-p] ὅτι[c] ὁ[dafs] ἀγάπη[nafs] ὁ[dgms] θεός[ngms] οὐ[xo] ἔχω[vipa2p] ἐν[p] ἑαυτοῦ[rxdmp]. **v.43** ἐγώ[rpn-s] ἔρχομαι[vixa1s] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] καί[c] οὐ[xo] λαμβάνω[vipa2p] ἐγώ[rpa-s] ἐάν[qo] ἄλλος[anmsn] ἔρχομαι[vsaa3s] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ὁ[ddns] ἴδιος[adnsn] ἐκεῖνος[rdams] λαμβάνω[vifd2p]. **v.44** πῶς[bo] δύναμαι[vipn2p] σύ[rpn-p] πιστεύω[vnaa] δόξα[nafs] παρά[p] ἀλλήλων[regmp] λαμβάνω[vppanmp] καί[c] ὁ[dafs] δόξα[nafs] ὁ[dafs] παρά[p] ὁ[dgms] μόνος[agmsn] θεός[ngms] οὐ[xo] ζητέω[vipa2p]. **v.45** μή[xo] δοκέω[vdpa2p] ὅτι[c] ἐγώ[rpn-s] κατηγορέω[vifa1s] σύ[rpg-p] πρός[p] ὁ[dams] πατήρ[nams] εἰμί[vipx3s] ὁ[dnms] κατηγορέω[vppanms] σύ[rpg-p] Μωϋσῆς[nnms] εἰς[p] ὅς[rrams] σύ[rpn-p] ἐλπίζω[vixa2p].

σῃ̃, ἐπιστεύετε ἂν ἐμοί, περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. εἰ δὲ 47
τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε πῶς τοῖς ἐμοῖς ῥήμασιν
πιστεύσετε.

Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γα- **6**
λιλαίας τῆς Τιβεριάδος. καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς ὅτι 2
ἑώρων αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. ἀνῆλ- 3
θεν δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν
αὐτοῦ. ἦν δὲ ἐγγὺς τὸ πάσχα ἡ ἑορτὴ τῶν Ἰουδαίων. ἐπά- 4, 5
ρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς καὶ θεασάμενος ὅτι πολὺς
ὄχλος ἔρχεται πρὸς αὐτὸν λέγει πρὸς τὸν Φίλιππον Πόθεν ἀ-
γοράσομεν ἄρτους ἵνα φάγωσιν οὗτοι. τοῦτο δὲ ἔλεγεν πειρά- 6
ζων αὐτόν, αὐτὸς γὰρ ᾔδει τί ἔμελλεν ποιεῖν. ἀπεκρίθη αὐτῷ 7
Φίλιππος Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς ἵνα
ἕκαστος αὐτῶν βραχύ τι λάβῃ. λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν 8
αὐτοῦ Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου. Ἔστιν παιδάριον 9
ἓν ὧδε ὃ ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια, ἀλλὰ
ταῦτα τί ἐστιν εἰς τοσούτους. εἶπεν δὲ ὁ Ἰησοῦς Ποιήσατε τοὺς 10
ἀνθρώπους ἀναπεσεῖν ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ ἀνέπεσον
οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι. ἔλαβεν δὲ τοὺς 11
ἄρτους ὁ Ἰησοῦς καὶ εὐχαριστήσας διέδωκεν τοῖς μαθηταῖς, οἱ
δέ μαθηταὶ τοῖς ἀνακειμένοις ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅ-

---

v.46 εἰ[qo] γάρ[c] πιστεύω[viia2p] Μωϋσῆς[ndms] πιστεύω[viia2p] ἄν[xo] ἐγώ[rpd-s] περί[p] γάρ[c] ἐγώ[rpg-s] ἐκεῖνος[rdnms] γράφω[viaa3s]. **v.47** εἰ[qo] δέ[c] ὁ[ddnp] ἐκεῖνος[rdgms] γράμμα[ndnp] οὐ[xo] πιστεύω[vipa2p] πῶς[bo] ὁ[ddnp] ἐμός[rsdnp] ῥῆμα[ndnp] πιστεύω[vifa2p]. **6. v.1** μετά[p] οὗτος[rdanp] ἀπέρχομαι[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] πέραν[bo] ὁ[dgfs] θάλασσα[ngfs] ὁ[dgfs] Γαλιλαία[ngfs] ὁ[dgfs] Τιβεριάς[ngfs]. **v.2** καί[c] ἀκολουθέω[viia3s] αὐτός[rpdms] ὄχλος[nnms] πολύς[anmsn] ὅτι[c] ὁράω[viia3p] αὐτός[rpgms] ὁ[danp] σημεῖον[nanp] ὅς[rranp] ποιέω[viia3s] ἐπί[p] ὁ[dgmp] ἀσθενέω[vppagmp]. **v.3** ἀνέρχομαι[viaa3s] δέ[c] εἰς[p] ὁ[dans] ὄρος[nans] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ἐκεῖ[bo] κάθημαι[viin3s] μετά[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms]. **v.4** εἰμί[viix3s] δέ[c] ἐγγύς[bo] ὁ[dnns] πάσχα[ta] ὁ[dnfs] ἑορτή[nnfs] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.5** ἐπαίρω[vpaanms] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[damp] ὀφθαλμός[namp] καί[c] θεάομαι[vpadnms] ὅτι[c] πολύς[anmsn] ὄχλος[nnms] ἔρχομαι[vipn3s] πρός[p] αὐτός[rpams] λέγω[vipa3s] πρός[p] ὁ[dams] Φίλιππος[nams] πόθεν[bo] ἀγοράζω[vifa1p] ἄρτος[namp] ἵνα[c] ἐσθίω[vsaa3p] οὗτος[rdnmp]. **v.6** οὗτος[rdans] δέ[c] λέγω[viia3s] πειράζω[vppanms] αὐτός[rpams] αὐτός[rpnms] γάρ[c] οἶδα[viya3s] τίς[rqans] μέλλω[viia3s] ποιέω[vnpa]. **v.7** ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] Φίλιππος[nnms] διακόσιοι[ngnp] δηνάριον[ngnp] ἄρτος[nnmp] οὐ[xo] ἀρκέω[vipa3p] αὐτός[rpdmp] ἵνα[c] ἕκαστος[anmsn] αὐτός[rpgmp] βραχύς[aansn] τι-σριανσ λαμβάνω[vsaa3s]. **v.8** λέγω[vipa3s] αὐτός[rpdms] εἷς[nnms] ἐκ[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] Ἀνδρέας[nnms] ὁ[dnms] ἀδελφός[nnms] Σίμων[ngms] Πέτρος[ngms]. **v.9** εἰμί[vipx3s] παιδάριον[nnns] εἷς[nnns] ὧδε[bo] ὅς[rrnns] ἔχω[vipa3s] πέντε[tn] ἄρτος[namp] κρίθινος[aampn] καί[c] δύο[tn] ὀψάριον[nanp] ἀλλά[c] οὗτος[rdnnp] τίς[rqnns] εἰμί[vipx3s] εἰς[p] τοσοῦτος[rdamp]. **v.10** λέγω[viaa3s] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] ποιέω[vdaa2p] ὁ[damp] ἄνθρωπος[namp] ἀναπίπτω[vnaa] εἰμί[viix3s] δέ[c] χόρτος[nnms] πολύς[anmsn] ἐν[p] ὁ[ddms] τόπος[ndms] ἀναπίπτω[viaa3p] οὖν[c] ὁ[dnmp] ἀνήρ[nnmp] ὁ[dams] ἀριθμός[nams] ὡσεί[bo] πεντακισχίλιοι[nnmp].

12 σον ἤθελον. ὡς δὲ ἐνεπλήσθησαν λέγει τοῖς μαθηταῖς αὐτοῦ
Συναγάγετε τὰ περισσεύσαντα κλάσματα ἵνα μή τι ἀπόληται.
13 συνήγαγον οὖν καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ
τῶν πέντε ἄρτων τῶν κριθίνων ἃ ἐπερίσσευσεν τοῖς βεβρωκόσιν.
14 Οἱ οὖν ἄνθρωποι ἰδόντες ὃ ἐποίησεν σημεῖον ὁ Ἰησοῦς, ἔλε-
γον ὅτι Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν
15 κόσμον. Ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρ-
πάζειν αὐτὸν ἵνα ποιήσωσιν αὐτὸν, βασιλέα ἀνεχώρησεν πάλιν
16 εἰς τὸ ὄρος αὐτὸς μόνος. Ὡς δὲ ὀψία ἐγένετο κατέβησαν οἱ
17 μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν. καὶ ἐμβάντες εἰς τὸ πλοῖον
ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ. καὶ σκοτία ἤδη
18 ἐγεγόνει καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς. ἥ τε θά-
19 λασσα ἀνέμου μεγάλου πνέοντος διηγείρετο. ἐληλακότες οὖν
ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα θεωροῦσιν τὸν Ἰησοῦν πε-
ριπατοῦντα ἐπὶ τῆς θαλάσσης καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον
20 καὶ ἐφοβήθησαν. ὁ δὲ λέγει αὐτοῖς Ἐγώ εἰμι μὴ φοβεῖσθε.
21 ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον καὶ εὐθέως τὸ πλοῖον
22 ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον. Τῇ ἐπαύριον ὁ ὄχλος ὁ
ἑστηκὼς πέραν τῆς θαλάσσης ἰδὼν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν
ἐκεῖ εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ καὶ ὅτι
οὐ συνεισῆλθεν τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιάριον

---

v.11 λαμβάνω[viaa3s] δέ[c] ὁ[damp] ἄρτος[namp] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] εὐχαριστέω[vpaanms] διαδίδωμι[viaa3s] ὁ[ddmp] μαθητής[ndmp] ὁ[dnmp] δέ[c] μαθητής[nnmp] ὁ[ddmp] ἀνάκειμαι[vppndmp] ὁμοίως[bo] καί[c] ἐκ[p] ὁ[dgnp] ὀψάριον[ngnp] ὅσος[rcans] θέλω[viia3p]. **v.12** ὡς[bo] δέ[c] ἐμπίπλημι[viap3p] λέγω[vipa3s] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] συνάγω[vdaa2p] ὁ[danp] περισσεύω[vpaaanp] κλάσμα[nanp] ἵνα[c] μή[xo] τι-σριανσ ἀπόλλυμι[vsam3s]. **v.13** συνάγω[viaa3p] οὖν[c] καί[c] γεμίζω[viaa3p] δώδεκα[tn] κόφινος[namp] κλάσμα[ngnp] ἐκ[p] ὁ[dgmp] πέντε[tn] ἄρτος[ngmp] ὁ[dgmp] κρίθινος[agmpn] ὅς[rranp] περισσεύω[viaa3s] ὁ[ddmp] βιβρώσκω[vpxadmp]. **v.14** ὁ[dnmp] οὖν[c] ἄνθρωπος[nnmp] ὁράω[vpaanmp] ὅς[rrans] ποιέω[viaa3s] σημεῖον[nans] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viia3p] ὅτι[c] οὗτος[rdnms] εἰμί[vipx3s] ἀληθῶς[bo] ὁ[dnms] προφήτης[nnms] ὁ[dnms] ἔρχομαι[vppnnms] εἰς[p] ὁ[dams] κόσμος[nams]. **v.15** Ἰησοῦς[nnms] οὖν[c] γινώσκω[vpaanms] ὅτι[c] μέλλω[vipa3p] ἔρχομαι[vnpn] καί[c] ἁρπάζω[vnpa] αὐτός[rpams] ἵνα[c] ποιέω[vsaa3p] αὐτός[rpams] βασιλεύς[nams] ἀναχωρέω[viaa3s] πάλιν[bo] εἰς[p] ὁ[dans] ὄρος[nans] αὐτός[rpnms] μόνος[anmsn]. **v.16** ὡς[bo] δέ[c] ὄψιος[anfsn] γίνομαι[viad3s] καταβαίνω[viaa3p] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ἐπί[p] ὁ[dafs] θάλασσα[nafs]. **v.17** καί[c] ἐμβαίνω[vpaanmp] εἰς[p] ὁ[dans] πλοῖον[nans] ἔρχομαι[viin3p] πέραν[bo] ὁ[dgfs] θάλασσα[ngfs] εἰς[p] Καπερναούμ[tp] καί[c] σκοτία[nnfs] ἤδη[bo] γίνομαι[viya3s] καί[c] οὐ[xo] ἔρχομαι[viya3s] πρός[p] αὐτός[rpamp] ὁ[dnms] Ἰησοῦς[nnms]. **v.18** ὁ[dnfs] τέ[xo] θάλασσα[nnfs] ἄνεμος[ngms] μέγας[agmsn] πνέω[vppagms] διεγείρω[viip3s]. **v.19** ἐλαύνω[vpxanmp] οὖν[c] ὡς[bo] στάδιος[nanp] εἴκοσι[tn] ἤ[xo] τριάκοντα[tn] θεωρέω[vipa3p] ὁ[dams] Ἰησοῦς[nams] περιπατέω[vppaams] ἐπί[p] ὁ[dgfs] θάλασσα[ngfs] καί[c] ἐγγύς[bo] ὁ[dgns] πλοῖον[ngns] γίνομαι[vppnams] καί[c] φοβέομαι[viao3p]. **v.20** ὁ[dnms] δέ[c] λέγω[vipa3s] αὐτός[rpdmp] ἐγώ[rpn-s] εἰμί[vipx1s] μή[xo] φοβέομαι[vdpn2p]. **v.21** θέλω[viia3p] οὖν[c] λαμβάνω[vnaa] αὐτός[rpams] εἰς[p] ὁ[dans] πλοῖον[nans] καί[c] εὐθέως[bo] ὁ[dnns] πλοῖον[nnns] γίνομαι[viad3s] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] εἰς[p] ὅς[rrafs] ὑπάγω[viia3p].

ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ, ἀπῆλθον, ἄλλα δὲ ἦλθεν πλοι- 23
άρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου ὅπου ἔφαγον τὸν ἄρτον
εὐχαριστήσαντος τοῦ κυρίου. ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰη- 24
σοῦς οὐκ ἔστιν ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ ἐνέβησαν καὶ αὐτοὶ
εἰς τὰ πλοῖα, καὶ ἦλθον εἰς Καπερναούμ ζητοῦντες τὸν Ἰησοῦν.
καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης εἶπον αὐτῷ Ῥαββί πότε 25
ὧδε γέγονας. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν Ἀμὴν ἀμὴν 26
λέγω ὑμῖν ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα ἀλλ ὅτι ἐφάγετε ἐκ
τῶν ἄρτων καὶ ἐχορτάσθητε. ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀ- 27
πολλυμένην ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον ἣν
ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει, τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγι-
σεν ὁ θεός. εἶπον οὖν πρὸς αὐτόν Τί ποιοῦμεν ἵνα ἐργαζώμεθα 28
τὰ ἔργα τοῦ θεοῦ. ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς Τοῦτό 29
ἐστιν τὸ ἔργον τοῦ θεοῦ ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖ-
νος. εἶπον οὖν αὐτῷ Τί οὖν ποιεῖς σὺ σημεῖον ἵνα ἴδωμεν καὶ 30
πιστεύσωμέν σοι τί ἐργάζῃ. οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον 31
ἐν τῇ ἐρήμῳ καθώς ἐστιν γεγραμμένον Ἄρτον ἐκ τοῦ οὐρανοῦ
ἔδωκεν αὐτοῖς φαγεῖν. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς Ἀμὴν ἀμὴν 32
λέγω ὑμῖν οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ
ἀλλ ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν

---

v.22 ὁ[ddfs] ἐπαύριον[bo] ὁ[dnms] ὄχλος[nnms] ὁ[dnms] ἵστημι[vpxanms] πέραν[bo] ὁ[dgfs] θάλασσα[ngfs] ὁράω[vpaanms] ὅτι[c] πλοιάριον[nnns] ἄλλος[annsn] οὐ[xo] εἰμί[viix3s] ἐκεῖ[bo] εἰ[qo] μή[xo] εἷς[nnns] ἐκεῖνος[rdnns] εἰς[p] ὁ[rrans] ἐμβαίνω[viaa3p] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] καί[c] ὅτι[c] οὐ[xo] συνεισέρχομαι[viaa3s] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] ὁ[dans] πλοιάριον[nans] ἀλλά[c] μόνος[anmpn] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ἀπέρχομαι[viaa3p]. **v.23** ἄλλος[annpn] δέ[c] ἔρχομαι[viaa3s] πλοιάριον[nnnp] ἐκ[p] Τιβεριάς[ngfs] ἐγγύς[bo] ὁ[dgms] τόπος[ngms] ὅπου[bo] ἐσθίω[viaa3p] ὁ[dams] ἄρτος[nams] εὐχαριστέω[vpaagms] ὁ[dgms] κύριος[ngms]. **v.24** ὅτε[bo] οὖν[c] ὁράω[viaa3s] ὁ[dnms] ὄχλος[nnms] ὅτι[c] Ἰησοῦς[nnms] οὐ[xo] εἰμί[vipx3s] ἐκεῖ[bo] οὐδέ[bo] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ἐμβαίνω[viaa3p] καί[c] αὐτός[rpnmp] εἰς[p] ὁ[danp] πλοῖον[nanp] καί[c] ἔρχομαι[viaa3p] εἰς[p] Καπερναούμ[tp] ζητέω[vppanmp] ὁ[dams] Ἰησοῦς[nams]. **v.25** καί[c] εὑρίσκω[vpaanmp] αὐτός[rpams] πέραν[bo] ὁ[dgfs] θάλασσα[ngfs] λέγω[viaa3p] αὐτός[rpdms] ῥαββί[th] πότε[xo] ὧδε[bo] γίνομαι[vixa2s]. **v.26** ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ζητέω[vipa2p] ἐγώ[rpa-s] οὐ[xo] ὅτι[c] ὁράω[viaa2p] σημεῖον[nanp] ἀλλά[c] ὅτι[c] ἐσθίω[viaa2p] ἐκ[p] ὁ[dgmp] ἄρτος[ngmp] καί[c] χορτάζω[viap2p]. **v.27** ἐργάζομαι[vdpn2p] μή[xo] ὁ[dafs] βρῶσις[nafs] ὁ[dafs] ἀπόλλυμι[vppmafs] ἀλλά[c] ὁ[dafs] βρῶσις[nafs] ὁ[dafs] μένω[vppaafs] εἰς[p] ζωή[nafs] αἰώνιος[aafsn] ὅς[rrafs] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] σύ[rpd-p] δίδωμι[vifa3s] οὗτος[rdams] γάρ[c] ὁ[dnms] πατήρ[nnms] σφραγίζω[viaa3s] ὁ[dnms] θεός[nnms]. **v.28** λέγω[viaa3p] οὖν[c] πρός[p] αὐτός[rpams] τίς[rqans] ποιέω[vipa1p] ἵνα[c] ἐργάζομαι[vspn1p] ὁ[danp] ἔργον[nanp] ὁ[dgms] θεός[ngms]. **v.29** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] οὗτος[rdnns] εἰμί[vipx3s] ὁ[dnns] ἔργον[nnns] ὁ[dgms] θεός[ngms] ἵνα[c] πιστεύω[vsaa2p] εἰς[p] ὅς[rrams] ἀποστέλλω[viaa3s] ἐκεῖνος[rdnms]. **v.30** λέγω[viaa3p] οὖν[c] αὐτός[rpdms] τίς[rqans] οὖν[c] ποιέω[vipa2s] σύ[rpn-s] σημεῖον[nans] ἵνα[c] ὁράω[vsaa1p] καί[c] πιστεύω[vsaa1p] σύ[rpd-s] τίς[rqans] ἐργάζομαι[vipn2s]. **v.31** ὁ[dnmp] πατήρ[nnmp] ἐγώ[rpg-p] ὁ[dans] μάννα[th] ἐσθίω[viaa3p] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] καθώς[bo] εἰμί[vipx3s] γράφω[vpxpnns] ἄρτος[nams] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] δίδωμι[viaa3s] αὐτός[rpdmp] ἐσθίω[vnaa].

33 ἀληθινόν, ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ
34 οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Εἶπον οὖν πρὸς αὐτόν
35 Κύριε πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. εἶπεν δὲ αὐτοῖς ὁ
προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας καὶ ἠρώ-
22 των αὐτὸν λέγοντες Κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. ἔρχεται
Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ καὶ πάλιν Ἀνδρέας καὶ Φίλιπ-
23 πος λέγουσιν τῷ Ἰησοῦ. ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς λέγων
24 Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. ἀμὴν ἀ-
μὴν λέγω ὑμῖν ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν
ἀποθάνῃ αὐτὸς μόνος μένει, ἐὰν δὲ ἀποθάνῃ πολὺν καρπὸν
25 φέρει. ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν καὶ ὁ μισῶν
τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει
26 αὐτήν. ἐὰν ἐμοί διακονῇ τις ἐμοὶ ἀκολουθείτω καὶ ὅπου εἰμὶ
ἐγὼ ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται, καὶ ἐάν τις ἐμοὶ διακονῇ
27 τιμήσει αὐτὸν ὁ πατήρ. Νῦν ἡ ψυχή μου τετάρακται καὶ τί
εἴπω Πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης ἀλλὰ διὰ τοῦτο ἦλ-
28 θον εἰς τὴν ὥραν ταύτην. πάτερ δόξασόν σου τὸ ὄνομα ἦλθεν
29 οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. ὁ
οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας ἔλεγεν βροντὴν γεγονέναι ἄλλοι
30 ἔλεγον Ἄγγελος αὐτῷ λελάληκεν. ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶ-
31 πεν Οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν ἀλλὰ δι' ὑμᾶς. νῦν κρίσις

---

v.19 ὁ[dnmp] οὖν[c] Φαρισαῖος[nnmp] λέγω[viaa3p] πρός[p] ἑαυτοῦ[rxamp] θεωρέω[vipa2p] ὅτι[c] οὐ[xo] ὠφελέω[vipa2p] οὐδείς[aansn] ἴδε[i] ὁ[dnms] κόσμος[nnms] ὀπίσω[bo] αὐτός[rpgms] ἀπέρχομαι[viaa3s]. **v.20** εἰμί[viix3p] δέ[c] τι-σρινμπ Ἕλλην[nnmp] ἐκ[p] ὁ[dgmp] ἀναβαίνω[vppagmp] ἵνα[c] προσκυνέω[vsaa3p] ἐν[p] ὁ[ddfs] ἑορτή[ndfs]. **v.21** οὗτος[rdnmp] οὖν[c] προσέρχομαι[viaa3p] Φίλιππος[ndms] ὁ[ddms] ἀπό[p] Βηθσαϊδά[tp] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] ἐρωτάω[viia3p] αὐτός[rpams] λέγω[vppanmp] κύριος[nvms] θέλω[vipa1p] ὁ[dams] Ἰησοῦς[nams] ὁράω[vnaa]. **v.22** ἔρχομαι[vipn3s] Φίλιππος[nnms] καί[c] λέγω[vipa3s] ὁ[ddms] Ἀνδρέας[ndms] καί[c] πάλιν[bo] Ἀνδρέας[nnms] καί[c] Φίλιππος[nnms] λέγω[vipa3p] ὁ[ddms] Ἰησοῦς[ndms]. **v.23** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] λέγω[vppanms] ἔρχομαι[vixa3s] ὁ[dnfs] ὥρα[nnfs] ἵνα[c] δοξάζω[vsap3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms]. **v.24** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ἐάν[qo] μή[xo] ὁ[dnms] κόκκος[nnms] ὁ[dgms] σῖτος[ngms] πίπτω[vpaanms] εἰς[p] ὁ[dafs] γῆ[nafs] ἀποθνῄσκω[vsaa3s] αὐτός[rpnms] μόνος[anmsn] μένω[vipa3s] ἐάν[qo] δέ[c] ἀποθνῄσκω[vsaa3s] πολύς[aamsn] καρπός[nams] φέρω[vipa3s]. **v.25** ὁ[dnms] φιλέω[vppanms] ὁ[dafs] ψυχή[nafs] αὐτός[rpgms] ἀπόλλυμι[vifa3s] αὐτός[rpafs] καί[c] ὁ[dnms] μισέω[vppanms] ὁ[dafs] ψυχή[nafs] αὐτός[rpgms] ἐν[p] ὁ[ddms] κόσμος[ndms] οὗτος[rddms] εἰς[p] ζωή[nafs] αἰώνιος[aafsn] φυλάσσω[vifa3s] αὐτός[rpafs]. **v.26** ἐάν[qo] ἐγώ[rpd-s] διακονέω[vspa3s] τι-σρινμσ ἐγώ[rpd-s] ἀκολουθέω[vdpa3s] καί[c] ὅπου[bo] εἰμί[vipx1s] ἐγώ[rpn-s] ἐκεῖ[bo] καί[c] ὁ[dnms] διάκονος[nnms] ὁ[dnms] ἐμός[rsnms] εἰμί[vifx3s] καί[c] ἐάν[qo] τι-σρινμσ ἐγώ[rpd-s] διακονέω[vspa3s] τιμάω[vifa3s] αὐτός[rpams] ὁ[dnms] πατήρ[nnms]. **v.27** νῦν[bo] ὁ[dnfs] ψυχή[nnfs] ἐγώ[rpg-s] ταράσσω[vixp3s] καί[c] τίς[rqans] λέγω[vsaa1s] πατήρ[nvms] σῴζω[vdaa2s] ἐγώ[rpa-s] ἐκ[p] ὁ[dgfs] ὥρα[ngfs] οὗτος[rdgfs] ἀλλά[c] διά[p] οὗτος[rdans] ἔρχομαι[viaa1s] εἰς[p] ὁ[dafs] ὥρα[nafs] οὗτος[rdafs]. **v.28** πατήρ[nvms] δοξάζω[vdaa2s] σύ[rpg-s] ὁ[dans] ὄνομα[nans] ἔρχομαι[viaa3s] οὖν[c] φωνή[nnfs] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] καί[c] δοξάζω[viaa1s] καί[c] πάλιν[bo] δοξάζω[vifa1s]. **v.29** ὁ[dnms] οὖν[c] ὄχλος[nnms] ὁ[dnms] ἵστημι[vpxanms] καί[c] ἀκούω[vpaanms] λέγω[viia3s] βροντή[nafs] γίνομαι[vnxa] ἄλλος[anmpn] λέγω[viia3p] ἄγγελος[nnms] αὐτός[rpdms] λαλέω[vixa3s]. **v.30** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] οὐ[xo] διά[p] ἐγώ[rpa-s] οὗτος[rdnfs] ὁ[dnfs] φωνή[nnfs] γίνομαι[vixa3s] ἀλλά[c] διά[p] σύ[rpa-p].

ἐστὶν τοῦ κόσμου τούτου νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκ-
βληθήσεται ἔξω, κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς πάντας ἑλκύσω 32
πρὸς ἐμαυτόν. τοῦτο δὲ ἔλεγεν σημαίνων ποίῳ θανάτῳ ἤμελ- 33
λεν ἀποθνῄσκειν. ἀπεκρίθη αὐτῷ ὁ ὄχλος Ἡμεῖς ἠκούσαμεν 34
ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα καὶ πῶς σὺ λέ-
γεις ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου τίς ἐστιν οὗτος ὁ
υἱὸς τοῦ ἀνθρώπου. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς Ἔτι μικρὸν 35
χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστιν περιπατεῖτε ἕως τὸ φῶς ἔχετε
ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ, καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ
οὐκ οἶδεν ποῦ ὑπάγει. ἕως τὸ φῶς ἔχετε πιστεύετε εἰς τὸ φῶς 36
ἵνα υἱοὶ φωτὸς γένησθε Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς καὶ ἀπελθὼν
ἐκρύβη ἀπ αὐτῶν. Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος 37
ἔμπροσθεν αὐτῶν οὐκ ἐπίστευον εἰς αὐτόν. ἵνα ὁ λόγος Ἠ- 38
σαΐου τοῦ προφήτου πληρωθῇ ὃν εἶπεν Κύριε τίς ἐπίστευσεν
τῇ ἀκοῇ ἡμῶν καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη. διὰ 39
τοῦτο οὐκ ἠδύναντο πιστεύειν ὅτι πάλιν εἶπεν Ἠσαΐας. Τε- 40
τύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ πεπώρωκεν αὐτῶν τὴν
καρδίαν ἵνα μὴ ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ νοήσωσιν τῇ καρδίᾳ
καὶ ἐπιστραφῶσιν καὶ ἰάσωμαι αὐτούς. ταῦτα εἶπεν Ἠσαΐας 41
ὅτε εἶδεν τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησεν περὶ αὐτοῦ. ὅμως 42
μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν ἀλλὰ

---

v.31 νῦν[bo] κρίσις[nnfs] εἰμί[vipx3s] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] νῦν[bo] ὁ[dnms] ἄρχων[nnms] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] ἐκβάλλω[vifp3s] ἔξω[bo]. **v.32** κἀγώ[rpn-s] ἐάν[qo] ὑψόω[vsap1s] ἐκ[p] ὁ[dgfs] γῆ[ngfs] πᾶς[aampn] ἕλκω[vifa1s] πρός[p] ἐμαυτοῦ[rxams]. **v.33** οὗτος[rdans] δέ[c] λέγω[viia3s] σημαίνω[vppanms] ποῖος[rqdms] θάνατος[ndms] μέλλω[viia3s] ἀποθνῄσκω[vnpa]. **v.34** ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] ὁ[dnms] ὄχλος[nnms] ἐγώ[rpn-p] ἀκούω[viaa1p] ἐκ[p] ὁ[dgms] νόμος[ngms] ὅτι[c] ὁ[dnms] Χριστός[nnms] μένω[vipa3s] εἰς[p] ὁ[dams] αἰών[nams] καί[c] πῶς[bo] σύ[rpn-s] λέγω[vipa2s] ὅτι[c] δεῖ[vipq3s] ὑψόω[vnap] ὁ[dams] υἱός[nams] ὁ[dgms] ἄνθρωπος[ngms] τίς[rqnms] εἰμί[vipx3s] οὗτος[rdnms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms]. **v.35** λέγω[viaa3s] οὖν[c] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ἔτι[bo] μικρός[aamsn] χρόνος[nams] ὁ[dnns] φῶς[nnns] μετά[p] σύ[rpg-p] εἰμί[vipx3s] περιπατέω[vdpa2p] ἕως[c] ὁ[dans] φῶς[nans] ἔχω[vipa2p] ἵνα[c] μή[xo] σκοτία[nnfs] σύ[rpa-p] καταλαμβάνω[vsaa3s] καί[c] ὁ[dnms] περιπατέω[vppanms] ἐν[p] ὁ[ddfs] σκοτία[ndfs] οὐ[xo] οἶδα[vixa3s] ποῦ[xo] ὑπάγω[vipa3s]. **v.36** ἕως[c] ὁ[dans] φῶς[nans] ἔχω[vipa2p] πιστεύω[vdpa2p] εἰς[p] ὁ[dans] φῶς[nans] ἵνα[c] υἱός[nnmp] φῶς[ngns] γίνομαι[vsad2p] οὗτος[rdanp] λαλέω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ἀπέρχομαι[vpaanms] κρύπτω[viap3s] ἀπό[p] αὐτός[rpgmp]. **v.37** τοσοῦτος[rdanp] δέ[c] αὐτός[rpgms] σημεῖον[nanp] ποιέω[vpxagms] ἔμπροσθεν[p] αὐτός[rpgmp] οὐ[xo] πιστεύω[viia3p] εἰς[p] αὐτός[rpams]. **v.38** ἵνα[c] ὁ[dnms] λόγος[nnms] Ἠσαΐας[ngms] ὁ[dgms] προφήτης[ngms] πληρόω[vsap3s] ὅς[rrams] λέγω[viaa3s] κύριος[nvms] τίς[rqnms] πιστεύω[viaa3s] ὁ[ddfs] ἀκοή[ndfs] ἐγώ[rpg-p] καί[c] ὁ[dnms] βραχίων[nnms] κύριος[ngms] τίς[rqdms] ἀποκαλύπτω[viap3s]. **v.39** διά[p] οὗτος[rdans] οὐ[xo] δύναμαι[viin3p] πιστεύω[vnpa] ὅτι[c] πάλιν[bo] λέγω[viaa3s] Ἠσαΐας[nnms]. **v.40** τυφλόω[vixa3s] αὐτός[rpgmp] ὁ[damp] ὀφθαλμός[namp] καί[c] πωρόω[vixa3s] αὐτός[rpgmp] ὁ[dafs] καρδία[nafs] ἵνα[c] μή[xo] ὁράω[vsaa3p] ὁ[ddmp] ὀφθαλμός[ndmp] καί[c] νοέω[vsaa3p] ὁ[ddfs] καρδία[ndfs] καί[c] ἐπιστρέφω[vsap3p] καί[c] ἰάομαι[vsad1s] αὐτός[rpamp]. **v.41** οὗτος[rdanp] λέγω[viaa3s] Ἠσαΐας[nnms] ὅτε[bo] ὁράω[viaa3s] ὁ[dafs] δόξα[nafs] αὐτός[rpgms] καί[c] λαλέω[viaa3s] περί[p] αὐτός[rpgms].

διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν ἵνα μὴ ἀποσυνάγωγοι γέ-
43 νωνται, ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ
44 τὴν δόξαν τοῦ θεοῦ. Ἰησοῦς δὲ ἔκραξεν καὶ εἶπεν Ὁ πιστεύων
45 εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ ἀλλ᾽ εἰς τὸν πέμψαντά με. καὶ ὁ
46 θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. ἐγὼ φῶς εἰς τὸν κόσμον
ἐλήλυθα ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ.
47 καὶ ἐάν τίς μου ἀκούσῃ τῶν ῥημάτων καὶ μὴ πιστεύσῃ, ἐγὼ οὐ
κρίνω αὐτόν οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον ἀλλ ἵνα σώσω
48 τὸν κόσμον. ὁ ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων τὰ ῥήματά μου
ἔχει τὸν κρίνοντα αὐτόν, ὁ λόγος ὃν ἐλάλησα ἐκεῖνος κρινεῖ
49 αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα
ἀλλ ὁ πέμψας με πατὴρ αὐτός μοι ἐντολὴν ἔδωκεν τί εἴπω καὶ
50 τί λαλήσω. καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν ἃ
οὖν λαλῶ ἐγὼ καθὼς εἴρηκέν μοι ὁ πατήρ οὕτως λαλῶ.
13 Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ Ἰησοῦς ὅτι ἐλήλυθεν
αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα
ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ εἰς τέλος ἠγάπησεν αὐ-
2 τούς. καὶ δείπνου γενομένου, τοῦ διαβόλου ἤδη βεβληκότος
εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου ἵνα αὐτὸν παραδῷ,
3 εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας

---

v.42 ὅμως[c] μέντοι[c] καί[c] ἐκ[p] ὁ[dgmp] ἄρχων[ngmp] πολύς[anmpn] πιστεύω[viaa3p] εἰς[p] αὐτός[rpams] ἀλλά[c] διά[p] ὁ[damp] Φαρισαῖος[namp] οὐ[xo] ὁμολογέω[viia3p] ἵνα[c] μή[xo] ἀποσυνάγωγος[anmpn] γίνομαι[vsad3p]. **v.43** ἀγαπάω[viaa3p] γάρ[c] ὁ[dafs] δόξα[nafs] ὁ[dgmp] ἄνθρωπος[ngmp] μᾶλλον[bo] ἤπερ[xo] ὁ[dafs] δόξα[nafs] ὁ[dgms] θεός[ngms]. **v.44** Ἰησοῦς[nnms] δέ[c] κράζω[viaa3s] καί[c] λέγω[viaa3s] ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] ἐγώ[rpa-s] οὐ[xo] πιστεύω[vipa3s] εἰς[p] ἐγώ[rpa-s] ἀλλά[c] εἰς[p] ὁ[dams] πέμπω[vpaaams] ἐγώ[rpa-s]. **v.45** καί[c] ὁ[dnms] θεωρέω[vppanms] ἐγώ[rpa-s] θεωρέω[vipa3s] ὁ[dams] πέμπω[vpaaams] ἐγώ[rpa-s]. **v.46** ἐγώ[rpn-s] φῶς[nans] εἰς[p] ὁ[dams] κόσμος[nams] ἔρχομαι[vixa1s] ἵνα[c] πᾶς[anmsn] ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] ἐγώ[rpa-s] ἐν[p] ὁ[ddfs] σκοτία[ndfs] μή[xo] μένω[vsaa3s]. **v.47** καί[c] ἐάν[qo] τίς[rinms] ἐγώ[rpg-s] ἀκούω[vsaa3s] ὁ[dgnp] ῥῆμα[ngnp] καί[c] μή[xo] πιστεύω[vsaa3s] ἐγώ[rpn-s] οὐ[xo] κρίνω[vifa1s] αὐτός[rpams] οὐ[xo] γάρ[c] ἔρχομαι[viaa1s] ἵνα[c] κρίνω[vspa1s] ὁ[dams] κόσμος[nams] ἀλλά[c] ἵνα[c] σῴζω[vsaa1s] ὁ[dams] κόσμος[nams]. **v.48** ὁ[dnms] ἀθετέω[vppanms] ἐγώ[rpa-s] καί[c] μή[xo] λαμβάνω[vppanms] ὁ[danp] ῥῆμα[nanp] ἐγώ[rpg-s] ἔχω[vipa3s] ὁ[dams] κρίνω[vppaams] αὐτός[rpams] ὁ[dnms] λόγος[nnms] ὅς[rrams] λαλέω[viaa1s] ἐκεῖνος[rdnms] κρίνω[vifa3s] αὐτός[rpams] ἐν[p] ὁ[ddfs] ἔσχατος[adfsn] ἡμέρα[ndfs]. **v.49** ὅτι[c] ἐγώ[rpn-s] ἐκ[p] ἐμαυτοῦ[rxgms] οὐ[xo] λαλέω[viaa1s] ἀλλά[c] ὁ[dnms] πέμπω[vpaanms] ἐγώ[rpa-s] πατήρ[nnms] αὐτός[rpnms] ἐγώ[rpd-s] ἐντολή[nafs] δίδωμι[viaa3s] τίς[rqans] λέγω[vsaa1s] καί[c] τίς[rqans] λαλέω[vsaa1s]. **v.50** καί[c] οἶδα[vixa1s] ὅτι[c] ὁ[dnfs] ἐντολή[nnfs] αὐτός[rpgms] ζωή[nnfs] αἰώνιος[anfsn] εἰμί[vipx3s] ὅς[rranp] οὖν[c] λαλέω[vipa1s] ἐγώ[rpn-s] καθώς[bo] λέγω[vixa3s] ἐγώ[rpd-s] ὁ[dnms] πατήρ[nnms] οὕτω[bo] λαλέω[vipa1s]. **13. v.1** πρό[p] δέ[c] ὁ[dgfs] ἑορτή[ngfs] ὁ[dgms] πάσχα[ta] οἶδα[vpxanms] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] ἔρχομαι[vixa3s] αὐτός[rpgms] ὁ[dnfs] ὥρα[nnfs] ἵνα[c] μεταβαίνω[vsaa3s] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] πρός[p] ὁ[dams] πατήρ[nams] ἀγαπάω[vpaanms] ὁ[damp] ἴδιος[aampn] ὁ[damp] ἐν[p] ὁ[ddms] κόσμος[ndms] εἰς[p] τέλος[nans] ἀγαπάω[viaa3s] αὐτός[rpamp]. **v.2** καί[c] δεῖπνον[ngns] γίνομαι[vpadgns] ὁ[dgms] διάβολος[agmsn] ἤδη[bo] βάλλω[vpxagms] εἰς[p] ὁ[dafs] καρδία[nafs] Ἰούδας[ngms] Σίμων[ngms] Ἰσκαριώθ[ngms] ἵνα[c] αὐτός[rpams] παραδίδωμι[vsaa3s].

καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθεν καὶ πρὸς τὸν θεὸν ὑπάγει. ἐγεί- 4
ρεται ἐκ τοῦ δείπνου καὶ τίθησιν τὰ ἱμάτια καὶ λαβὼν λέντιον
διέζωσεν ἑαυτόν, εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἤρξατο 5
νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ
ἦν διεζωσμένος. ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον, καὶ λέγει 6
αὐτῷ ἐκεῖνος, Κύριε σύ μου νίπτεις τοὺς πόδας. ἀπεκρίθη 7
Ἰησοῦς καὶ εἶπεν αὐτῷ Ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι γνώσῃ
δὲ μετὰ ταῦτα. λέγει αὐτῷ Πέτρος Οὐ μὴ νίψῃς τοὺς πόδας 8
μου εἰς τὸν αἰῶνα ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Ἐὰν μὴ νίψω σε
οὐκ ἔχεις μέρος μετ ἐμοῦ. λέγει αὐτῷ Σίμων Πέτρος Κύριε μὴ 9
τοὺς πόδας μου μόνον ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν.
λέγει αὐτῷ ὁ Ἰησοῦς Ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πό- 10
δας νίψασθαι ἀλλ ἔστιν καθαρὸς ὅλος, καὶ ὑμεῖς καθαροί ἐστε
ἀλλ οὐχὶ πάντες. ᾔδει γὰρ τὸν παραδιδόντα αὐτόν, διὰ τοῦτο 11
εἶπεν Οὐχὶ πάντες καθαροί ἐστε. Ὅτε οὖν ἔνιψεν τοὺς πόδας 12
αὐτῶν καὶ ἔλαβεν τὰ ἱμάτια αὐτοῦ ἀναπεσών πάλιν εἶπεν αὐτοῖς
Γινώσκετε τί πεποίηκα ὑμῖν. ὑμεῖς φωνεῖτέ με Ὁ διδάσκαλος 13
καὶ Ὁ κύριος καὶ καλῶς λέγετε εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑ- 14
μῶν τοὺς πόδας ὁ κύριος καὶ ὁ διδάσκαλος καὶ ὑμεῖς ὀφείλετε
ἀλλήλων νίπτειν τοὺς πόδας, ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν ἵνα 15

---

v.3 οἶδα[vpxanms] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] πᾶς[aanpn] δίδωμι[vixa3s] αὐτός[rpdms] ὁ[dnms] πατήρ[nnms] εἰς[p] ὁ[dafp] χείρ[nafp] καί[c] ὅτι[c] ἀπό[p] θεός[ngms] ἐξέρχομαι[viaa3s] καί[c] πρός[p] ὁ[dams] θεός[nams] ὑπάγω[vipa3s]. **v.4** ἐγείρω[vipp3s] ἐκ[p] ὁ[dgns] δεῖπνον[ngns] καί[c] τίθημι[vipa3s] ὁ[danp] ἱμάτιον[nanp] καί[c] λαμβάνω[vpaanms] λέντιον[nans] διαζώννυμι[viaa3s] ἑαυτοῦ[rxams]. **v.5** εἶτα[bo] βάλλω[vipa3s] ὕδωρ[nans] εἰς[p] ὁ[dams] νιπτήρ[nams] καί[c] ἄρχω[viad3s] νίπτω[vnpa] ὁ[damp] πούς[namp] ὁ[dgmp] μαθητής[ngmp] καί[c] ἐκμάσσω[vnpa] ὁ[ddns] λέντιον[ndns] ὅς[rrdns] εἰμί[viix3s] διαζώννυμι[vpxpnms]. **v.6** ἔρχομαι[vipn3s] οὖν[c] πρός[p] Σίμων[nams] Πέτρος[nams] καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ἐκεῖνος[rdnms] κύριος[nvms] σύ[rpn-s] ἐγώ[rpg-s] νίπτω[vipa2s] ὁ[damp] πούς[namp]. **v.7** ἀποκρίνομαι[viad3s] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ὅς[rrans] ἐγώ[rpn-s] ποιέω[vipa1s] σύ[rpn-s] οὐ[xo] οἶδα[vixa2s] ἄρτι[bo] γινώσκω[vifd2s] δέ[c] μετά[p] οὗτος[rdanp]. **v.8** λέγω[vipa3s] αὐτός[rpdms] Πέτρος[nnms] οὐ[xo] μή[xo] νίπτω[vsaa2s] ὁ[damp] πούς[namp] ἐγώ[rpg-s] εἰς[p] ὁ[dams] αἰών[nams] ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἐάν[qo] μή[xo] νίπτω[vsaa1s] σύ[rpa-s] οὐ[xo] ἔχω[vipa2s] μέρος[nans] μετά[p] ἐγώ[rpg-s]. **v.9** λέγω[vipa3s] αὐτός[rpdms] Σίμων[nnms] Πέτρος[nnms] κύριος[nvms] μή[xo] ὁ[damp] πούς[namp] ἐγώ[rpg-s] μόνος[bo] ἀλλά[c] καί[c] ὁ[dafp] χείρ[nafp] καί[c] ὁ[dafs] κεφαλή[nafs]. **v.10** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dnms] λούω[vpxpnms] ὅς[xo] χρεία[nafs] ἔχω[vipa3s] ἤ[xo] ὁ[damp] πούς[namp] νίπτω[vnam] ἀλλά[c] εἰμί[vipx3s] καθαρός[anmsn] ὅλος[anmsn] καί[c] σύ[rpn-p] καθαρός[anmpn] εἰμί[vipx2p] ἀλλά[c] οὐχί[xo] πᾶς[anmpn]. **v.11** οἶδα[viya3s] γάρ[c] ὁ[dams] παραδίδωμι[vppaams] αὐτός[rpams] διά[p] οὗτος[rdans] λέγω[viaa3s] οὐχί[xo] πᾶς[anmpn] καθαρός[anmpn] εἰμί[vipx2p]. **v.12** ὅτε[bo] οὖν[c] νίπτω[viaa3s] ὁ[damp] πούς[namp] αὐτός[rpgmp] καί[c] λαμβάνω[viaa3s] ὁ[danp] ἱμάτιον[nanp] αὐτός[rpgms] ἀναπίπτω[vpaanms] πάλιν[bo] λέγω[viaa3s] αὐτός[rpdmp] γινώσκω[vipa2p] τίς[rqans] ποιέω[vixa1s] σύ[rpd-p]. **v.13** σύ[rpn-p] φωνέω[vipa2p] ἐγώ[rpa-s] ὁ[dnms] διδάσκαλος[nnms] καί[c] ὁ[dnms] κύριος[nnms] καί[c] καλῶς[bo] λέγω[vipa2p] εἰμί[vipx1s] γάρ[c]. **v.14** εἰ[qo] οὖν[c] ἐγώ[rpn-s] νίπτω[viaa1s] σύ[rpg-p] ὁ[damp] πούς[namp] ὁ[dnms] κύριος[nnms] καί[c] ὁ[dnms] διδάσκαλος[nnms] καί[c] σύ[rpn-p] ὀφείλω[vipa2p] ἀλλήλων[regmp] νίπτω[vnpa] ὁ[damp] πούς[namp].

16 καθὼς ἐγὼ ἐποίησα ὑμῖν καὶ ὑμεῖς ποιῆτε. ἀμὴν ἀμὴν λέγω
ὑμῖν οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ οὐδὲ ἀπόστο-
17 λος μείζων τοῦ πέμψαντος αὐτόν. εἰ ταῦτα οἴδατε μακάριοί
18 ἐστε ἐὰν ποιῆτε αὐτά. οὐ περὶ πάντων ὑμῶν λέγω, ἐγὼ οἶδα
οὕς ἐξελεξάμην, ἀλλ ἵνα ἡ γραφὴ πληρωθῇ Ὁ τρώγων μετ' ἐ-
19 μοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ ἐμὲ τὴν πτέρναν αὐτοῦ. ἀπ ἄρτι
λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι ἵνα ὅταν γένηται πιστεύσητε ὅτι
20 ἐγώ εἰμι. ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ λαμβάνων ἐάν τινα πέμψω
ἐμὲ λαμβάνει ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν πέμψαντά με.
21 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι καὶ ἐμαρτύρησεν
καὶ εἶπεν Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.
22 ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ μαθηταὶ ἀπορούμενοι περὶ τίνος
23 λέγει. ἦν δέ ἀνακείμενος εἷς τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ
24 τοῦ Ἰησοῦ ὃν ἠγάπα ὁ Ἰησοῦς, νεύει οὖν τούτῳ Σίμων Πέτρος
25 πυθέσθαι τίς ἂν εἴη περὶ οὗ λέγει. ἐπιπεσὼν δὲ ἐκεῖνος ἐπὶ
26 τὸ στῆθος τοῦ Ἰησοῦ λέγει αὐτῷ Κύριε τίς ἐστιν. ἀποκρίνεται
ὁ Ἰησοῦς Ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω. καὶ
27 ἐμβάψας τὸ ψωμίον δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτη. καὶ
μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς λέγει οὖν
28 αὐτῷ ὁ Ἰησοῦς Ὃ ποιεῖς ποίησον τάχιον. τοῦτο δὲ οὐδεὶς ἔ-

---

v.15 ὑπόδειγμα[nans] γάρ[c] δίδωμι[viaa1s] σύ[rpd-p] ἵνα[c] καθώς[bo] ἐγώ[rpn-s] ποιέω[viaa1s] σύ[rpd-p] καί[c] σύ[rpn-p] ποιέω[vspa2p]. **v.16** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] οὐ[xo] εἰμί[vipx3s] δοῦλος[nnms] μέγας[anmsc] ὁ[dgms] κύριος[ngms] αὐτός[rpgms] οὐδέ[bo] ἀπόστολος[nnms] μέγας[anmsc] ὁ[dgms] πέμπω[vpaagms] αὐτός[rpams]. **v.17** εἰ[qo] οὗτος[rdanp] οἶδα[vixa2p] μακάριος[anmpn] εἰμί[vipx2p] ἐάν[qo] ποιέω[vspa2p] αὐτός[rpanp]. **v.18** οὐ[xo] περί[p] πᾶς[agmpn] σύ[rpg-p] λέγω[vipa1s] ἐγώ[rpn-s] οἶδα[vixa1s] ὅς[rramp] ἐκλέγω[viam1s] ἀλλά[c] ἵνα[c] ὁ[dnfs] γραφή[nnfs] πληρόω[vsap3s] ὁ[dnms] τρώγω[vppanms] μετά[p] ἐγώ[rpg-s] ὁ[dams] ἄρτος[nams] ἐπαίρω[viaa3s] ἐπί[p] ἐγώ[rpa-s] ὁ[dafs] πτέρνα[nafs] αὐτός[rpgms]. **v.19** ἀπό[p] ἄρτι[bo] λέγω[vipa1s] σύ[rpd-p] πρό[p] ὁ[dgms] γίνομαι[vnad] ἵνα[c] ὅταν[c] γίνομαι[vsad3s] πιστεύω[vsaa2p] ὅτι[c] ἐγώ[rpn-s] εἰμί[vipx1s]. **v.20** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὁ[dnms] λαμβάνω[vppanms] ἐάν[qo] τι-σ-ριαμσ πέμπω[vsaa1s] ἐγώ[rpa-s] λαμβάνω[vipa3s] ὁ[dnms] δέ[c] ἐγώ[rpa-s] λαμβάνω[vppanms] λαμβάνω[vipa3s] ὁ[dams] πέμπω[vpaaams] ἐγώ[rpa-s]. **v.21** οὗτος[rdanp] λέγω[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] ταράσσω[viap3s] ὁ[ddns] πνεῦμα[ndns] καί[c] μαρτυρέω[viaa3s] καί[c] λέγω[viaa3s] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] εἷς[nnms] ἐκ[p] σύ[rpg-p] παραδίδωμι[vifa3s] ἐγώ[rpa-s]. **v.22** βλέπω[viia3p] οὖν[c] εἰς[p] ἀλλήλων[reamp] ὁ[dnmp] μαθητής[nnmp] ἀπορέω[vppmnmp] περί[p] τίς[rqgms] λέγω[vipa3s]. **v.23** εἰμί[viix3s] δέ[c] ἀνάκειμαι[vppnnms] εἷς[nnms] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] ἐν[p] ὁ[ddms] κόλπος[ndms] ὁ[dgms] Ἰησοῦς[ngms] ὅς[rrams] ἀγαπάω[viia3s] ὁ[dnms] Ἰησοῦς[nnms]. **v.24** νεύω[vipa3s] οὖν[c] οὗτος[rddms] Σίμων[nnms] Πέτρος[nnms] πυνθάνομαι[vnad] τίς[rqnms] ἄν[xo] εἰμί[vopx3s] περί[p] ὅς[rrgms] λέγω[vipa3s]. **v.25** ἐπιπίπτω[vpaanms] δέ[c] ἐκεῖνος[rdnms] ἐπί[p] ὁ[dans] στῆθος[nans] ὁ[dgms] Ἰησοῦς[ngms] λέγω[vipa3s] αὐτός[rpdms] κύριος[nvms] τίς[rqnms] εἰμί[vipx3s]. **v.26** ἀποκρίνομαι[vipn3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἐκεῖνος[rdnms] εἰμί[vipx3s] ὅς[rrdms] ἐγώ[rpn-s] βάπτω[vpaanms] ὁ[dans] ψωμίον[nans] ἐπιδίδωμι[vifa1s] καί[c] ἐμβάπτω[vpaanms] ὁ[dans] ψωμίον[nans] δίδωμι[vipa3s] Ἰούδας[ndms] Σίμων[ngms] Ἰσκαριώθ[ndms]. **v.27** καί[c] μετά[p] ὁ[dans] ψωμίον[nans] τότε[bo] εἰσέρχομαι[viaa3s] εἰς[p] ἐκεῖνος[rdams] ὁ[dnms] Σατανᾶς[nnms] λέγω[vipa3s] οὖν[c] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὅς[rrans] ποιέω[vipa2s] ποιέω[vdaa2s] ταχύς[bo].

γνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ, τινὲς γὰρ ἐδόκουν 29
ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ Ἰούδας ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς
Ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν ἢ τοῖς πτωχοῖς ἵνα
τι δῷ. λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος εὐθέως ἐξῆλθεν ἦν δὲ νύξ. 30
Ὅτε ἐξῆλθεν λέγει ὁ Ἰησοῦς Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώ- 31
που καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, εἰ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ 32
καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν.
τεκνία ἔτι μικρὸν μεθ ὑμῶν εἰμι, ζητήσετέ με καὶ καθὼς εἶπον 33
τοῖς Ἰουδαίοις ὅτι Ὅπου ὑπάγω ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν
καὶ ὑμῖν λέγω ἄρτι. ἐντολὴν καινὴν δίδωμι ὑμῖν ἵνα ἀγαπᾶτε 34
ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλή-
λους. ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε ἐὰν 35
ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Λέγει αὐτῷ Σίμων Πέτρος Κύριε 36
ποῦ ὑπάγεις ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Ὅπου ὑπάγω οὐ δύνα-
σαί μοι νῦν ἀκολουθῆσαι ὕστερον δὲ ἀκολουθήσεις μοι. λέγει 37
αὐτῷ ὁ Πέτρος Κύριε διατί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι
τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς 38
Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις ἀμὴν ἀμὴν λέγω σοι οὐ μὴ
ἀλέκτωρ φωνήσει ἕως οὗ ἀπαρνήσῃ με τρίς.

Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, πιστεύετε εἰς τὸν θεόν καὶ **14**

---

v.28 οὗτος^{rdans} δέ^{c} οὐδείς^{anfsn} γινώσκω^{viaa3s} ὁ^{dgmp} ἀνάκειμαι^{vppngmp} πρός^{p} τίς^{rqans} λέγω^{viaa3s} αὐτός^{rpdms}. **v.29** τι-σρινμπ γάρ^{c} δοκέω^{viia3p} ἐπεί^{c} ὁ^{dans} γλωσσόκομον^{nans} ἔχω^{viia3s} ὁ^{dnms} Ἰούδας^{nnms} ὅτι^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀγοράζω^{vdaa2s} ὅς^{rrgnp} χρεία^{nafs} ἔχω^{vipa1p} εἰς^{p} ὁ^{dafs} ἑορτή^{nafs} ἤ^{xo} ὁ^{ddmp} πτωχός^{admpn} ἵνα^{c} τι-σριανσ δίδωμι^{vsaa3s}. **v.30** λαμβάνω^{vpaanms} οὖν^{c} ὁ^{dans} ψωμίον^{nans} ἐκεῖνος^{rdnms} εὐθέως^{bo} ἐξέρχομαι^{viaa3s} εἰμί^{viix3s} δέ^{c} νύξ^{nnfs}. **v.31** ὅτε^{bo} ἐξέρχομαι^{viaa3s} λέγω^{vipa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} νῦν^{bo} δοξάζω^{viap3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} καί^{c} ὁ^{dnms} θεός^{nnms} δοξάζω^{viap3s} ἐν^{p} αὐτός^{rpdms}. **v.32** εἰ^{qo} ὁ^{dnms} θεός^{nnms} δοξάζω^{viap3s} ἐν^{p} αὐτός^{rpdms} καί^{c} ὁ^{dnms} θεός^{nnms} δοξάζω^{vifa3s} αὐτός^{rpams} ἐν^{p} ἑαυτοῦ^{rxdms} καί^{c} εὐθύς^{bo} δοξάζω^{vifa3s} αὐτός^{rpams}. **v.33** τεκνίον^{nvnp} ἔτι^{bo} μικρός^{aansn} μετά^{p} σύ$^{rpg-p}$ εἰμί^{vipx1s} ζητέω^{vifa2p} ἐγώ$^{rpa-s}$ καί^{c} καθώς^{bo} λέγω^{viaa1s} ὁ^{ddmp} Ἰουδαῖος^{admpn} ὅτι^{c} ὅπου^{bo} ὑπάγω^{vipa1s} ἐγώ$^{rpn-s}$ σύ$^{rpn-p}$ οὐ^{xo} δύναμαι^{vipn2p} ἔρχομαι^{vnaa} καί^{c} σύ$^{rpd-p}$ λέγω^{vipa1s} ἄρτι^{bo}. **v.34** ἐντολή^{nafs} καινός^{aafsn} δίδωμι^{vipa1s} σύ$^{rpd-p}$ ἵνα^{c} ἀγαπάω^{vspa2p} ἀλλήλων^{reamp} καθώς^{bo} ἀγαπάω^{viaa1s} σύ$^{rpa-p}$ ἵνα^{c} καί^{c} σύ$^{rpn-p}$ ἀγαπάω^{vspa2p} ἀλλήλων^{reamp}. **v.35** ἐν^{p} οὗτος^{rddns} γινώσκω^{vifd3p} πᾶς^{anmpn} ὅτι^{c} ἐγώ$^{rpd-s}$ μαθητής^{nnmp} εἰμί^{vipx2p} ἐάν^{qo} ἀγάπη^{nafs} ἔχω^{vspa2p} ἐν^{p} ἀλλήλων^{redmp}. **v.36** λέγω^{vipa3s} αὐτός^{rpdms} Σίμων^{nnms} Πέτρος^{nnms} κύριος^{nvms} ποῦ^{xo} ὑπάγω^{vipa2s} ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅπου^{bo} ὑπάγω^{vipa1s} οὐ^{xo} δύναμαι^{vipn2s} ἐγώ$^{rpd-s}$ νῦν^{bo} ἀκολουθέω^{vnaa} ὕστερος^{bo} δέ^{c} ἀκολουθέω^{vifa2s} ἐγώ$^{rpd-s}$. **v.37** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Πέτρος^{nnms} κύριος^{nvms} διά&τίς^{xo} οὐ^{xo} δύναμαι^{vipn1s} σύ$^{rpd-s}$ ἀκολουθέω^{vnaa} ἄρτι^{bo} ὁ^{dafs} ψυχή^{nafs} ἐγώ$^{rpg-s}$ ὑπέρ^{p} σύ$^{rpg-s}$ τίθημι^{vifa1s}. **v.38** ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dafs} ψυχή^{nafs} σύ$^{rpg-s}$ ὑπέρ^{p} ἐγώ$^{rpg-s}$ τίθημι^{vifa2s} ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-s}$ οὐ^{xo} μή^{xo} ἀλέκτωρ^{nnms} φωνέω^{vifa3s} ἕως^{c} ὅς^{bo} ἀπαρνέομαι^{vifd2s} ἐγώ$^{rpa-s}$ τρίς^{bo}.

2 εἰς ἐμὲ πιστεύετε. ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί
εἰσιν, εἰ δὲ μή εἶπον ἂν ὑμῖν πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν.
3 καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν τόπον πάλιν ἔρχομαι καὶ
παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς
4, 5 ἦτε. καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε καὶ τὴν ὁδόν οἴδατε, Λέγει
αὐτῷ Θωμᾶς Κύριε οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς δυνά-
6 μεθα τὴν ὁδὸν εἰδέναι. λέγει αὐτῷ ὁ Ἰησοῦς Ἐγώ εἰμι ἡ ὁδὸς
καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή, οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ
7 δι' ἐμοῦ. εἰ ἐγνώκειτέ με καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν,
8 καὶ ἀπ ἄρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν. λέγει αὐτῷ
9 Φίλιππος Κύριε δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν. λέγει
αὐτῷ ὁ Ἰησοῦς τοσοῦτον χρόνον μεθ ὑμῶν εἰμι καὶ οὐκ ἔγνω-
κάς με Φίλιππε ὁ ἑωρακὼς ἐμὲ ἑώρακεν τὸν πατέρα, καὶ πῶς
10 σὺ λέγεις Δεῖξον ἡμῖν τὸν πατέρα. οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ
πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν ἀπ
ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ
11 ἔργα. πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί, εἰ
12 δὲ μή διὰ τὰ ἔργα αὐτὰ πιστεύετε μοι. ἀμὴν ἀμὴν λέγω ὑμῖν
ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ
μείζονα τούτων ποιήσει ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύο-

14. v.1 μή[xo] ταράσσω[vdpp3s] σύ[rpg-p] ὁ[dnfs] καρδία[nnfs] πιστεύω[vipa2p] εἰς[p] ὁ[dams] θεός[nams] καί[c] εἰς[p] ἐγώ[rpa-s] πιστεύω[vdpa2p]. **v.2** ἐν[p] ὁ[ddfs] οἰκία[ndfs] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] μονή[anfpn] πολύς[anfpn] εἰμί[vipx3p] εἰ[qo] δέ[c] μή[xo] λέγω[viaa1s] ἄν[xo] σύ[rpd-p] πορεύομαι[vipn1s] ἑτοιμάζω[vnaa] τόπος[nams] σύ[rpd-p]. **v.3** καί[c] ἐάν[qo] πορεύομαι[vsao1s] καί[c] ἑτοιμάζω[vsaa1s] σύ[rpd-p] τόπος[nams] πάλιν[bo] ἔρχομαι[vipn1s] καί[c] παραλαμβάνω[vifd1s] σύ[rpa-p] πρός[p] ἐμαυτοῦ[rxams] ἵνα[c] ὅπου[bo] εἰμί[vipx1s] ἐγώ[rpn-s] καί[c] σύ[rpn-p] εἰμί[vspx2p]. **v.4** καί[c] ὅπου[bo] ἐγώ[rpn-s] ὑπάγω[vipa1s] οἶδα[vixa2p] καί[c] ὁ[dafs] ὁδός[nafs] οἶδα[vixa2p]. **v.5** λέγω[vipa3s] αὐτός[rpdms] Θωμᾶς[nnms] κύριος[nvms] οὐ[xo] οἶδα[vixa1p] ποῦ[xo] ὑπάγω[vipa2s] καί[c] πῶς[bo] δύναμαι[vipn1p] ὁ[dafs] ὁδός[nafs] οἶδα[vnxa]. **v.6** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnfs] ὁδός[nnfs] καί[c] ὁ[dnfs] ἀλήθεια[nnfs] καί[c] ὁ[dnfs] ζωή[nnfs] οὐδείς[anfsn] ἔρχομαι[vipn3s] πρός[p] ὁ[dams] πατήρ[nams] εἰ[qo] μή[xo] διά[p] ἐγώ[rpg-s]. **v.7** εἰ[qo] γινώσκω[viya2p] ἐγώ[rpa-s] καί[c] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] γινώσκω[viya2p] ἄν[xo] καί[c] ἀπό[p] ἄρτι[bo] γινώσκω[vipa2p] αὐτός[rpams] καί[c] ὁράω[vixa2p] αὐτός[rpams]. **v.8** λέγω[vipa3s] αὐτός[rpdms] Φίλιππος[nnms] κύριος[nvms] δείκνυμι[vdaa2s] ἐγώ[rpd-p] ὁ[dams] πατήρ[nams] καί[c] ἀρκέω[vipa3s] ἐγώ[rpd-p]. **v.9** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] τοσοῦτος[rdams] χρόνος[nams] μετά[p] σύ[rpg-p] εἰμί[vipx1s] καί[c] οὐ[xo] γινώσκω[vixa2s] ἐγώ[rpa-s] Φίλιππος[nvms] ὁ[dnms] ὁράω[vpxanms] ἐγώ[rpa-s] ὁράω[vixa3s] ὁ[dams] πατήρ[nams] καί[c] πῶς[bo] σύ[rpn-s] λέγω[vipa2s] δείκνυμι[vdaa2s] ἐγώ[rpd-p] ὁ[dams] πατήρ[nams]. **v.10** οὐ[xo] πιστεύω[vipa2s] ὅτι[c] ἐγώ[rpn-s] ἐν[p] ὁ[ddms] πατήρ[ndms] καί[c] ὁ[dnms] πατήρ[nnms] ἐν[p] ἐγώ[rpd-s] εἰμί[vipx3s] ὁ[danp] ῥῆμα[nanp] ὅς[rranp] ἐγώ[rpn-s] λαλέω[vipa1s] σύ[rpd-p] ἀπό[p] ἐμαυτοῦ[rxgms] οὐ[xo] λαλέω[vipa1s] ὁ[dnms] δέ[c] πατήρ[nnms] ὁ[dnms] ἐν[p] ἐγώ[rpd-s] μένω[vppanms] αὐτός[rpnms] ποιέω[vipa3s] ὁ[danp] ἔργον[nanp]. **v.11** πιστεύω[vdpa2p] ἐγώ[rpd-s] ὅτι[c] ἐγώ[rpn-s] ἐν[p] ὁ[ddms] πατήρ[ndms] καί[c] ὁ[dnms] πατήρ[nnms] ἐν[p] ἐγώ[rpd-s] εἰ[qo] δέ[c] μή[xo] διά[p] ὁ[danp] ἔργον[nanp] αὐτός[rpanp] πιστεύω[vdpa2p] ἐγώ[rpd-s].

μαι, καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου τοῦτο ποιήσω ἵνα 13
δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ, ἐάν τι αἰτήσητέ ἐν τῷ ὀνόματί μου 14
ἐγὼ ποιήσω. Ἐὰν ἀγαπᾶτέ με τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε. 15
καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα καὶ ἄλλον παράκλητον δώσει ὑμῖν 16
ἵνα μένῃ μεθ ὑμῶν εἰς τὸν αἰῶνα. τὸ πνεῦμα τῆς ἀληθείας ὃ 17
ὁ κόσμος οὐ δύναται λαβεῖν ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει,
αὐτό ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ ὑμῖν μένει καὶ ἐν ὑμῖν
ἔσται. Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς ἔρχομαι πρὸς ὑμᾶς. ἔτι 18, 19
μικρὸν καὶ ὁ κόσμος με οὐκ ἔτι θεωρεῖ ὑμεῖς δὲ θεωρεῖτέ με ὅτι
ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς 20
ὅτι ἐγὼ ἐν τῷ πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. ὁ 21
ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν
με, ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου καὶ
ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. Λέγει αὐτῷ 22
Ἰούδας οὐχ ὁ Ἰσκαριώτης Κύριε τί γέγονεν ὅτι ἡμῖν μέλλεις
ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ. ἀπεκρίθη ὁ Ἰησοῦς 23
καὶ εἶπεν αὐτῷ Ἐάν τις ἀγαπᾷ με τὸν λόγον μου τηρήσει καὶ
ὁ πατήρ μου ἀγαπήσει αὐτόν καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ
μονὴν παρ αὐτῷ ποιησόμεν. ὁ μὴ ἀγαπῶν με τοὺς λόγους 24
μου οὐ τηρεῖ, καὶ ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμὸς ἀλλὰ τοῦ

---

v.12 ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] ἐγώ[rpa-s] ὁ[danp] ἔργον[nanp] ὅς[rranp] ἐγώ[rpn-s] ποιέω[vipa1s] κἀκεῖνος[rdnms] ποιέω[vifa3s] καί[c] μέγας[aanpc] οὗτος[rdgnp] ποιέω[vifa3s] ὅτι[c] ἐγώ[rpn-s] πρός[p] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] πορεύομαι[vipn1s]. **v.13** καί[c] ὅς[rrans] τι-σριανσ ἄν[xo] αἰτέω[vsaa2p] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] οὗτος[rdans] ποιέω[vifa1s] ἵνα[c] δοξάζω[vsap3s] ὁ[dnms] πατήρ[nnms] ἐν[p] ὁ[ddms] υἱός[ndms]. **v.14** ἐάν[qo] τι-σριανσ αἰτέω[vsaa2p] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] ἐγώ[rpn-s] ποιέω[vifa1s]. **v.15** ἐάν[qo] ἀγαπάω[vspa2p] ἐγώ[rpa-s] ὁ[dafp] ἐντολή[nafp] ὁ[dafp] ἐμός[rsafp] τηρέω[vdaa2p]. **v.16** καί[c] ἐγώ[rpn-s] ἐρωτάω[vifa1s] ὁ[dams] πατήρ[nams] καί[c] ἄλλος[aamsn] παράκλητος[nams] δίδωμι[vifa3s] σύ[rpd-p] ἵνα[c] μένω[vspa3s] μετά[p] σύ[rpg-p] εἰς[p] ὁ[dams] αἰών[nams]. **v.17** ὁ[dans] πνεῦμα[nans] ὁ[dgfs] ἀλήθεια[ngfs] ὅς[rrans] ὁ[dnms] κόσμος[nnms] οὐ[xo] δύναμαι[vipn3s] λαμβάνω[vnaa] ὅτι[c] οὐ[xo] θεωρέω[vipa3s] αὐτός[rpans] οὐδέ[bo] γινώσκω[vipa3s] αὐτός[rpans] σύ[rpn-p] δέ[c] γινώσκω[vipa2p] αὐτός[rpans] ὅτι[c] παρά[p] σύ[rpd-p] μένω[vipa3s] καί[c] ἐν[p] σύ[rpd-p] εἰμί[vifx3s]. **v.18** οὐ[xo] ἀφίημι[vifa1s] σύ[rpa-p] ὀρφανός[aampn] ἔρχομαι[vipn1s] πρός[p] σύ[rpa-p]. **v.19** ἔτι[bo] μικρός[aansn] καί[c] ὁ[dnms] κόσμος[nnms] ἐγώ[rpa-s] οὐ[xo] ἔτι[bo] θεωρέω[vipa3s] σύ[rpn-p] δέ[c] θεωρέω[vipa2p] ἐγώ[rpa-s] ὅτι[c] ἐγώ[rpn-s] ζάω[vipa1s] καί[c] σύ[rpn-p] ζάω[vifd2p]. **v.20** ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfs] γινώσκω[vifd2p] σύ[rpn-p] ὅτι[c] ἐγώ[rpn-s] ἐν[p] ὁ[ddms] πατήρ[ndms] ἐγώ[rpg-s] καί[c] σύ[rpn-p] ἐν[p] ἐγώ[rpd-s] κἀγώ[rpn-s] ἐν[p] σύ[rpd-p]. **v.21** ὁ[dnms] ἔχω[vppanms] ὁ[dafp] ἐντολή[nafp] ἐγώ[rpg-s] καί[c] τηρέω[vppanms] αὐτός[rpafp] ἐκεῖνος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] ἀγαπάω[vppanms] ἐγώ[rpa-s] ὁ[dnms] δέ[c] ἀγαπάω[vppanms] ἐγώ[rpa-s] ἀγαπάω[vifp3s] ὑπό[p] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] καί[c] ἐγώ[rpn-s] ἀγαπάω[vifa1s] αὐτός[rpams] καί[c] ἐμφανίζω[vifa1s] αὐτός[rpdms] ἐμαυτοῦ[rxams]. **v.22** λέγω[vipa3s] αὐτός[rpdms] Ἰούδας[nnms] οὐ[xo] ὁ[dnms] Ἰσκαριώθ[nnms] κύριος[nvms] τίς[rqnns] γίνομαι[vixa3s] ὅτι[c] ἐγώ[rpd-p] μέλλω[vipa2s] ἐμφανίζω[vnpa] σεαυτοῦ[rxams] καί[c] οὐχί[xo] ὁ[ddms] κόσμος[ndms]. **v.23** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ἐάν[qo] τι-σρινμσ ἀγαπάω[vspa3s] ἐγώ[rpa-s] ὁ[dams] λόγος[nams] ἐγώ[rpg-s] τηρέω[vifa3s] καί[c] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ἀγαπάω[vifa3s] αὐτός[rpams] καί[c] πρός[p] αὐτός[rpams] ἔρχομαι[vifd1p] καί[c] μονή[nafs] παρά[p] αὐτός[rpdms] ποιέω[vifa1p].

25 πέμψαντός με πατρός. Ταῦτα λελάληκα ὑμῖν παρ ὑμῖν μέ-
26 νων, ὁ δὲ παράκλητος τὸ πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ πατὴρ
ἐν τῷ ὀνόματί μου ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει
27 ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν. Εἰρήνην ἀφίημι ὑμῖν εἰρήνην τὴν
ἐμὴν δίδωμι ὑμῖν, οὐ καθὼς ὁ κόσμος δίδωσιν ἐγὼ δίδωμι ὑμῖν
28 μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω. ἠκούσατε ὅτι
ἐγὼ εἶπον ὑμῖν Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς εἰ ἠγαπᾶτέ με
ἐχάρητε ἄν ὅτι εἶπον πορεύομαι πρὸς τὸν πατέρα ὅτι ὁ πατὴρ
29 μού μείζων μού ἐστιν. καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι ἵνα
30 ὅταν γένηται πιστεύσητε. οὐκ ἔτι πολλὰ λαλήσω μεθ ὑμῶν
ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔ-
31 χει οὐδέν. ἀλλ ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα καὶ
καθὼς ἐνετείλατό μοι ὁ πατήρ οὕτως ποιῶ Ἐγείρεσθε ἄγωμεν
ἐντεῦθεν.

15 Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή καὶ ὁ πατήρ μου ὁ γεωργός
2 ἐστιν. πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν αἴρει αὐτό καὶ
πᾶν τὸ καρπὸν φέρον καθαίρει αὐτὸ ἵνα πλείονα καρπὸν φέρῃ.
3, 4 ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν, μεί-
νατε ἐν ἐμοί κἀγὼ ἐν ὑμῖν καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν
φέρειν ἀφ ἑαυτοῦ ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ οὕτως οὐδὲ ὑμεῖς

---

v.24 ὁ[dnms] μή[xo] ἀγαπάω[vppanms] ἐγώ[rpa-s] ὁ[damp] λόγος[namp] ἐγώ[rpg-s] οὐ[xo] τηρέω[vipa3s] καί[c] ὁ[dnms] λόγος[nnms] ὅς[rrams] ἀκούω[vipa2p] οὐ[xo] εἰμί[vipx3s] ἐμός[rsnms] ἀλλά[c] ὁ[dgms] πέμπω[vpaagms] ἐγώ[rpa-s] πατήρ[ngms]. **v.25** οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] παρά[p] σύ[rpd-p] μένω[vppanms]. **v.26** ὁ[dnms] δέ[c] παράκλητος[nnms] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] ἅγιος[annsn] ὅς[rrans] πέμπω[vifa3s] ὁ[dnms] πατήρ[nnms] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] ἐκεῖνος[rdnms] σύ[rpa-p] διδάσκω[vifa3s] πᾶς[aanpn] καί[c] ὑπομιμνῄσκω[vifa3s] σύ[rpa-p] πᾶς[aanpn] ὅς[rranp] λέγω[viaa1s] σύ[rpd-p]. **v.27** εἰρήνη[nafs] ἀφίημι[vipa1s] σύ[rpd-p] εἰρήνη[nafs] ὁ[dafs] ἐμός[rsafs] δίδωμι[vipa1s] σύ[rpd-p] οὐ[xo] καθώς[bo] ὁ[dnms] κόσμος[nnms] δίδωμι[vipa3s] ἐγώ[rpn-s] δίδωμι[vipa1s] σύ[rpd-p] μή[xo] ταράσσω[vdpp3s] σύ[rpg-p] ὁ[dnfs] καρδία[nnfs] μηδέ[c] δειλιάω[vdpa3s]. **v.28** ἀκούω[viaa2p] ὅτι[c] ἐγώ[rpn-s] λέγω[viaa1s] σύ[rpd-p] ὑπάγω[vipa1s] καί[c] ἔρχομαι[vipn1s] πρός[p] σύ[rpa-p] εἰ[qo] ἀγαπάω[viia2p] ἐγώ[rpa-s] χαίρω[viao2p] ἄν[xo] ὅτι[c] λέγω[viaa1s] πορεύομαι[vipn1s] πρός[p] ὁ[dams] πατήρ[nams] ὅτι[c] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] μέγας[anmsc] ἐγώ[rpg-s] εἰμί[vipx3s]. **v.29** καί[c] νῦν[bo] λέγω[vixa1s] σύ[rpd-p] πρίν[bo] γίνομαι[vnad] ἵνα[c] ὅταν[c] γίνομαι[vsad3s] πιστεύω[vsaa2p]. **v.30** οὐ[xo] ἔτι[bo] πολύς[aanpn] λαλέω[vifa1s] μετά[p] σύ[rpg-p] ἔρχομαι[vipn3s] γάρ[c] ὁ[dnms] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] ἄρχων[nnms] καί[c] ἐν[p] ἐγώ[rpd-s] οὐ[xo] ἔχω[vipa3s] οὐδείς[aansn]. **v.31** ἀλλά[c] ἵνα[c] γινώσκω[vsaa3s] ὁ[dnms] κόσμος[nnms] ὅτι[c] ἀγαπάω[vipa1s] ὁ[dams] πατήρ[nams] καί[c] καθώς[bo] ἐντέλλομαι[viad3s] ἐγώ[rpd-s] ὁ[dnms] πατήρ[nnms] οὕτω[bo] ποιέω[vipa1s] ἐγείρω[vdpe2p] ἄγω[vspa1p] ἐντεῦθεν[bo]. **15. v.1** ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnfs] ἄμπελος[nnfs] ὁ[dnfs] ἀληθινός[anfsn] καί[c] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ὁ[dnms] γεωργός[nnms] εἰμί[vipx3s]. **v.2** πᾶς[aansn] κλῆμα[nans] ἐν[p] ἐγώ[rpd-s] μή[xo] φέρω[vppaans] καρπός[nams] αἴρω[vipa3s] αὐτός[rpans] καί[c] πᾶς[aansn] ὁ[dans] καρπός[nams] φέρω[vppaans] καθαίρω[vipa3s] αὐτός[rpans] ἵνα[c] πολύς[aamsc] καρπός[nams] φέρω[vspa3s]. **v.3** ἤδη[bo] σύ[rpn-p] καθαρός[anmpn] εἰμί[vipx2p] διά[p] ὁ[dams] λόγος[nams] ὅς[rrams] λαλέω[vixa1s] σύ[rpd-p].

ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. ἐγώ εἰμι ἡ ἄμπελος ὑμεῖς τὰ κλήματα 5
ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ οὗτος φέρει καρπὸν πολύν ὅτι
χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. ἐὰν μή τις μείνῃ ἐν 6
ἐμοί ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη καὶ συνάγουσιν
αὐτὰ καὶ εἰς πῦρ βάλλουσιν καὶ καίεται. ἐὰν μείνητε ἐν ἐμοὶ 7
καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ ὃ ἐὰν θέλητε αἰτήσεσθε καὶ
γενήσεται ὑμῖν. ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου ἵνα καρπὸν 8
πολὺν φέρητε καὶ γενήσεσθε ἐμοὶ μαθηταί. καθὼς ἠγάπησέν 9
με ὁ πατήρ κἀγὼ ἠγάπησα, ὑμᾶς μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ.
ἐὰν τὰς ἐντολάς μου τηρήσητε μενεῖτε ἐν τῇ ἀγάπῃ μου καθὼς 10
ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα καὶ μένω αὐτοῦ ἐν
τῇ ἀγάπῃ. Ταῦτα λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν 11
μείνῃ, καὶ ᾖ χαρὰ ὑμῶν πληρωθῇ. αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ 12
ἐμή ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς. μείζονα 13
ταύτης ἀγάπην οὐδεὶς ἔχει ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ
τῶν φίλων αὐτοῦ. ὑμεῖς φίλοι μού ἐστε ἐὰν ποιῆτε ὅσα ἐγὼ 14
ἐντέλλομαι ὑμῖν. οὐκέτι ὑμᾶς λέγω δούλους ὅτι ὁ δοῦλος οὐκ 15
οἶδεν τί ποιεῖ αὐτοῦ ὁ κύριος, ὑμᾶς δὲ εἴρηκα φίλους ὅτι πάντα
ἃ ἤκουσα παρὰ τοῦ πατρός μου ἐγνώρισα ὑμῖν. οὐχ ὑμεῖς με 16
ἐξελέξασθε ἀλλ ἐγὼ ἐξελεξάμην ὑμᾶς καὶ ἔθηκα ὑμᾶς ἵνα ὑμεῖς

---

v.4 μένω[vdaa2p] ἐν[p] ἐγώ[rpd-s] κἀγώ[rpn-s] ἐν[p] σύ[rpd-p] καθώς[bo] ὁ[dnns] κλῆμα[nnns] οὐ[xo] δύναμαι[vipn3s] καρπός[nams] φέρω[vnpa] ἀπό[p] ἑαυτοῦ[rxgms] ἐάν[qo] μή[xo] μένω[vsaa3s] ἐν[p] ὁ[ddfs] ἄμπελος[ndfs] οὕτω[bo] οὐδέ[bo] σύ[rpn-p] ἐάν[qo] μή[xo] ἐν[p] ἐγώ[rpd-s] μένω[vsaa2p]. **v.5** ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnfs] ἄμπελος[nnfs] σύ[rpn-p] ὁ[dnnp] κλῆμα[nnnp] ὁ[dnms] μένω[vppanms] ἐν[p] ἐγώ[rpd-s] κἀγώ[rpn-s] ἐν[p] αὐτός[rpdms] οὗτος[rdnms] φέρω[vipa3s] καρπός[nams] πολύς[aamsn] ὅτι[c] χωρίς[bo] ἐγώ[rpg-s] οὐ[xo] δύναμαι[vipn2p] ποιέω[vnpa] οὐδείς[aansn]. **v.6** ἐάν[qo] μή[xo] τι-σρινμσ μένω[vsaa3s] ἐν[p] ἐγώ[rpd-s] βάλλω[viap3s] ἔξω[bo] ὡς[bo] ὁ[dnns] κλῆμα[nnns] καί[c] ξηραίνω[viap3s] καί[c] συνάγω[vipa3p] αὐτός[rpanp] καί[c] εἰς[p] πῦρ[nans] βάλλω[vipa3p] καί[c] καίω[vipp3s]. **v.7** ἐάν[qo] μένω[vsaa2p] ἐν[p] ἐγώ[rpd-s] καί[c] ὁ[dnnp] ῥῆμα[nnnp] ἐγώ[rpg-s] ἐν[p] σύ[rpd-p] μένω[vsaa3s] ὅς[rrans] ἐάν[qo] θέλω[vspa2p] αἰτέω[vifm2p] καί[c] γίνομαι[vifd3s] σύ[rpd-p]. **v.8** ἐν[p] οὗτος[rddns] δοξάζω[viap3s] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ἵνα[c] καρπός[nams] πολύς[aamsn] φέρω[vspa2p] καί[c] γίνομαι[vifd2p] ἐγώ[rpd-s] μαθητής[nnmp]. **v.9** καθώς[bo] ἀγαπάω[viaa3s] ἐγώ[rpa-s] ὁ[dnms] πατήρ[nnms] κἀγώ[rpn-s] ἀγαπάω[viaa1s] σύ[rpa-p] μένω[vdaa2p] ἐν[p] ὁ[ddfs] ἀγάπη[ndfs] ὁ[ddfs] ἐμός[rsdfs]. **v.10** ἐάν[qo] ὁ[dafp] ἐντολή[nafp] ἐγώ[rpg-s] τηρέω[vsaa2p] μένω[vifa2p] ἐν[p] ὁ[ddfs] ἀγάπη[ndfs] ἐγώ[rpg-s] καθώς[bo] ἐγώ[rpn-s] ὁ[dafp] ἐντολή[nafp] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] τηρέω[vixa1s] καί[c] μένω[vipa1s] αὐτός[rpgms] ἐν[p] ὁ[ddfs] ἀγάπη[ndfs]. **v.11** οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] ἵνα[c] ὁ[dnfs] χαρά[nnfs] ὁ[dnfs] ἐμός[rsnfs] ἐν[p] σύ[rpd-p] μένω[vsaa3s] καί[c] εἰμί[dnfs] χαρά[nnfs] σύ[rpg-p] πληρόω[vsap3s]. **v.12** οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] ἐντολή[nnfs] ὁ[dnfs] ἐμός[rsnfs] ἵνα[c] ἀγαπάω[vspa2p] ἀλλήλων[reamp] καθώς[bo] ἀγαπάω[viaa1s] σύ[rpa-p]. **v.13** μέγας[aafsc] οὗτος[rdgfs] ἀγάπη[nafs] οὐδείς[anfsn] ἔχω[vipa3s] ἵνα[c] τι-σρινμσ ὁ[dafs] ψυχή[nafs] αὐτός[rpgms] τίθημι[vsaa3s] ὑπέρ[p] ὁ[dgmp] φίλος[agmpn] αὐτός[rpgms]. **v.14** σύ[rpn-p] φίλος[anmpn] ἐγώ[rpg-s] εἰμί[vipx2p] ἐάν[qo] ποιέω[vspa2p] ὅσος[rcanp] ἐγώ[rpn-s] ἐντέλλομαι[vipn1s] σύ[rpd-p]. **v.15** οὐκέτι[bo] σύ[rpa-p] λέγω[vipa1s] δοῦλος[namp] ὅτι[c] ὁ[dnms] δοῦλος[nnms] οὐ[xo] οἶδα[vixa3s] τίς[rqans] ποιέω[vipa3s] αὐτός[rpgms] ὁ[dnms] κύριος[nnms] σύ[rpa-p] δέ[c] λέγω[vixa1s] φίλος[aampn] ὅτι[c] πᾶς[aanpn] ὅς[rranp] ἀκούω[viaa1s] παρά[p] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] γνωρίζω[viaa1s] σύ[rpd-p].

ὑπάγητε καὶ καρπὸν φέρητε καὶ ὁ καρπὸς ὑμῶν μένῃ ἵνα ὅ τι
17 ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου δῷ ὑμῖν. ταῦτα ἐν-
18 τέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ
19 γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. εἰ ἐκ τοῦ κόσμου
ἦτε ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει, ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ
ἀλλ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου διὰ τοῦτο μισεῖ ὑμᾶς
20 ὁ κόσμος. μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν Οὐκ
ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς
διώξουσιν, εἰ τὸν λόγον μου ἐτήρησαν καὶ τὸν ὑμέτερον τηρή-
21 σουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου
22 ὅτι οὐκ οἴδασιν τὸν πέμψαντά με. εἰ μὴ ἦλθον καὶ ἐλάλησα
αὐτοῖς ἁμαρτίαν οὐκ εἴχον, νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν περὶ
23 τῆς ἁμαρτίας αὐτῶν. ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ.
24 εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν,
ἁμαρτίαν οὐκ εἴχον, νῦν δὲ καὶ ἑωράκασιν καὶ μεμισήκασιν
25 καὶ ἐμὲ καὶ τὸν πατέρα μου. ἀλλ ἵνα πληρωθῇ ὁ λόγος ὁ γε-
26 γραμμένος ἐν τῷ νόμῳ αὐτῶν ὅτι Ἐμίσησάν με δωρεάν. Ὅταν
δὲ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός τὸ
πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται ἐκεῖνος
27 μαρτυρήσει περὶ ἐμοῦ, καὶ ὑμεῖς δὲ μαρτυρεῖτε ὅτι ἀπ ἀρχῆς

---

v.16 οὐ[xo] σύ[rpn-p] ἐγώ[rpa-s] ἐκλέγω[viam2p] ἀλλά[c] ἐγώ[rpn-s] ἐκλέγω[viam1s] σύ[rpa-p] καί[c] τίθημι[viaa1s] σύ[rpa-p] ἵνα[c] σύ[rpn-p] ὑπάγω[vspa2p] καί[c] καρπός[nams] φέρω[vspa2p] καί[c] ὁ[dnms] καρπός[nnms] σύ[rpg-p] μένω[vspa3s] ἵνα[c] ὅς[rrans] τι-σριανσ ἄν[xo] αἰτέω[vsaa2p] ὁ[dams] πατήρ[nams] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] δίδωμι[vsaa3s] σύ[rpd-p]. **v.17** οὗτος[rdanp] ἐντέλλομαι[vipn1s] σύ[rpd-p] ἵνα[c] ἀγαπάω[vspa2p] ἀλλήλων[reamp]. **v.18** εἰ[qo] ὁ[dnms] κόσμος[nnms] σύ[rpa-p] μισέω[vipa3s] γινώσκω[vipa2p] ὅτι[c] ἐγώ[rpa-s] πρῶτος[bo] σύ[rpg-p] μισέω[vixa3s]. **v.19** εἰ[qo] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] εἰμί[viix2p] ὁ[dnms] κόσμος[nnms] ἄν[xo] ὁ[dans] ἴδιος[aansn] φιλέω[viia3s] ὅτι[c] δέ[c] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] οὐ[xo] εἰμί[vipx2p] ἀλλά[c] ἐγώ[rpn-s] ἐκλέγω[viam1s] σύ[rpa-p] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] διά[p] οὗτος[rdans] μισέω[vipa3s] σύ[rpa-p] ὁ[dnms] κόσμος[nnms]. **v.20** μνημονεύω[vdpa2p] ὁ[dgms] λόγος[ngms] ὅς[rrgms] ἐγώ[rpn-s] λέγω[viaa1s] σύ[rpd-p] οὐ[xo] εἰμί[vipx3s] δοῦλος[nnms] μέγας[anmsc] ὁ[dgms] κύριος[ngms] αὐτός[rpgms] εἰ[qo] ἐγώ[rpa-s] διώκω[viaa3p] καί[c] σύ[rpa-p] διώκω[vifa3p] εἰ[qo] ὁ[dams] λόγος[nams] ἐγώ[rpg-s] τηρέω[viaa3p] καί[c] ὁ[dams] ὑμέτερος[rsams] τηρέω[vifa3p]. **v.21** ἀλλά[c] οὗτος[rdanp] πᾶς[aanpn] ποιέω[vifa3p] σύ[rpd-p] διά[p] ὁ[dans] ὄνομα[nans] ἐγώ[rpg-s] ὅτι[c] οὐ[xo] οἶδα[vixa3p] ὁ[dams] πέμπω[vpaaams] ἐγώ[rpa-s]. **v.22** εἰ[qo] μή[xo] ἔρχομαι[viaa1s] καί[c] λαλέω[viaa1s] αὐτός[rpdmp] ἁμαρτία[nafs] οὐ[xo] ἔχω[viia3p] νῦν[bo] δέ[c] πρόφασις[nafs] οὐ[xo] ἔχω[vipa3p] περί[p] ὁ[dgfs] ἁμαρτία[ngfs] αὐτός[rpgmp]. **v.23** ὁ[dnms] ἐγώ[rpa-s] μισέω[vppanms] καί[c] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] μισέω[vipa3s]. **v.24** εἰ[qo] ὁ[danp] ἔργον[nanp] μή[xo] ποιέω[viaa1s] ἐν[p] αὐτός[rpdmp] ὅς[rranp] οὐδείς[anfsn] ἄλλος[anmsn] ποιέω[vixa3s] ἁμαρτία[nafs] οὐ[xo] ἔχω[viia3p] νῦν[bo] δέ[c] καί[c] ὁράω[vixa3p] καί[c] μισέω[vixa3p] καί[c] ἐγώ[rpa-s] καί[c] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s]. **v.25** ἀλλά[c] ἵνα[c] πληρόω[vsap3s] ὁ[dnms] λόγος[nnms] ὁ[dnms] γράφω[vpxpnms] ἐν[p] ὁ[ddms] νόμος[ndms] αὐτός[rpgmp] ὅτι[c] μισέω[viaa3p] ἐγώ[rpa-s] δωρεάν[bo]. **v.26** ὅταν[c] δέ[c] ἔρχομαι[vsaa3s] ὁ[dnms] παράκλητος[nnms] ὅς[rrams] ἐγώ[rpn-s] πέμπω[vifa1s] σύ[rpd-p] παρά[p] ὁ[dgms] πατήρ[ngms] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dgfs] ἀλήθεια[ngfs] ὅς[rrnns] παρά[p] ὁ[dgms] πατήρ[ngms] ἐκπορεύομαι[vipn3s] ἐκεῖνος[rdnms] μαρτυρέω[vifa3s] περί[p] ἐγώ[rpg-s].

μετ ἐμοῦ ἐστε.
Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε. ἀποσυναγώ- **16**, 2
γους ποιήσουσιν ὑμᾶς, ἀλλ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας
ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ. καὶ ταῦτα ποιήσου- 3
σιν ὑμῖν ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. ἀλλὰ ταῦτα 4
λελάληκα ὑμῖν ἵνα ὅταν ἔλθῃ ἡ ὥρα μνημονεύητε αὐτῶν ὅτι
ἐγὼ εἶπον ὑμῖν Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον ὅτι μεθ ὑ-
μῶν ἤμην. νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με καὶ οὐδεὶς ἐξ 5
ὑμῶν ἐρωτᾷ με Ποῦ ὑπάγεις. ἀλλ ὅτι ταῦτα λελάληκα ὑμῖν ἡ 6
λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. ἀλλ ἐγὼ τὴν ἀλήθειαν 7
λέγω ὑμῖν συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω ἐὰν γὰρ μὴ ἀπέλθω ὁ
παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς, ἐὰν δὲ πορευθῶ πέμψω
αὐτὸν πρὸς ὑμᾶς. καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ 8
ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως, περὶ ἁμαρ- 9
τίας μέν ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ, περὶ δικαιοσύνης δέ ὅτι 10
πρὸς τὸν πατέρα μου ὑπάγω καὶ οὐκ ἔτι θεωρεῖτέ με, περὶ δὲ 11
κρίσεως ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. Ἔτι πολλὰ 12
ἔχω λέγειν ὑμῖν ἀλλ οὐ δύνασθε βαστάζειν ἄρτι, ὅταν δὲ ἔλθῃ 13
ἐκεῖνος τὸ πνεῦμα τῆς ἀληθείας ὁδηγήσει ὑμᾶς εἰς πάσαν τῆν
ἀληθείαν, οὐ γὰρ λαλήσει ἀφ ἑαυτοῦ ἀλλ ὅσα ἂν ἀκούσῃ λα-
λήσει καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. ἐκεῖνος ἐμὲ δοξάσει 14

---

v.27 καί[c] σύ[rpn-p] δέ[c] μαρτυρέω[vipa2p] ὅτι[c] ἀπό[p] ἀρχή[ngfs] μετά[p] ἐγώ[rpg-s] εἰμί[vipx2p]. **16. v.1** οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] ἵνα[c] μή[xo] σκανδαλίζω[vsap2p]. **v.2** ἀποσυνάγωγος[aampn] ποιέω[vifa3p] σύ[rpa-p] ἀλλά[c] ἔρχομαι[vipn3s] ὥρα[nnfs] ἵνα[c] πᾶς[anmsn] ὁ[dnms] ἀποκτείνω[vpaanms] σύ[rpa-p] δοκέω[vsaa3s] λατρεία[nafs] προσφέρω[vnpa] ὁ[ddms] θεός[ndms]. **v.3** καί[c] οὗτος[rdanp] ποιέω[vifa3p] σύ[rpd-p] ὅτι[c] οὐ[xo] γινώσκω[viaa3p] ὁ[dams] πατήρ[nams] οὐδέ[bo] ἐγώ[rpa-s]. **v.4** ἀλλά[c] οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] ἵνα[c] ὅταν[c] ἔρχομαι[vsaa3s] ὁ[dnfs] ὥρα[nnfs] μνημονεύω[vspa2p] αὐτός[rpgnp] ὅτι[c] ἐγώ[rpn-s] λέγω[viaa1s] σύ[rpd-p] οὗτος[rdanp] δέ[c] σύ[rpd-p] ἐκ[p] ἀρχή[ngfs] οὐ[xo] λέγω[viaa1s] ὅτι[c] μετά[p] σύ[rpg-p] εἰμί[viix1s]. **v.5** νῦν[bo] δέ[c] ὑπάγω[vipa1s] πρός[p] ὁ[dams] πέμπω[vpaaams] ἐγώ[rpa-s] καί[c] οὐδείς[anfsn] ἐκ[p] σύ[rpg-p] ἐρωτάω[vipa3s] ἐγώ[rpa-s] ποῦ[xo] ὑπάγω[vipa2s]. **v.6** ἀλλά[c] ὅτι[c] οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] ὁ[dnfs] λύπη[nnfs] πληρόω[vixa3s] σύ[rpg-p] ὁ[dafs] καρδία[nafs]. **v.7** ἀλλά[c] ἐγώ[rpn-s] ὁ[dafs] ἀλήθεια[nafs] λέγω[vipa1s] σύ[rpd-p] συμφέρω[vipa3s] σύ[rpd-p] ἵνα[c] ἐγώ[rpn-s] ἀπέρχομαι[vsaa1s] ἐάν[qo] γάρ[c] μή[xo] ἀπέρχομαι[vsaa1s] ὁ[dnms] παράκλητος[nnms] οὐ[xo] ἔρχομαι[vifd3s] πρός[p] σύ[rpa-p] ἐάν[qo] δέ[c] πορεύομαι[vsao1s] πέμπω[vifa1s] αὐτός[rpams] πρός[p] σύ[rpa-p]. **v.8** καί[c] ἔρχομαι[vpaanms] ἐκεῖνος[rdnms] ἐλέγχω[vifa3s] ὁ[dams] κόσμος[nams] περί[p] ἁμαρτία[ngfs] καί[c] περί[p] δικαιοσύνη[ngfs] καί[c] περί[p] κρίσις[ngfs]. **v.9** περί[p] ἁμαρτία[ngfs] μέν[xo] ὅτι[c] οὐ[xo] πιστεύω[vipa3p] εἰς[p] ἐγώ[rpa-s]. **v.10** περί[p] δικαιοσύνη[ngfs] δέ[c] ὅτι[c] πρός[p] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] ὑπάγω[vipa1s] καί[c] οὐ[xo] ἔτι[bo] θεωρέω[vipa2p] ἐγώ[rpa-s]. **v.11** περί[p] δέ[c] κρίσις[ngfs] ὅτι[c] ὁ[dnms] ἄρχων[nnms] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] κρίνω[vixp3s]. **v.12** ἔτι[bo] πολύς[aanpn] ἔχω[vipa1s] λέγω[vnpa] σύ[rpd-p] ἀλλά[c] οὐ[xo] δύναμαι[vipn2p] βαστάζω[vnpa] ἄρτι[bo]. **v.13** ὅταν[c] δέ[c] ἔρχομαι[vsaa3s] ἐκεῖνος[rdnms] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dgfs] ἀλήθεια[ngfs] ὁδηγέω[vifa3s] σύ[rpa-p] εἰς[p] πᾶς[aafsn] ὁ[dafs] ἀλήθεια[nafs] οὐ[xo] γάρ[c] λαλέω[vifa3s] ἀπό[p] ἑαυτοῦ[rxgms] ἀλλά[c] ὅσος[rcanp] ἄν[xo] ἀκούω[vsaa3s] λαλέω[vifa3s] καί[c] ὁ[danp] ἔρχομαι[vppnanp] ἀναγγέλλω[vifa3s] σύ[rpd-p].

15 ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. πάντα ὅσα ἔχει
ὁ πατὴρ ἐμά ἐστιν, διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται,
16 καὶ ἀναγγελεῖ ὑμῖν. Μικρὸν καὶ οὐ θεωρεῖτέ με καὶ πάλιν
17 μικρὸν καὶ ὄψεσθέ με ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα. εἶ-
πον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους Τί ἐστιν τοῦτο
ὃ λέγει ἡμῖν Μικρὸν καὶ οὐ θεωρεῖτέ με καὶ πάλιν μικρὸν καὶ
18 ὄψεσθέ με καί Ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα. ἔλεγον οὖν
19 τοῦτο Τί ἐστιν ὃ λέγει τὸ μικρόν οὐκ οἴδαμεν τί λαλεῖ. ἔγνω
οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾷν καὶ εἶπεν αὐτοῖς Περὶ
τούτου ζητεῖτε μετ ἀλλήλων ὅτι εἶπον Μικρὸν καὶ οὐ θεωρεῖτέ
20 με καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με. ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι
κλαύσετε καὶ θρηνήσετε ὑμεῖς ὁ δὲ κόσμος χαρήσεται ὑμεῖς δὲ
21 λυπηθήσεσθε ἀλλ ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. ἡ γυνὴ
ὅταν τίκτῃ λύπην ἔχει ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς, ὅταν δὲ γεννήσῃ
τὸ παιδίον οὐκ ἔτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαρὰν ὅτι
22 ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. καὶ ὑμεῖς οὖν λύπην μὲν
νῦν ἔχετε, πάλιν δὲ ὄψομαι ὑμᾶς καὶ χαρήσεται ὑμῶν ἡ καρδία
23 καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ ὑμῶν. καὶ ἐν ἐκείνῃ τῇ
ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὅσα
24 ἄν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου δώσει ὑμῖν. ἕως
ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου, αἰτεῖτε καὶ λήψε-

---

v.14 ἐκεῖνος[rdnms] ἐγώ[rpa-s] δοξάζω[vifa3s] ὅτι[c] ἐκ[p] ὁ[dgms] ἐμός[rpg-s] λαμβάνω[vifd3s] καί[c] ἀναγγέλλω[vifa3s] σύ[rpd-p]. **v.15** πᾶς[annpn] ὅσος[rcanp] ἔχω[vipa3s] ὁ[dnms] πατήρ[nnms] ἐμός[rsnnp] εἰμί[vipx3s] διά[p] οὗτος[rdans] λέγω[viaa1s] ὅτι[c] ἐκ[p] ὁ[dgms] ἐμός[rpg-s] λαμβάνω[vifd3s] καί[c] ἀναγγέλλω[vifa3s] σύ[rpd-p]. **v.16** μικρός[aansn] καί[c] ὅς[xo] θεωρέω[vipa2p] ἐγώ[rpa-s] καί[c] πάλιν[bo] μικρός[aansn] καί[c] ὁράω[vifd2p] ἐγώ[rpa-s] ὅτι[c] ἐγώ[rpn-s] ὑπάγω[vipa1s] πρός[p] ὁ[dams] πατήρ[nams]. **v.17** λέγω[viaa3p] οὖν[c] ἐκ[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] πρός[p] ἀλλήλων[reamp] τίς[rqnns] εἰμί[vipx3s] οὗτος[rdnns] ὅς[rrans] λέγω[vipa3s] ἐγώ[rpd-p] μικρός[aansn] καί[c] οὐ[xo] θεωρέω[vipa2p] ἐγώ[rpa-s] καί[c] πάλιν[bo] μικρός[aansn] καί[c] ὁράω[vifd2p] ἐγώ[rpa-s] καί[c] ὅτι[c] ἐγώ[rpn-s] ὑπάγω[vipa1s] πρός[p] ὁ[dams] πατήρ[nams]. **v.18** λέγω[viia3p] οὖν[c] οὗτος[rdnns] τίς[rqnns] εἰμί[vipx3s] ὅς[rrans] λέγω[vipa3s] ὁ[dans] μικρός[aansn] οὐ[xo] οἶδα[vixa1p] τίς[rqans] λαλέω[vipa3s]. **v.19** γινώσκω[viaa3s] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] θέλω[viia3p] αὐτός[rpams] ἐρωτάω[vnpa] καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] περί[p] οὗτος[rdgms] ζητέω[vipa2p] μετά[p] ἀλλήλων[regmp] ὅτι[c] λέγω[viaa1s] μικρός[aansn] καί[c] οὐ[xo] θεωρέω[vipa2p] ἐγώ[rpa-s] καί[c] πάλιν[bo] μικρός[aansn] καί[c] ὁράω[vifd2p] ἐγώ[rpa-s]. **v.20** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] κλαίω[vifa2p] καί[c] θρηνέω[vifa2p] σύ[rpn-p] ὁ[dnms] δέ[c] κόσμος[nnms] χαίρω[vifo3s] σύ[rpn-p] δέ[c] λυπέω[vifp2p] ἀλλά[c] ὁ[dnfs] λύπη[nnfs] σύ[rpg-p] εἰς[p] χαρά[nafs] γίνομαι[vifd3s]. **v.21** ὁ[dnfs] γυνή[nnfs] ὅταν[c] τίκτω[vspa3s] λύπη[nafs] ἔχω[vipa3s] ὅτι[c] ἔρχομαι[viaa3s] ὁ[dnfs] ὥρα[nnfs] αὐτός[rpgfs] ὅταν[c] δέ[c] γεννάω[vsaa3s] ὁ[dans] παιδίον[nans] οὐ[xo] ἔτι[bo] μνημονεύω[vipa3s] ὁ[dgfs] θλῖψις[ngfs] διά[p] ὁ[dafs] χαρά[nafs] ὅτι[c] γεννάω[viap3s] ἄνθρωπος[nnms] εἰς[p] ὁ[dams] κόσμος[nams]. **v.22** καί[c] σύ[rpn-p] οὖν[c] λύπη[nafs] μέν[xo] νῦν[bo] ἔχω[vipa2p] πάλιν[bo] δέ[c] ὁράω[vifd1s] σύ[rpa-p] καί[c] χαίρω[vifo3s] σύ[rpg-p] ὁ[dnfs] καρδία[nnfs] καί[c] ὁ[dafs] χαρά[nafs] σύ[rpg-p] οὐδείς[anfsn] αἴρω[vipa3s] ἀπό[p] σύ[rpg-p]. **v.23** καί[c] ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfs] ἐγώ[rpa-s] οὐ[xo] ἐρωτάω[vifa2p] οὐδείς[aansn] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ὅσος[rcanp] ἄν[xo] αἰτέω[vsaa2p] ὁ[dams] πατήρ[nams] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] δίδωμι[vifa3s] σύ[rpd-p].

σθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Ταῦτα ἐν παροιμίαις 25
λελάληκα ὑμῖν, ἀλλ᾽ ἔρχεται ὥρα ὅτε οὐκ ἔτι ἐν παροιμίαις λα-
λήσω ὑμῖν ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν. ἐν 26
ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε καὶ οὐ λέγω ὑμῖν
ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν, αὐτὸς γὰρ ὁ πατὴρ 27
φιλεῖ ὑμᾶς ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε καὶ πεπιστεύκατε ὅτι ἐγὼ
παρὰ τοῦ θεοῦ ἐξῆλθον. ἐξῆλθον παρὰ τοῦ πατρὸς καὶ ἐλή- 28
λυθα εἰς τὸν κόσμον, πάλιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι
πρὸς τὸν πατέρα. Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ Ἴδε νῦν 29
παρρησίᾳ λαλεῖς καὶ παροιμίαν οὐδεμίαν λέγεις. νῦν οἴδαμεν 30
ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ, ἐν τούτῳ
πιστεύομεν ὅτι ἀπὸ θεοῦ ἐξῆλθες. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς 31
Ἄρτι πιστεύετε. ἰδοὺ ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν ἵνα σκορ- 32
πισθῆτε ἕκαστος εἰς τὰ ἴδια καὶ ἐμὲ μόνον ἀφῆτε, καὶ οὐκ εἰμὶ
μόνος ὅτι ὁ πατὴρ μετ ἐμοῦ ἐστιν. ταῦτα λελάληκα ὑμῖν ἵνα 33
ἐν ἐμοὶ εἰρήνην ἔχητε, ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε ἀλλὰ θαρσεῖτε
ἐγὼ νενίκηκα τὸν κόσμον.

Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς καὶ ἐπῆρεν τοὺς ὀφθαλμοὺς αὐ- **17**
τοῦ εἰς τὸν οὐρανὸν καὶ εἶπεν Πάτερ ἐλήλυθεν ἡ ὥρα, δόξασόν
σου τὸν υἱόν ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. καθὼς ἔδωκας 2
αὐτῷ ἐξουσίαν πάσης σαρκός ἵνα πᾶν ὃ δέδωκας αὐτῷ δώσῃ

---

Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθη- **21**
ταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, ἐφανέρωσεν δὲ οὕτως.
ἦσαν ὁμοῦ Σίμων Πέτρος καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος καὶ 2
Ναθαναὴλ ὁ ἀπὸ Κανὰ τῆς Γαλιλαίας καὶ οἱ τοῦ Ζεβεδαίου καὶ
ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. λέγει αὐτοῖς Σίμων Πέτρος 3
Ὑπάγω ἁλιεύειν λέγουσιν αὐτῷ Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί
ἐξῆλθον καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθὺς, καὶ ἐν ἐκείνῃ τῇ
νυκτὶ ἐπίασαν οὐδέν. πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ Ἰη- 4
σοῦς εἰς τὸν αἰγιαλόν οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς
ἐστιν. λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς Παιδία μή τι προσφάγιον 5
ἔχετε ἀπεκρίθησαν αὐτῷ Οὔ. ὁ δὲ εἶπεν αὐτοῖς Βάλετε εἰς τὰ 6
δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον καὶ εὑρήσετε ἔβαλον οὖν καὶ
οὐκ ἔτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.
λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ Ὁ 7
κύριός ἐστιν Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ κύριός ἐστιν τὸν
ἐπενδύτην διεζώσατο ἦν γὰρ γυμνός καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν

---

v.29 λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] ὁράω[vixa2s] ἐγώ[rpa-s] Θωμᾶς[nvms] πιστεύω[vixa2s] μακάριος[anmpn] ὁ[dnmp] μή[xo] ὁράω[vpaanmp] καί[c] πιστεύω[vpaanmp]. **v.30** πολύς[aanpn] μέν[xo] οὖν[c] καί[c] ἄλλος[aanpn] σημεῖον[nanp] ποιέω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἐνώπιον[bo] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] ὅς[rrnnp] οὐ[xo] εἰμί[vipx3s] γράφω[vpxpnnp] ἐν[p] ὁ[ddns] βιβλίον[ndns] οὗτος[rddns]. **v.31** οὗτος[rdnnp] δέ[c] γράφω[vixp3s] ἵνα[c] πιστεύω[vsaa2p] ὅτι[c] ὁ[dnms] Ἰησοῦς[nnms] εἰμί[vipx3s] ὁ[dnms] Χριστός[nnms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms] καί[c] ἵνα[c] πιστεύω[vppanmp] ζωή[nafs] ἔχω[vspa2p] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] αὐτός[rpgms]. **21. v.1** μετά[p] οὗτος[rdanp] φανερόω[viaa3s] ἑαυτοῦ[rxams] πάλιν[bo] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[ddmp] μαθητής[ndmp] ἐπί[p] ὁ[dgfs] θάλασσα[ngfs] ὁ[dgfs] Τιβεριάς[ngfs] φανερόω[viaa3s] δέ[c] οὕτω[bo]. **v.2** εἰμί[viix3p] ὁμοῦ[bo] Σίμων[nnms] Πέτρος[nnms] καί[c] Θωμᾶς[nnms] ὁ[dnms] λέγω[vpppnms] Δίδυμος[nnms] καί[c] Ναθαναήλ[tp] ὁ[dnms] ἀπό[p] Κανά[tp] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] ὁ[dnmp] ὁ[dgms] Ζεβεδαῖος[ngms] καί[c] ἄλλος[anmpn] ἐκ[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] δύο[tn]. **v.3** λέγω[vipa3s] αὐτός[rpdmp] Σίμων[nnms] Πέτρος[nnms] ὑπάγω[vipa1s] ἁλιεύω[vnpa] λέγω[vipa3p] αὐτός[rpdms] ἔρχομαι[vipn1p] καί[c] ἐγώ[rpn-p] σύν[p] σύ[rpd-s] ἐξέρχομαι[viaa3p] καί[c] ἀναβαίνω[viaa3p] εἰς[p] ὁ[dans] πλοῖον[nans] εὐθύς[bo] καί[c] ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] νύξ[ndfs] πιάζω[viaa3p] οὐδείς[aansn]. **v.4** πρωΐα[ngfs] δέ[c] ἤδη[bo] γίνομαι[vpadgfs] ἵστημι[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] ὁ[dams] αἰγιαλός[nams] οὐ[xo] μέντοι[c] οἶδα[viya3p] ὁ[dnmp] μαθητής[nnmp] ὅτι[c] Ἰησοῦς[nnms] εἰμί[vipx3s]. **v.5** λέγω[vipa3s] οὖν[c] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] παιδίον[nvnp] μή[xo] τι-σριανσ προσφάγιον[nans] ἔχω[vipa2p] ἀποκρίνομαι[viad3p] αὐτός[rpdms] οὐ[xo]. **v.6** ὁ[dnms] δέ[c] λέγω[viaa3s] αὐτός[rpdmp] βάλλω[vdaa2p] εἰς[p] ὁ[danp] δεξιός[aanpn] μέρος[nanp] ὁ[dgns] πλοῖον[ngns] ὁ[dans] δίκτυον[nans] καί[c] εὑρίσκω[vifa2p] βάλλω[viaa3p] οὖν[c] καί[c] οὐ[xo] ἔτι[bo] αὐτός[rpans] ἕλκω[vnaa] ἰσχύω[viaa3p] ἀπό[p] ὁ[dgns] πλῆθος[ngns] ὁ[dgmp] ἰχθύς[ngmp].

8 θάλασσαν. οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον οὐ γὰρ
ἦσαν μακρὰν ἀπὸ τῆς γῆς ἀλλ᾽ ὡς ἀπὸ πηχῶν διακοσίων σύ-
9 ροντες τὸ δίκτυον τῶν ἰχθύων. ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν
βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον καὶ
10 ἄρτον. λέγει αὐτοῖς ὁ Ἰησοῦς Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν
11 ἐπιάσατε νῦν. ἀνέβη Σίμων Πέτρος καὶ εἵλκυσεν τὸ δίκτυον
ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν,
12 καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον. λέγει αὐτοῖς ὁ
Ἰησοῦς Δεῦτε ἀριστήσατε οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξε-
13 τάσαι αὐτόν Σὺ τίς εἶ εἰδότες ὅτι ὁ κύριός ἐστιν. ἔρχεται οὖν
ὁ Ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς καὶ τὸ ὀ-
14 ψάριον ὁμοίως. τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς
15 μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν. Ὅτε οὖν ἠρίστησαν λέ-
γει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖόν
τούτων λέγει αὐτῷ Ναί κύριε σὺ οἶδας ὅτι φιλῶ σε λέγει αὐτῷ
16 Βόσκε τὰ ἀρνία μου. λέγει αὐτῷ πάλιν δεύτερον Σίμων Ἰωνᾶ
ἀγαπᾷς με λέγει αὐτῷ Ναί κύριε σὺ οἶδας ὅτι φιλῶ σε λέγει
17 αὐτῷ Ποίμαινε τὰ πρόβατά μου. λέγει αὐτῷ τὸ τρίτον Σίμων
Ἰωνᾶ, φιλεῖς με ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον Φι-
λεῖς με καὶ εἶπεν αὐτῷ Κύριε σὺ πάντα οἶδας σὺ γινώσκεις ὅτι

---

v.7 λέγω[vipa3s] οὖν[c] ὁ[dnms] μαθητής[nnms] ἐκεῖνος[rdnms] ὅς[rrams] ἀγαπάω[viia3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[ddms] Πέτρος[ndms] ὁ[dnms] κύριος[nnms] εἰμί[vipx3s] Σίμων[nnms] οὖν[c] Πέτρος[nnms] ἀκούω[vpaanms] ὅτι[c] ὁ[dnms] κύριος[nnms] εἰμί[vipx3s] ὁ[dams] ἐπενδύτης[nafs] διαζώννυμι[viam3s] εἰμί[viix3s] γάρ[c] γυμνός[anmsn] καί[c] βάλλω[viaa3s] ἑαυτοῦ[rxams] εἰς[p] ὁ[dafs] θάλασσα[nafs]. **v.8** ὁ[dnmp] δέ[c] ἄλλος[anmpn] μαθητής[nnmp] ὁ[ddns] πλοιάριον[ndns] ἔρχομαι[viaa3p] οὐ[xo] γάρ[c] εἰμί[viix3p] μακράν[bo] ἀπό[p] ὁ[dgfs] γῆ[ngfs] ἀλλά[c] ὡς[bo] ἀπό[p] πῆχυς[ngmp] διακόσιοι[ngmp] σύρω[vppanms] ὁ[dans] δίκτυον[nans] ὁ[dgmp] ἰχθύς[ngmp]. **v.9** ὡς[bo] οὖν[c] ἀποβαίνω[viaa3p] εἰς[p] ὁ[dafs] γῆ[nafs] βλέπω[vipa3p] ἀνθρακιά[nafs] κεῖμαι[vppnafs] καί[c] ὀψάριον[nans] ἐπίκειμαι[vppnans] καί[c] ἄρτος[nams]. **v.10** λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] φέρω[vdaa2p] ἀπό[p] ὁ[dgnp] ὀψάριον[ngnp] ὅς[rrgnp] πιάζω[viaa2p] νῦν[bo]. **v.11** ἀναβαίνω[viaa3s] Σίμων[nnms] Πέτρος[nnms] καί[c] ἕλκω[viaa3s] ὁ[dans] δίκτυον[nans] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] μεστός[aansn] ἰχθύς[ngmp] μέγας[agmpn] ἑκατόν[tn] πεντήκοντα[ngmp] καί[c] τοσοῦτος[rdgmp] εἰμί[vppxgmp] οὐ[xo] σχίζω[viap3s] ὁ[dnns] δίκτυον[nnns]. **v.12** λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] δεῦτε[vdvx2p] ἀριστάω[vdaa2p] οὐδείς[anfsn] δέ[c] τολμάω[viia3s] ὁ[dgmp] μαθητής[ngmp] ἐξετάζω[vnaa] αὐτός[rpams] σύ[rpn-s] τίς[rqnms] εἰμί[vipx2s] οἶδα[vpxanmp] ὅτι[c] ὁ[dnms] κύριος[nnms] εἰμί[vipx3s]. **v.13** ἔρχομαι[vipn3s] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λαμβάνω[vipa3s] ὁ[dams] ἄρτος[nams] καί[c] δίδωμι[vipa3s] αὐτός[rpdmp] καί[c] ὁ[dans] ὀψάριον[nans] ὁμοίως[bo]. **v.14** οὗτος[rdnns] ἤδη[bo] τρίτος[aansn] φανερόω[viap3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ἐγείρω[vpapnms] ἐκ[p] νεκρός[agmpn]. **v.15** ὅτε[bo] οὖν[c] ἀριστάω[viaa3p] λέγω[vipa3s] ὁ[ddms] Σίμων[ndms] Πέτρος[ndms] ὁ[dnms] Ἰησοῦς[nnms] Σίμων[nvms] Ἰωνᾶς[ngms] ἀγαπάω[vipa2s] ἐγώ[rpa-s] πολύς[aansc] οὗτος[rdgmp] λέγω[vipa3s] αὐτός[rpdms] ναί[xo] κύριος[nvms] σύ[rpn-s] οἶδα[vixa2s] ὅτι[c] φιλέω[vipa1s] σύ[rpa-s] λέγω[vipa3s] αὐτός[rpdms] βόσκω[vdpa2s] ὁ[danp] ἀρνίον[nanp] ἐγώ[rpg-s]. **v.16** λέγω[vipa3s] αὐτός[rpdms] πάλιν[bo] δεύτερος[bo] Σίμων[nvms] Ἰωνᾶς[ngms] ἀγαπάω[vipa2s] ἐγώ[rpa-s] λέγω[vipa3s] αὐτός[rpdms] ναί[xo] κύριος[nvms] σύ[rpn-s] οἶδα[vixa2s] ὅτι[c] φιλέω[vipa1s] σύ[rpa-s] λέγω[vipa3s] αὐτός[rpdms] ποιμαίνω[vdpa2s] ὁ[danp] πρόβατον[nanp] ἐγώ[rpg-s].

φιλῶ σε λέγει αὐτῷ ὁ Ἰησοῦς Βόσκε τὰ πρόβατά μου. ἀμὴν 18
ἀμὴν λέγω σοι ὅτε ἦς νεώτερος ἐζώννυες σεαυτὸν καὶ περιε-
πάτεις ὅπου ἤθελες, ὅταν δὲ γηράσῃς ἐκτενεῖς τὰς χεῖράς σου
καὶ ἄλλος σε ζώσει καὶ οἴσει ὅπου οὐ θέλεις. τοῦτο δὲ εἶπεν 19
σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν θεόν καὶ τοῦτο εἰπὼν λέ-
γει αὐτῷ Ἀκολούθει μοι. Ἐπιστραφεὶς δέ ὁ Πέτρος βλέπει τὸν 20
μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα ὃς καὶ ἀνέπεσεν
ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπεν Κύριε τίς ἐστιν ὁ
παραδιδούς σε. τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ Κύριε 21
οὗτος δὲ τί. λέγει αὐτῷ ὁ Ἰησοῦς Ἐὰν αὐτὸν θέλω μένειν ἕως 22
ἔρχομαι τί πρὸς σέ σύ ἀκολούθει μοι. ἐξῆλθεν οὖν ὁ λόγος 23
οὗτος εἰς τοὺς ἀδελφοὺς ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνῄ-
σκει καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνῄσκει, ἀλ᾽λ
Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι τί πρὸς σέ. Οὗτός ἐστιν ὁ 24
μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων καὶ γράψας ταῦτα καὶ οἴδα-
μεν ὅτι ἀληθὴς ἐστίν ἡ μαρτυρία αὐτοῦ. Ἔστιν δὲ καὶ ἄλλα 25
πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς ἅτινα ἐὰν γράφηται καθ ἕν οὐδὲ
αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία ἀμήν.

---

v.17 λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dans] τρίτος[aansn] Σίμων[nvms] Ἰωνᾶς[ngms] φιλέω[vipa2s] ἐγώ[rpa-s] λυπέω[viap3s] ὁ[dnms] Πέτρος[nnms] ὅτι[c] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[dans] τρίτος[aansn] φιλέω[vipa2s] ἐγώ[rpa-s] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] κύριος[nvms] σύ[rpn-s] πᾶς[aanpn] οἶδα[vixa2s] σύ[rpn-s] γινώσκω[vipa2s] ὅτι[c] φιλέω[vipa1s] σύ[rpa-s] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] βόσκω[vdpa2s] ὁ[danp] πρόβατον[nanp] ἐγώ[rpg-s]. **v.18** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-s] ὅτε[bo] εἰμί[viix2s] νέος[anmsc] ζωννύω[viia2s] σεαυτοῦ[rxams] καί[c] περιπατέω[viia2s] ὅπου[bo] θέλω[viia2s] ὅταν[c] δέ[c] γηράσκω[vsaa2s] ἐκτείνω[vifa2s] ὁ[dafp] χείρ[nafp] σύ[rpg-s] καί[c] ἄλλος[anmsn] σύ[rpa-s] ζωννύω[vifa3s] καί[c] φέρω[vifa3s] ὅπου[bo] οὐ[xo] θέλω[vipa2s]. **v.19** οὗτος[rdans] δέ[c] λέγω[viaa3s] σημαίνω[vppanms] ποῖος[rqdms] θάνατος[ndms] δοξάζω[vifa3s] ὁ[dams] θεός[nams] καί[c] οὗτος[rdans] λέγω[vpaanms] λέγω[vipa3s] αὐτός[rpdms] ἀκολουθέω[vdpa2s] ἐγώ[rpd-s]. **v.20** ἐπιστρέφω[vpapnms] δέ[c] ὁ[dnms] Πέτρος[nnms] βλέπω[vipa3s] ὁ[dams] μαθητής[nams] ὅς[rrams] ἀγαπάω[viia3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἀκολουθέω[vppaams] ὅς[rrnms] καί[c] ἀναπίπτω[viaa3s] ἐν[p] ὁ[ddns] δεῖπνον[ndns] ἐπί[p] ὁ[dans] στῆθος[nans] αὐτός[rpgms] καί[c] λέγω[viaa3s] κύριος[nvms] τίς[rqnms] εἰμί[vipx3s] ὁ[dnms] παραδίδωμι[vppanms] σύ[rpa-s]. **v.21** οὗτος[rdams] ὁράω[vpaanms] ὁ[dnms] Πέτρος[nnms] λέγω[vipa3s] ὁ[ddms] Ἰησοῦς[ndms] κύριος[nvms] οὗτος[rdnms] δέ[c] τίς[rqnns]. **v.22** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἐάν[qo] αὐτός[rpams] θέλω[vspa1s] μένω[vnpa] ἕως[c] ἔρχομαι[vipn1s] τίς[rqnns] πρός[p] σύ[rpa-s] σύ[rpn-s] ἀκολουθέω[vdpa2s] ἐγώ[rpd-s]. **v.23** ἐξέρχομαι[viaa3s] οὖν[c] ὁ[dnms] λόγος[nnms] οὗτος[rdnms] εἰς[p] ὁ[damp] ἀδελφός[namp] ὅτι[c] ὁ[dnms] μαθητής[nnms] ἐκεῖνος[rdnms] οὐ[xo] ἀποθνῄσκω[vipa3s] καί[c] οὐ[xo] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] οὐ[xo] ἀποθνῄσκω[vipa3s] ἀλλά[c] ἐάν[qo] αὐτός[rpams] θέλω[vspa1s] μένω[vnpa] ἕως[c] ἔρχομαι[vipn1s] τίς[rqnns] πρός[p] σύ[rpa-s]. **v.24** οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] μαθητής[nnms] ὁ[dnms] μαρτυρέω[vppanms] περί[p] οὗτος[rdgnp] καί[c] γράφω[vpaanms] οὗτος[rdanp] καί[c] οἶδα[vixa1p] ὅτι[c] ἀληθής[anfsn] εἰμί[vipx3s] ὁ[dnfs] μαρτυρία[nnfs] αὐτός[rpgms]. **v.25** εἰμί[vipx3s] δέ[c] καί[c] ἄλλος[annpn] πολύς[annpn] ὅσος[rcnnp] ποιέω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὅστις[rrnnp] ἐάν[qo] γράφω[vspp3s] κατά[p] εἷς[nans] οὐδέ[bo] αὐτός[rpams] οἴομαι[vipn1s] ὁ[dams] κόσμος[nams] χωρέω[vnaa] ὁ[danp] γράφω[vpppanp] βιβλίον[nanp] ἀμήν[th].

ΠΡΑΞΕΙΣ
ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ

1 Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων ὦ Θεόφιλε
2 ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. ἄχρι ἧς ἡμέρας
ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου οὓς ἐξελέ-
3 ξατο ἀνελήφθη. οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ
παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις δι᾽ ἡμερῶν τεσσαράκοντα
ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ θε-
4 οῦ, καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων
μὴ χωρίζεσθαι ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν
5 ἠκούσατέ μου. ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι ὑμεῖς δὲ βα-
πτισθήσεσθε ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.
6 Οἱ μὲν οὖν συνελθόντες ἐπήρώτων αὐτὸν λέγοντες Κύριε εἰ ἐν
7 τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ. εἶ-
πεν δὲ πρὸς αὐτούς Οὐχ ὑμῶν ἐστιν γνῶναι χρόνους ἢ καιροὺς
8 οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. ἀλλὰ λήψεσθε δύνα-
μιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ ὑμᾶς καὶ ἔσεσθέ μοι
μάρτυρες ἔν τε Ἰερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σα-
9 μαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς. καὶ ταῦτα εἰπὼν βλεπόντων
αὐτῶν ἐπήρθη καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν
10 αὐτῶν. καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου

---

1. v.1 ὁ[dams] μέν[xo] πρῶτος[aamsn] λόγος[nams] ποιέω[viam1s] περί[p] πᾶς[agnpn] ὦ[i] Θεόφιλος[nvms] ὅς[rrgnp] ἄρχω[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] ποιέω[vnpa] τέ[xo] καί[c] διδάσκω[vnpa]. **v.2** ἄχρι[p] ὅς[rrgfs] ἡμέρα[ngfs] ἐντέλλομαι[vpannms] ὁ[ddmp] ἀπόστολος[ndmp] διά[p] πνεῦμα[ngns] ἅγιος[agnsn] ὅς[rramp] ἐκλέγω[viam3s] ἀναλαμβάνω[viap3s]. **v.3** ὅς[rrdmp] καί[c] παρίστημι[viaa3s] ἑαυτοῦ[rxams] ζάω[vppaams] μετά[p] ὁ[dans] πάσχω[vnaa] αὐτός[rpams] ἐν[p] πολύς[adnpn] τεκμήριον[ndnp] διά[p] ἡμέρα[ngfp] τεσσεράκοντα[tn] ὀπτάνομαι[vppnnms] αὐτός[rpdmp] καί[c] λέγω[vppanms] ὁ[danp] περί[p] ὁ[dgfs] βασιλεία[ngfs] ὁ[dgms] θεός[ngms]. **v.4** καί[c] συναλίζομαι[vppnnms] παραγγέλλω[viaa3s] αὐτός[rpdmp] ἀπό[p] Ἱεροσόλυμα[ngnp] μή[xo] χωρίζω[vnpp] ἀλλά[c] περιμένω[vnpa] ὁ[dafs] ἐπαγγελία[nafs] ὁ[dgms] πατήρ[ngms] ὅς[rrafs] ἀκούω[viaa2p] ἐγώ[rpg-s]. **v.5** ὅτι[c] Ἰωάννης[nnms] μέν[xo] βαπτίζω[viaa3s] ὕδωρ[ndns] σύ[rpn-p] δέ[c] βαπτίζω[vifp2p] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn] οὐ[xo] μετά[p] πολύς[aafpn] οὗτος[rdafp] ἡμέρα[nafp]. **v.6** ὁ[dnmp] μέν[xo] οὖν[c] συνέρχομαι[vpaanmp] ἐπερωτάω[viia3p] αὐτός[rpams] λέγω[vppanmp] κύριος[nvms] εἰ[qo] ἐν[p] ὁ[ddms] χρόνος[ndms] οὗτος[rddms] ἀποκαθιστάνω[vipa2s] ὁ[dafs] βασιλεία[nafs] ὁ[ddms] Ἰσραήλ[tp]. **v.7** λέγω[viaa3s] δέ[c] πρός[p] αὐτός[rpamp] οὐ[xo] σύ[rpg-p] εἰμί[vipx3s] γινώσκω[vnaa] χρόνος[namp] ἤ[xo] καιρός[namp] ὅς[rramp] ὁ[dnms] πατήρ[nnms] τίθημι[viam3s] ἐν[p] ὁ[ddfs] ἴδιος[adfsn] ἐξουσία[ndfs]. **v.8** ἀλλά[c] λαμβάνω[vifd2p] δύναμις[nafs] ἐπέρχομαι[vpaagns] ὁ[dgns] ἅγιος[agnsn] πνεῦμα[ngns] ἐπί[p] σύ[rpa-p] καί[c] εἰμί[vifx2p] ἐγώ[rpd-s] μάρτυς[nnmp] ἐν[p] τέ[xo] Ἰερουσαλήμ[tp] καί[c] ἐν[p] πᾶς[adfsn] ὁ[ddfs] Ἰουδαία[ndfs] καί[c] Σαμάρεια[ndfs] καί[c] ἕως[c] ἔσχατος[agmsn] ὁ[dgfs] γῆ[ngfs]. **v.9** καί[c] οὗτος[rdanp] λέγω[vpaanms] βλέπω[vppagmp] αὐτός[rpgmp] ἐπαίρω[viap3s] καί[c] νεφέλη[nnfs] ὑπολαμβάνω[viaa3s] αὐτός[rpams] ἀπό[p] ὁ[dgmp] ὀφθαλμός[ngmp] αὐτός[rpgmp].

αὐτοῦ καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι
λευκῇ, οἳ καὶ εἶπον, Ἄνδρες Γαλιλαῖοι τί ἑστήκατε ἐμβλέπον- 11
τες εἰς τὸν οὐρανόν οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ ὑμῶν εἰς
τὸν οὐρανὸν οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πο-
ρευόμενον εἰς τὸν οὐρανόν. Τότε ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ 12
ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος ὅ ἐστιν ἐγγὺς Ἰερουσα-
λὴμ σαββάτου ἔχον ὁδόν. καὶ ὅτε εἰσῆλθον ἀνέβησαν εἰς τὸ 13
ὑπερῷον οὗ ἦσαν καταμένοντες ὅ τε Πέτρος καὶ Ἰάκωβος καὶ
Ἰωάννης καὶ Ἀνδρέας Φίλιππος καὶ Θωμᾶς Βαρθολομαῖος καὶ
Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ ζηλωτὴς καὶ Ἰούδας
Ἰακώβου. οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν 14
τῇ προσευχῇ καὶ τῇ δεήσει, σὺν γυναιξὶν καὶ Μαριᾳ τῇ μητρὶ
τοῦ Ἰησοῦ καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. Καὶ ἐν ταῖς ἡμέραις 15
ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν εἶπεν ἦν τε ὄχλος
ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὣς ἑκατὸν εἴκοσιν, Ἄνδρες ἀδελφοί ἔ- 16
δει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπεν τὸ πνεῦμα τὸ
ἅγιον διὰ στόματος Δαβὶδ, περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ
τοῖς συλλαβοῦσιν τὸν Ἰησοῦν. ὅτι κατηριθμημένος ἦν σὺν ἡ- 17
μῖν καὶ ἔλαχεν τὸν κλῆρον τῆς διακονίας ταύτης. Οὗτος μὲν 18
οὖν ἐκτήσατο χωρίον ἐκ τοῦ μισθοῦ τῆς ἀδικίας καὶ πρηνὴς
γενόμενος ἐλάκησεν μέσος καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα

---

v.10 καί[c] ὡς[bo] ἀτενίζω[vppanmp] εἰμί[viix3p] εἰς[p] ὁ[dams] οὐρανός[nams] πορεύομαι[vppngms] αὐτός[rpgms] καί[c] ἰδού[vdaa2s] ἀνήρ[nnmp] δύο[tn] παρίστημι[viya3p] αὐτός[rpdmp] ἐν[p] ἐσθής[ndfs] λευκός[adfsn]. **v.11** ὅς[rrnmp] καί[c] λέγω[viaa3p] ἀνήρ[nvmp] Γαλιλαῖος[nvmp] τίς[rqans] ἵστημι[vixa2p] ἐμβλέπω[vppanmp] εἰς[p] ὁ[dams] οὐρανός[nams] οὗτος[rdnms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dnms] ἀναλαμβάνω[vpapnms] ἀπό[p] σύ[rpg-p] εἰς[p] ὁ[dams] οὐρανός[nams] οὕτω[bo] ἔρχομαι[vifd3s] ὅς[rrams] τρόπος[nams] θεάομαι[viad2p] αὐτός[rpams] πορεύομαι[vppnams] εἰς[p] ὁ[dams] οὐρανός[nams]. **v.12** τότε[bo] ὑποστρέφω[viaa3p] εἰς[p] Ἰερουσαλήμ[tp] ἀπό[p] ὄρος[ngns] ὁ[dgns] καλέω[vpppgns] ἐλαιών[ngms] ὅς[rrnns] εἰμί[vipx3s] ἐγγύς[bo] Ἰερουσαλήμ[tp] σάββατον[ngns] ἔχω[vppaans] ὁδός[nafs]. **v.13** καί[c] ὅτε[bo] εἰσέρχομαι[viaa3p] ἀναβαίνω[viaa3p] εἰς[p] ὁ[dans] ὑπερῷον[nans] ὅς[bo] εἰμί[viix3p] καταμένω[vppanmp] ὁ[dnms] τέ[xo] Πέτρος[nnms] καί[c] Ἰάκωβος[nnms] καί[c] Ἰωάννης[nnms] καί[c] Ἀνδρέας[nnms] Φίλιππος[nnms] καί[c] Θωμᾶς[nnms] Βαρθολομαῖος[nnms] καί[c] Μαθχαῖος[nnms] Ἰάκωβος[nnms] Ἀλφαῖος[ngms] καί[c] Σίμων[nnms] ὁ[dnms] ζηλωτής[nnms] καί[c] Ἰούδας[nnms] Ἰάκωβος[ngms]. **v.14** οὗτος[rdnmp] πᾶς[anmpn] εἰμί[viix3p] προσκαρτερέω[vppanmp] ὁμοθυμαδόν[bo] ὁ[ddfs] προσευχή[ndfs] καί[c] ὁ[ddfs] δέησις[ndfs] σύν[p] γυνή[ndfp] καί[c] Μαρία[ndfs] ὁ[ddfs] μήτηρ[ndfs] ὁ[dgms] Ἰησοῦς[ngms] καί[c] σύν[p] ὁ[ddmp] ἀδελφός[ndmp] αὐτός[rpgms]. **v.15** καί[c] ἐν[p] ὁ[ddfp] ἡμέρα[ndfp] οὗτος[rddfp] ἀνίστημι[vpaanms] Πέτρος[nnms] ἐν[p] μέσος[adnsn] ὁ[dgmp] μαθητής[ngmp] λέγω[viaa3s] εἰμί[viix3s] τέ[xo] ὄχλος[nnms] ὄνομα[ngnp] ἐπί[p] ὁ[dans] αὐτός[rpans] ὡς[bo] ἑκατόν[tn] εἴκοσι[nnmp]. **v.16** ἀνήρ[nvmp] ἀδελφός[nvmp] δεῖ[viiq3s] πληρόω[vnap] ὁ[dafs] γραφή[nafs] οὗτος[rdafs] ὅς[rrafs] προλέγω[viaa3s] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] ἅγιος[annsn] διά[p] στόμα[ngns] Δαυίδ[tp] περί[p] Ἰούδας[ngms] ὁ[dgms] γίνομαι[vpadgms] ὁδηγός[ngms] ὁ[ddmp] συλλαμβάνω[vpaadmp] ὁ[dams] Ἰησοῦς[nams]. **v.17** ὅτι[c] καταριθμέω[vpxpnms] εἰμί[viix3s] σύν[p] ἐγώ[rpd-p] καί[c] λαγχάνω[viaa3s] ὁ[dams] κλῆρος[nams] ὁ[dgfs] διακονία[ngfs] οὗτος[rdgfs].

19 αὐτοῦ, καὶ γνωστὸν ἐγένετο πάσιν τοῖς κατοικοῦσιν Ἰερουσα-
λήμ ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν
20 Ἁκελδαμά, τουτ᾽ἔστιν Χωρίον Αἵματος. Γέγραπται γὰρ ἐν βί-
βλῳ ψαλμῶν Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος καὶ μὴ ἔστω ὁ
21 κατοικῶν ἐν αὐτῇ καί Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. δεῖ
οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ ἐν ᾧ εἰσῆλ-
22 θεν καὶ ἐξῆλθεν ἐφ ἡμᾶς ὁ κύριος Ἰησοῦς. ἀρξάμενος ἀπὸ
τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ ἡ-
μῶν μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα
23 τούτων. καὶ ἔστησαν δύο Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν
24 ὃς ἐπεκλήθη Ἰοῦστος καὶ Ματθίαν. καὶ προσευξάμενοι εἶπον,
Σὺ κύριε καρδιογνῶστα πάντων ἀνάδειξον ἐκ τούτων τῶν δύο
25 ἕνα ὃν ἐξελέξω. λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ
ἀποστολῆς ἐξ ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν
26 ἴδιον. καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ
Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

2 Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς ἦ-
2 σαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. καὶ ἐγένετο ἄφνω ἐκ
τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας καὶ ἐπλήρω-
3 σεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι, καὶ ὤφθησαν αὐτοῖς

---

v.18 οὗτος[rdnms] μέν[xo] οὖν[c] κτάομαι[viad3s] χωρίον[nans] ἐκ[p] ὁ[dgms] μισθός[ngms] ὁ[dgfs] ἀδικία[ngfs] καί[c] πρηνής[anmsn] γίνομαι[vpadnms] λακάω[viaa3s] μέσος[anmsn] καί[c] ἐκχέω[viap3s] πᾶς[annpn] ὁ[dnnp] σπλάγχνον[nnnp] αὐτός[rpgms]. **v.19** καί[c] γνωστός[annsn] γίνομαι[viad3s] πᾶς[admpn] ὁ[ddmp] κατοικέω[vppadmp] Ἰερουσαλήμ[tp] ὥστε[c] καλέω[vnap] ὁ[dans] χωρίον[nans] ἐκεῖνος[rdans] ὁ[ddfs] ἴδιος[adfsn] διάλεκτος[ndfs] αὐτός[rpgmp] Ἁκελδαμάχ[tp] εἰμί[rdnns] χωρίον[nans] αἷμα[ngns]. **v.20** γράφω[vixp3s] γάρ[c] ἐν[p] βίβλος[ndfs] ψαλμός[ngmp] γίνομαι[vdao3s] ὁ[dnfs] ἔπαυλις[nnfs] αὐτός[rpgms] ἔρημος[anfsn] καί[c] μή[xo] εἰμί[vdpx3s] ὁ[dnms] κατοικέω[vppanms] ἐν[p] αὐτός[rpdfs] καί[c] ὁ[dafs] ἐπισκοπή[nafs] αὐτός[rpgms] λαμβάνω[voaa3s] ἕτερος[anmsn]. **v.21** δεῖ[vipq3s] οὖν[c] ὁ[dgmp] συνέρχομαι[vpaagmp] ἐγώ[rpd-p] ἀνήρ[ngmp] ἐν[p] πᾶς[admsn] χρόνος[ndms] ἐν[p] ὅς[rrdms] εἰσέρχομαι[viaa3s] καί[c] ἐξέρχομαι[viaa3s] ἐπί[p] ἐγώ[rpa-p] ὁ[dnms] κύριος[nnms] Ἰησοῦς[nnms]. **v.22** ἄρχω[vpamnms] ἀπό[p] ὁ[dgns] βάπτισμα[ngns] Ἰωάννης[ngms] ἕως[c] ὁ[dgfs] ἡμέρα[ngfs] ὅς[rrgfs] ἀναλαμβάνω[viap3s] ἀπό[p] ἐγώ[rpg-p] μάρτυς[nams] ὁ[dgfs] ἀνάστασις[ngfs] αὐτός[rpgms] γίνομαι[vnad] σύν[p] ἐγώ[rpd-p] εἷς[nams] οὗτος[rdgmp]. **v.23** καί[c] ἵστημι[viaa3p] δύο[tn] Ἰωσήφ[tp] ὁ[dams] καλέω[vpppams] Βαρσαββᾶς[nams] ὅς[rrnms] ἐπικαλέω[viap3s] Ἰοῦστος[nnms] καί[c] Ματταθίας[nams]. **v.24** καί[c] προσεύχομαι[vpadnmp] λέγω[viaa3p] σύ[rpn-s] κύριος[nvms] καρδιογνώστης[nvms] πᾶς[agmpn] ἀναδείκνυμι[vdaa2s] ἐκ[p] οὗτος[rdgmp] ὁ[dgmp] δύο[tn] εἷς[nams] ὅς[rrams] ἐκλέγω[viam2s]. **v.25** λαμβάνω[vnaa] ὁ[dams] κλῆρος[nams] ὁ[dgfs] διακονία[ngfs] οὗτος[rdgfs] καί[c] ἀποστολή[ngfs] ἐκ[p] ὅς[rrgfs] παραβαίνω[viaa3s] Ἰούδας[nnms] πορεύομαι[vnao] εἰς[p] ὁ[dams] τόπος[nams] ὁ[dams] ἴδιος[aamsn]. **v.26** καί[c] δίδωμι[viaa3p] κλῆρος[namp] αὐτός[rpgmp] καί[c] πίπτω[viaa3s] ὁ[dnms] κλῆρος[nnms] ἐπί[p] Ματταθίας[nams] καί[c] συγκαταψηφίζομαι[viap3s] μετά[p] ὁ[dgmp] ἕνδεκα[tn] ἀπόστολος[ngmp]. **2. v.1** καί[c] ἐν[p] ὁ[ddms] συμπληρόω[vnpp] ὁ[dafs] ἡμέρα[nafs] ὁ[dgfs] πεντηκοστή[ngfs] εἰμί[viix3p] ἅπας[anmpn] ὁμοθυμαδόν[bo] ἐπί[p] ὁ[dans] αὐτός[rpans]. **v.2** καί[c] γίνομαι[viad3s] ἄφνω[bo] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] ἦχος[nnms] ὥσπερ[bo] φέρω[vppegfs] πνοή[ngfs] βίαιος[agfsn] καί[c] πληρόω[viaa3s] ὅλος[aamsn] ὁ[dams] οἶκος[nams] ὅς[bo] εἰμί[viix3p] κάθημαι[vppnnmp].

διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός ἐκάθισεν τε ἐφ ἕνα ἕκα-
στον αὐτῶν. καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου καὶ 4
ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ πνεῦμα ἐδίδου αὐ-
τοῖς ἀποφθέγγεσθαι. Ἦσαν δὲ ἐν Ἰερουσαλὴμ κατοικοῦντες 5
Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐ-
ρανόν. γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθεν τὸ πλῆθος 6
καὶ συνεχύθη ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούν-
των αὐτῶν. ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον λέγοντες πρὸς 7
ἀλλήλους Οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι.
καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν 8
ᾗ ἐγεννήθημεν. Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται καὶ οἱ κα- 9
τοικοῦντες τὴν Μεσοποταμίαν Ἰουδαίαν τε καὶ Καππαδοκίαν
Πόντον καὶ τὴν Ἀσίαν. Φρυγίαν τε καὶ Παμφυλίαν Αἴγυπτον 10
καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην καὶ οἱ ἐπιδημοῦν-
τες Ῥωμαῖοι Ἰουδαῖοί τε καὶ προσήλυτοι. Κρῆτες καὶ Ἄραβες 11
ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ με-
γαλεῖα τοῦ θεοῦ. ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν ἄλλος 12
πρὸς ἄλλον λέγοντες Τί ἄν θέλοι τοῦτο εἶναι. ἕτεροι δὲ χλευ- 13
άζοντες ἔλεγον ὅτι Γλεύκους μεμεστωμένοι εἰσίν. Σταθεὶς δὲ 14
Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρεν τὴν φωνὴν αὐτοῦ καὶ ἀπεφθέγ-
ξατο αὐτοῖς Ἄνδρες Ἰουδαῖοι καὶ οἱ κατοικοῦντες Ἰερουσαλὴμ
ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω καὶ ἐνωτίσασθε τὰ ῥήματά

---

v.3 καί[c] ὁράω[viap3p] αὐτός[rpdmp] διαμερίζω[vppenfp] γλῶσσα[nnfp] ὡσεί[bo] πῦρ[ngns] καθίζω[viaa3s] τέ[xo] ἐπί[p] εἷς[nams] ἕκαστος[aamsn] αὐτός[rpgmp]. **v.4** καί[c] πίμπλημι[viap3p] ἅπας[anmpn] πνεῦμα[ngns] ἅγιος[agnsn] καί[c] ἄρχω[viad3p] λαλέω[vnpa] ἕτερος[adfpn] γλῶσσα[ndfp] καθώς[bo] ὁ[dnns] πνεῦμα[nnns] δίδωμι[viia3s] αὐτός[rpdmp] ἀποφθέγγομαι[vnpn]. **v.5** εἰμί[viix3p] δέ[c] ἐν[p] Ἰερουσαλήμ[tp] κατοικέω[vppanmp] Ἰουδαῖος[anmpn] ἀνήρ[nnmp] εὐλαβής[anmpn] ἀπό[p] πᾶς[agnsn] ἔθνος[ngns] ὁ[dgnp] ὑπό[p] ὁ[dams] οὐρανός[nams]. **v.6** γίνομαι[vpadgfs] δέ[c] ὁ[dgfs] φωνή[ngfs] οὗτος[rdgfs] συνέρχομαι[viaa3s] ὁ[dnns] πλῆθος[nnns] καί[c] συγχέω[viap3s] ὅτι[c] ἀκούω[viia3p] εἷς[nnms] ἕκαστος[anmsn] ὁ[ddfs] ἴδιος[adfsn] διάλεκτος[ndfs] λαλέω[vppagmp] αὐτός[rpgmp]. **v.7** ἐξίστημι[viim3p] δέ[c] πᾶς[anmpn] καί[c] θαυμάζω[viia3p] λέγω[vppanmp] πρός[p] ἀλλήλων[reamp] οὐ[xo] ἰδού[vdaa2s] πᾶς[anmpn] οὗτος[rdnmp] εἰμί[vipx3p] ὁ[dnmp] λαλέω[vppanmp] Γαλιλαῖος[nnmp]. **v.8** καί[c] πῶς[bo] ἐγώ[rpn-p] ἀκούω[vipa1p] ἕκαστος[anmsn] ὁ[ddfs] ἴδιος[adfsn] διάλεκτος[ndfs] ἐγώ[rpg-p] ἐν[p] ὅς[rrdfs] γεννάω[viap1p]. **v.9** Πάρθος[nnmp] καί[c] Μῆδος[nnmp] καί[c] Ἐλαμίτης[nnmp] καί[c] ὁ[dnmp] κατοικέω[vppanmp] ὁ[dafs] Μεσοποταμία[nafs] Ἰουδαία[nafs] τέ[xo] καί[c] Καππαδοκία[nafs] Πόντος[nams] καί[c] ὁ[dafs] Ἀσία[nafs]. **v.10** Φρυγία[nafs] τέ[xo] καί[c] Παμφυλία[nafs] Αἴγυπτος[nafs] καί[c] ὁ[danp] μέρος[nanp] ὁ[dgfs] Λιβύη[ngfs] ὁ[dgfs] κατά[p] Κυρήνη[nafs] καί[c] ὁ[dnmp] ἐπιδημέω[vppanmp] Ῥωμαῖος[anmpn] Ἰουδαῖος[anmpn] τέ[xo] καί[c] προσήλυτος[nnmp]. **v.11** Κρής[nnmp] καί[c] Ἄραψ[nnmp] ἀκούω[vipa1p] λαλέω[vppagmp] αὐτός[rpgmp] ὁ[ddfp] ἡμέτερος[rsdfp] γλῶσσα[ndfp] ὁ[danp] μεγαλεῖος[aanpn] ὁ[dgms] θεός[ngms]. **v.12** ἐξίστημι[viim3p] δέ[c] πᾶς[anmpn] καί[c] διαπορέω[viia3p] ἄλλος[anmsn] πρός[p] ἄλλος[aamsn] λέγω[vppanmp] τίς[rqans] ἄν[xo] θέλω[vopa3s] οὗτος[rdans] εἰμί[vnpx]. **v.13** ἕτερος[anmpn] δέ[c] χλευάζω[vppanmp] λέγω[viia3p] ὅτι[c] γλεῦκος[ngns] μεστόω[vpxpnmp] εἰμί[vipx3p].

15 μου. οὐ γὰρ ὡς ὑμεῖς ὑπολαμβάνετε οὗτοι μεθύουσιν ἔστιν
16 γὰρ ὥρα τρίτη τῆς ἡμέρας. ἀλλὰ τοῦτό ἐστιν τὸ εἰρημένον
17 διὰ τοῦ προφήτου Ἰωήλ, Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις
λέγει ὁ θεός ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα
καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν καὶ
οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται καὶ οἱ πρεσβύτεροι ὑμῶν
18 ἐνυπνία ἐνυπνιασθήσονται, καί γε ἐπὶ τοὺς δούλους μου καὶ
ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ
19 πνεύματός μου καὶ προφητεύσουσιν. καὶ δώσω τέρατα ἐν τῷ
οὐρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω αἷμα καὶ πῦρ καὶ
20 ἀτμίδα καπνοῦ, ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ
σελήνη εἰς αἷμα πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγά-
21 λην καὶ ἐπιφανῆ. καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα
22 κυρίου σωθήσεται. Ἄνδρες Ἰσραηλῖται ἀκούσατε τοὺς λόγους
τούτους, Ἰησοῦν τὸν Ναζωραῖον ἄνδρα ἀπὸ τοῦ θεοῦ ἀποδεδει-
γμένον εἰς ὑμᾶς δυνάμεσιν καὶ τέρασιν καὶ σημείοις οἷς ἐποί-
ησεν δι᾽ αὐτοῦ ὁ θεὸς ἐν μέσῳ ὑμῶν καθὼς καὶ αὐτοὶ οἴδατε.
23 τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ θεοῦ ἔκδοτον λα-
24 βόντες διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε. ὃν ὁ θεὸς
ἀνέστησεν λύσας τὰς ὠδῖνας τοῦ θανάτου καθότι οὐκ ἦν δυ-

---

v.14 ἵστημι[vpapnms] δέ[c] Πέτρος[nnms] σύν[p] ὁ[ddmp] ἕνδεκα[tn] ἐπαίρω[viaa3s] ὁ[dafs] φωνή[nafs] αὐτός[rpgms] καί[c] ἀποφθέγγομαι[viad3s] αὐτός[rpdmp] ἀνήρ[nvmp] Ἰουδαῖος[avmpn] καί[c] ὁ[dnmp] κατοικέω[vppanmp] Ἰερουσαλήμ[tp] ἅπας[anmpn] οὗτος[rdnns] σύ[rpd-p] γνωστός[annsn] εἰμί[vdpx3s] καί[c] ἐνωτίζομαι[vdad2p] ὁ[danp] ῥῆμα[nanp] ἐγώ[rpg-s]. **v.15** οὐ[xo] γάρ[c] ὡς[bo] σύ[rpn-p] ὑπολαμβάνω[vipa2p] οὗτος[rdnmp] μεθύω[vipa3p] εἰμί[vipx3s] γάρ[c] ὥρα[nnfs] τρίτος[anfsn] ὁ[dgfs] ἡμέρα[ngfs]. **v.16** ἀλλά[c] οὗτος[rdnns] εἰμί[vipx3s] ὁ[dnns] λέγω[vpxpnns] διά[p] ὁ[dgms] προφήτης[ngms] Ἰωήλ[tp]. **v.17** καί[c] εἰμί[vifx3s] ἐν[p] ὁ[ddfp] ἔσχατος[adfpn] ἡμέρα[ndfp] λέγω[vipa3s] ὁ[dnms] θεός[nnms] ἐκχέω[vifa1s] ἀπό[p] ὁ[dgns] πνεῦμα[ngns] ἐγώ[rpg-s] ἐπί[p] πᾶς[aafsn] σάρξ[nafs] καί[c] προφητεύω[vifa3p] ὁ[dnmp] υἱός[nnmp] σύ[rpg-p] καί[c] ὁ[dnfp] θυγάτηρ[nnfp] σύ[rpg-p] καί[c] ὁ[dnmp] νεανίσκος[nnmp] σύ[rpg-p] ὅρασις[nafp] ὁράω[vifd3p] καί[c] ὁ[dnmp] πρεσβύτερος[anmpn] σύ[rpg-p] ἐνύπνιον[nanp] ἐνυπνιάζομαι[vifp3p]. **v.18** καί[c] γέ[xo] ἐπί[p] ὁ[damp] δοῦλος[namp] ἐγώ[rpg-s] καί[c] ἐπί[p] ὁ[dafp] δούλη[nafp] ἐγώ[rpg-s] ἐν[p] ὁ[ddfp] ἡμέρα[ndfp] ἐκεῖνος[rddfp] ἐκχέω[vifa1s] ἀπό[p] ὁ[dgns] πνεῦμα[ngns] ἐγώ[rpg-s] καί[c] προφητεύω[vifa3p]. **v.19** καί[c] δίδωμι[vifa1s] τέρας[nanp] ἐν[p] ὁ[ddms] οὐρανός[ndms] ἄνω[bo] καί[c] σημεῖον[nanp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] κάτω[bo] αἷμα[nans] καί[c] πῦρ[nans] καί[c] ἀτμίς[nafs] καπνός[ngms]. **v.20** ὁ[dnms] ἥλιος[nnms] μεταστρέφω[vifp3s] εἰς[p] σκότος[nans] καί[c] ὁ[dnfs] σελήνη[nnfs] εἰς[p] αἷμα[nans] πρίν[bo] ἤ[xo] ἔρχομαι[vnaa] ὁ[dafs] ἡμέρα[nafs] κύριος[ngms] ὁ[dafs] μέγας[aafsn] καί[c] ἐπιφανής[aafsn]. **v.21** καί[c] εἰμί[vifx3s] πᾶς[anmsn] ὅς[rrnms] ἄν[xo] ἐπικαλέω[vsam3s] ὁ[dans] ὄνομα[nans] κύριος[ngms] σῴζω[vifp3s]. **v.22** ἀνήρ[nvmp] Ἰσραηλίτης[nvmp] ἀκούω[vdaa2p] ὁ[damp] λόγος[namp] οὗτος[rdamp] Ἰησοῦς[nams] ὁ[dams] Ναζωραῖος[nams] ἀνήρ[nams] ἀπό[p] ὁ[dgms] θεός[ngms] ἀποδείκνυμι[vpxpams] εἰς[p] σύ[rpa-p] δύναμις[ndfp] καί[c] τέρας[ndnp] καί[c] σημεῖον[ndnp] ὅς[rrdnp] ποιέω[viaa3s] διά[p] αὐτός[rpgms] ὁ[dnms] θεός[nnms] ἐν[p] μέσος[adnsn] σύ[rpg-p] καθώς[bo] καί[c] αὐτός[rpnmp] οἶδα[vixa2p]. **v.23** οὗτος[rdams] ὁ[ddfs] ὁρίζω[vpxpdfs] βουλή[ndfs] καί[c] πρόγνωσις[ndfs] ὁ[dgms] θεός[ngms] ἔκδοτος[aamsn] λαμβάνω[vpaanmp] διά[p] χείρ[ngfp] ἄνομος[agmpn] προσπήγνυμι[vpaanmp] ἀναιρέω[viaa2p].

νατὸν κρατεῖσθαι αὐτὸν ὑπ αὐτοῦ, Δαβὶδ γὰρ λέγει εἰς αὐτόν 25
Προωρώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντός ὅτι ἐκ δεξιῶν
μού ἐστιν ἵνα μὴ σαλευθῶ. διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου 26
καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου ἔτι δὲ καὶ ἡ σάρξ μου κατα-
σκηνώσει ἐπ ἐλπίδι. ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς 27
ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. ἐγνώρισάς 28
μοι ὁδοὺς ζωῆς πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου
σου. Ἄνδρες ἀδελφοί ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς 29
περὶ τοῦ πατριάρχου Δαβίδ ὅτι καὶ ἐτελεύτησεν καὶ ἐτάφη καὶ
τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. προ- 30
φήτης οὖν ὑπάρχων καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ θεὸς
ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν
Χριστὸν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ. προϊδὼν ἐλάλησεν 31
περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ ὅτι οὐ κατελείφθη ἡ ψυχὴ
αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδεν διαφθοράν. τοῦτον 32
τὸν Ἰησοῦν ἀνέστησεν ὁ θεός οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες,
τῇ δεξιᾷ οὖν τοῦ θεοῦ ὑψωθεὶς τήν τε ἐπαγγελίαν τοῦ ἁγίου 33
πνεύματος λαβὼν παρὰ τοῦ πατρὸς ἐξέχεεν τοῦτο ὃ νὺν ὑμεῖς
βλέπετε καὶ ἀκούετε. οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανούς 34
λέγει δὲ αὐτός Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου Κάθου ἐκ δεξιῶν

---

v.24 ὅς^{rrams} ὁ^{dnms} θεός^{nnms} ἀνίστημι^{viaa3s} λύω^{vpaanms} ὁ^{dafp} ὠδίν^{nafp} ὁ^{dgms} θάνατος^{ngms} καθότι^{bo} οὐ^{xo} εἰμί^{viix3s} δυνατός^{annsn} κρατέω^{vnpp} αὐτός^{rpams} ὑπό^{p} αὐτός^{rpgms}. **v.25** Δαυίδ^{tp} γάρ^{c} λέγω^{vipa3s} εἰς^{p} αὐτός^{rpams} προοράω^{viim1s} ὁ^{dams} κύριος^{nams} ἐνώπιον^{bo} ἐγώ$^{rpg-s}$ διά^{p} πᾶς^{agmsn} ὅτι^{c} ἐκ^{p} δεξιός^{agmpn} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx3s} ἵνα^{c} μή^{xo} σαλεύω^{vsap1s}. **v.26** διά^{p} οὗτος^{rdans} εὐφραίνω^{viap3s} ὁ^{dnfs} καρδία^{nnfs} ἐγώ$^{rpg-s}$ καί^{c} ἀγαλλιάω^{viad3s} ὁ^{dnfs} γλῶσσα^{nnfs} ἐγώ$^{rpg-s}$ ἔτι^{bo} δέ^{c} καί^{c} ὁ^{dnfs} σάρξ^{nnfs} ἐγώ$^{rpg-s}$ κατασκηνόω^{vifa3s} ἐπί^{p} ἐλπίς^{ndfs}. **v.27** ὅτι^{c} οὐ^{xo} ἐγκαταλείπω^{vifa2s} ὁ^{dafs} ψυχή^{nafs} ἐγώ$^{rpg-s}$ εἰς^{p} ᾅδης^{ngms} οὐδέ^{bo} δίδωμι^{vifa2s} ὁ^{dams} ὅσιος^{aamsn} σύ$^{rpg-s}$ ὁράω^{vnaa} διαφθορά^{nafs}. **v.28** γνωρίζω^{viaa2s} ἐγώ$^{rpd-s}$ ὁδός^{nafp} ζωή^{ngfs} πληρόω^{vifa2s} ἐγώ$^{rpa-s}$ εὐφροσύνη^{ngfs} μετά^{p} ὁ^{dgns} πρόσωπον^{ngns} σύ$^{rpg-s}$. **v.29** ἀνήρ^{nvmp} ἀδελφός^{nvmp} ἔξεστι^{vppqnns} λέγω^{vnaa} μετά^{p} παρρησία^{ngfs} πρός^{p} σύ$^{rpa-p}$ περί^{p} ὁ^{dgms} πατριάρχης^{ngms} Δαυίδ^{tp} ὅτι^{c} καί^{c} τελευτάω^{viaa3s} καί^{c} θάπτω^{viap3s} καί^{c} ὁ^{dnns} μνῆμα^{nnns} αὐτός^{rpgms} εἰμί^{vipx3s} ἐν^{p} ἐγώ$^{rpd-p}$ ἄχρι^{p} ὁ^{dgfs} ἡμέρα^{ngfs} οὗτος^{rdgfs}. **v.30** προφήτης^{nnms} οὖν^{c} ὑπάρχω^{vppanms} καί^{c} οἶδα^{vpxanms} ὅτι^{c} ὅρκος^{ndms} ὀμνύω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} θεός^{nnms} ἐκ^{p} καρπός^{ngms} ὁ^{dgfs} ὀσφύς^{ngfs} αὐτός^{rpgms} ὁ^{dans} κατά^{p} σάρξ^{nafs} ἀνίστημι^{vnfa} ὁ^{dams} Χριστός^{nams} καθίζω^{vnaa} ἐπί^{p} ὁ^{dgms} θρόνος^{ngms} αὐτός^{rpgms}. **v.31** προοράω^{vpaanms} λαλέω^{viaa3s} περί^{p} ὁ^{dgfs} ἀνάστασις^{ngfs} ὁ^{dgms} Χριστός^{ngms} ὅτι^{c} ὅς^{xo} καταλείπω^{viap3s} ὁ^{dnfs} ψυχή^{nnfs} αὐτός^{rpgms} εἰς^{p} ᾅδης^{ngms} οὐδέ^{bo} ὁ^{dnfs} σάρξ^{nnfs} αὐτός^{rpgms} ὁράω^{viaa3s} διαφθορά^{nafs}. **v.32** οὗτος^{rdams} ὁ^{dams} Ἰησοῦς^{nams} ἀνίστημι^{viaa3s} ὁ^{dnms} θεός^{nnms} ὅς^{rrgms} πᾶς^{anmpn} ἐγώ$^{rpn-p}$ εἰμί^{vipx1p} μάρτυς^{nnmp}. **v.33** ὁ^{ddfs} δεξιός^{adfsn} οὖν^{c} ὁ^{dgms} θεός^{ngms} ὑψόω^{vpapnms} ὁ^{dafs} τέ^{xo} ἐπαγγελία^{nafs} ὁ^{dgns} ἅγιος^{agnsn} πνεῦμα^{ngns} λαμβάνω^{vpaanms} παρά^{p} ὁ^{dgms} πατήρ^{ngms} ἐκχέω^{viaa3s} οὗτος^{rdans} ὅς^{rrans} νῦν^{bo} σύ$^{rpn-p}$ βλέπω^{vipa2p} καί^{c} ἀκούω^{vipa2p}.

35 μου. ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
36 ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ κύριον καὶ
Χριστὸν αὐτὸν ὁ θεός ἐποίησεν τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐ-
37 σταυρώσατε. Ἀκούσαντες δὲ κατενύγησαν τῇ καρδίᾳ εἶπόν τε
πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους Τί ποιήσομεν,
38 ἄνδρες ἀδελφοί. Πέτρος δὲ ἔφη πρὸς αὐτούς Μετανοήσατε
καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ
εἰς ἄφεσιν ἁμαρτιῶν καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύ-
39 ματος. ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν καὶ
πᾶσιν τοῖς εἰς μακρὰν ὅσους ἂν προσκαλέσηται κύριος ὁ θεὸς
40 ἡμῶν. ἑτέροις τε λόγοις πλείοσιν διεμαρτύρετο καὶ παρεκά-
41 λει λέγων Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. οἱ μὲν
οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν καὶ
42 προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. ἦσαν
δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ
43 καὶ τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς. ἐγένετο δὲ πά-
σῃ ψυχῇ φόβος πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων
44 Ἐγίνετο. πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ καὶ εἶχον
45 ἅπαντα κοινά. καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον
46 καὶ διεμέριζον αὐτὰ πᾶσιν καθότι ἄν τις χρείαν εἶχεν, καθ ἡ-
μέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ κλῶντές τε

---

v.34 οὐ[xo] γάρ[c] Δαυίδ[tp] ἀναβαίνω[viaa3s] εἰς[p] ὁ[damp] οὐρανός[namp] λέγω[vipa3s] δέ[c] αὐτός[rpnms] λέγω[viaa3s] ὁ[dnms] κύριος[nnms] ὁ[ddms] κύριος[ndms] ἐγώ[rpg-s] κάθημαι[vdpn2s] ἐκ[p] δεξιός[agmpn] ἐγώ[rpg-s]. **v.35** ἕως[c] ἄν[xo] τίθημι[vsaa1s] ὁ[damp] ἐχθρός[aampn] σύ[rpg-s] ὑποπόδιον[nans] ὁ[dgmp] πούς[ngmp] σύ[rpg-s]. **v.36** ἀσφαλῶς[bo] οὖν[c] γινώσκω[vdpa3s] πᾶς[anmsn] οἶκος[nnms] Ἰσραήλ[tp] ὅτι[c] καί[c] κύριος[nams] καί[c] Χριστός[nams] αὐτός[rpams] ὁ[dnms] θεός[nnms] ποιέω[viaa3s] οὗτος[rdams] ὁ[dams] Ἰησοῦς[nams] ὅς[rrams] σύ[rpn-p] σταυρόω[viaa2p]. **v.37** ἀκούω[vpaanmp] δέ[c] κατανύσσομαι[viap3p] ὁ[ddfs] καρδία[ndfs] λέγω[viaa3p] τέ[xo] πρός[p] ὁ[dams] Πέτρος[nams] καί[c] ὁ[damp] λοιπός[aampn] ἀπόστολος[namp] τίς[rqans] ποιέω[vifa1p] ἀνήρ[nvmp] ἀδελφός[nvmp]. **v.38** Πέτρος[nnms] δέ[c] φημί[viix3s] πρός[p] αὐτός[rpamp] μετανοέω[vdaa2p] καί[c] βαπτίζω[vdap3s] ἕκαστος[anmsn] σύ[rpg-p] ἐπί[p] ὁ[ddns] ὄνομα[ndns] Ἰησοῦς[ngms] Χριστός[ngms] εἰς[p] ἄφεσις[nafs] ἁμαρτία[ngfp] καί[c] λαμβάνω[vifd2p] ὁ[dafs] δωρεά[nafs] ὁ[dgns] ἅγιος[agnsn] πνεῦμα[ngns]. **v.39** σύ[rpd-p] γάρ[c] εἰμί[vipx3s] ὁ[dnfs] ἐπαγγελία[nnfs] καί[c] ὁ[ddnp] τέκνον[ndnp] σύ[rpg-p] καί[c] πᾶς[admpn] ὁ[ddmp] εἰς[p] μακρός[bo] ὅσος[rcamp] ἄν[xo] προσκαλέομαι[vsad3s] κύριος[nnms] ὁ[dnms] θεός[nnms] ἐγώ[rpg-p]. **v.40** ἕτερος[admpn] τέ[xo] λόγος[ndmp] πολύς[admpc] διαμαρτύρομαι[viin3s] καί[c] παρακαλέω[viia3s] λέγω[vppanms] σῴζω[vdap2p] ἀπό[p] ὁ[dgfs] γενεά[ngfs] ὁ[dgfs] σκολιός[agfsn] οὗτος[rdgfs]. **v.41** ὁ[dnmp] μέν[xo] οὖν[c] ἀσμένως[bo] ἀποδέχομαι[vpadnmp] ὁ[dams] λόγος[nams] αὐτός[rpgms] βαπτίζω[viap3p] καί[c] προστίθημι[viap3p] ὁ[ddfs] ἡμέρα[ndfs] ἐκεῖνος[rddfs] ψυχή[nnfp] ὡσεί[bo] τρισχίλιοι[nnfp]. **v.42** εἰμί[viix3p] δέ[c] προσκαρτερέω[vppanmp] ὁ[ddfs] διδαχή[ndfs] ὁ[dgmp] ἀπόστολος[ngmp] καί[c] ὁ[ddfs] κοινωνία[ndfs] καί[c] ὁ[ddfs] κλάσις[ndfs] ὁ[dgms] ἄρτος[ngms] καί[c] ὁ[ddfp] προσευχή[ndfp]. **v.43** γίνομαι[viad3s] δέ[c] πᾶς[adfsn] ψυχή[ndfs] φόβος[nnms] πολύς[annpn] τέ[xo] τέρας[nnnp] καί[c] σημεῖον[nnnp] διά[p] ὁ[dgmp] ἀπόστολος[ngmp] γίνομαι[viin3s]. **v.44** πᾶς[anmpn] δέ[c] ὁ[dnmp] πιστεύω[vppanmp] εἰμί[viix3p] ἐπί[p] ὁ[dans] αὐτός[rpans] καί[c] ἔχω[viia3p] ἅπας[aanpn] κοινός[aanpn]. **v.45** καί[c] ὁ[danp] κτῆμα[nanp] καί[c] ὁ[dafp] ὕπαρξις[nafp] πιπράσκω[viia3p] καί[c] διαμερίζω[viia3p] αὐτός[rpanp] πᾶς[admpn] καθότι[bo] ἄν[xo] τι-σρινμσ χρεία[nafs] ἔχω[viia3s].

κατ οἶκον ἄρτον μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφε-
λότητι καρδίας. αἰνοῦντες τὸν θεὸν καὶ ἔχοντες χάριν πρὸς 47
ὅλον τὸν λαόν ὁ δὲ κύριος προσετίθει τοὺς σῳζομένους καθ
ἡμέραν τῇ ἐκκλησίᾳ.

ἐπὶ τὸ αὐτό δὲ Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν **3**
Ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην. καί τις ἀνὴρ χω- 2
λὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο ὃν ἐτίθουν
καθ ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην Ὡραίαν
τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν,
ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν ἠ- 3
ρώτα ἐλεημοσύνην λαβεῖν. ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν 4
τῷ Ἰωάννῃ εἶπεν Βλέψον εἰς ἡμᾶς. ὁ δὲ ἐπεῖχεν αὐτοῖς προσ- 5
δοκῶν τι παρ αὐτῶν λαβεῖν. εἶπεν δὲ Πέτρος Ἀργύριον καὶ 6
χρυσίον οὐχ ὑπάρχει μοι ὃ δὲ ἔχω τοῦτό σοι δίδωμι, ἐν τῷ ὀ-
νόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἐγεῖραι καὶ περιπάτει.
καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρεν παραχρῆμα δὲ ἐ- 7
στερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφῦρα. καὶ ἐξαλλόμενος 8
ἔστη καὶ περιεπάτει καὶ εἰσῆλθεν σὺν αὐτοῖς εἰς τὸ ἱερὸν περι-
πατῶν καὶ ἁλλόμενος καὶ αἰνῶν τὸν θεόν. καὶ εἶδεν αὐτὸν πᾶς 9
ὁ λαὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν θεόν, ἐπεγίνωσκον τε 10
αὐτὸν ὅτι οὑτὸς ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ

---

v.46 κατά[p] ἡμέρα[nafs] τέ[xo] προσκαρτερέω[vppanmp] ὁμοθυμαδόν[bo] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] κλάω[vppanmp] τέ[xo] κατά[p] οἶκος[nams] ἄρτος[nams] μεταλαμβάνω[viia3p] τροφή[ngfs] ἐν[p] ἀγαλλίασις[ndfs] καί[c] ἀφελότης[ndfs] καρδία[ngfs]. **v.47** αἰνέω[vppanmp] ὁ[dams] θεός[nams] καί[c] ἔχω[vppanmp] χάρις[nafs] πρός[p] ὅλος[aamsn] ὁ[dams] λαός[nams] ὁ[dnms] δέ[c] κύριος[nnms] προστίθημι[viia3s] ὁ[damp] σῴζω[vpppamp] κατά[p] ἡμέρα[nafs] ὁ[ddfs] ἐκκλησία[ndfs]. **3. v.1** ἐπί[p] ὁ[dans] αὐτός[rpans] δέ[c] Πέτρος[nnms] καί[c] Ἰωάννης[nnms] ἀναβαίνω[viia3p] εἰς[p] ὁ[dans] ἱερόν[nans] ἐπί[p] ὁ[dafs] ὥρα[nafs] ὁ[dgfs] προσευχή[ngfs] ὁ[dafs] ἔνατος[aafsn]. **v.2** καί[c] τι-σρινμσ ἀνήρ[nnms] χωλός[anmsn] ἐκ[p] κοιλία[ngfs] μήτηρ[ngfs] αὐτός[rpgms] ὑπάρχω[vppanms] βαστάζω[viip3s] ὅς[rrams] τίθημι[viia3p] κατά[p] ἡμέρα[nafs] πρός[p] ὁ[dafs] θύρα[nafs] ὁ[dgns] ἱερόν[ngns] ὁ[dafs] λέγω[vpppafs] ὡραῖος[aafsn] ὁ[dgms] αἰτέω[vnpa] ἐλεημοσύνη[nafs] παρά[p] ὁ[dgmp] εἰσπορεύομαι[vppngmp] εἰς[p] ὁ[dans] ἱερόν[nans]. **v.3** ὅς[rrnms] ὁράω[vpaanms] Πέτρος[nams] καί[c] Ἰωάννης[nams] μέλλω[vppaamp] εἴσειμι[vnpx] εἰς[p] ὁ[dans] ἱερόν[nans] ἐρωτάω[viia3s] ἐλεημοσύνη[nafs] λαμβάνω[vnaa]. **v.4** ἀτενίζω[vpaanms] δέ[c] Πέτρος[nnms] εἰς[p] αὐτός[rpams] σύν[p] ὁ[ddms] Ἰωάννης[ndms] λέγω[viaa3s] βλέπω[vdaa2s] εἰς[p] ἐγώ[rpa-p]. **v.5** ὁ[dnms] δέ[c] ἐπέχω[viia3s] αὐτός[rpdmp] προσδοκάω[vppanms] τι-σριανσ παρά[p] αὐτός[rpgmp] λαμβάνω[vnaa]. **v.6** λέγω[viaa3s] δέ[c] Πέτρος[nnms] ἀργύριον[nans] καί[c] χρυσίον[nans] οὐ[xo] ὑπάρχω[vipa3s] ἐγώ[rpd-s] ὅς[rrans] δέ[c] ἔχω[vipa1s] οὗτος[rdans] σύ[rpd-s] δίδωμι[vipa1s] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] Ναζωραῖος[ngms] ἐγείρω[vdam2s] καί[c] περιπατέω[vdpa2s]. **v.7** καί[c] πιάζω[vpaanms] αὐτός[rpams] ὁ[dgfs] δεξιός[agfsn] χείρ[ngfs] ἐγείρω[viaa3s] παραχρῆμα[bo] δέ[c] στερεόω[viap3p] αὐτός[rpgms] ὁ[dnfp] βάσις[nnfp] καί[c] ὁ[dnnp] σφυρόν[nnnp]. **v.8** καί[c] ἐξάλλομαι[vppnnms] ἵστημι[viaa3s] καί[c] περιπατέω[viia3s] καί[c] εἰσέρχομαι[viaa3s] σύν[p] αὐτός[rpdmp] εἰς[p] ὁ[dans] ἱερόν[nans] περιπατέω[vppanms] καί[c] ἅλλομαι[vppnnms] καί[c] αἰνέω[vppanms] ὁ[dams] θεός[nams]. **v.9** καί[c] ὁράω[viaa3s] αὐτός[rpams] πᾶς[anmsn] ὁ[dnms] λαός[nnms] περιπατέω[vppaams] καί[c] αἰνέω[vppaams] ὁ[dams] θεός[nams].

Ὡραίᾳ Πύλῃ τοῦ ἱεροῦ καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστά-
11 σεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ. Κρατοῦντος δὲ τοῦ ἰαθέντος
χωλοῦ τὸν Πέτρον καὶ Ἰωάννην συνέδραμεν πρὸς αὐτοὺς πᾶς
12 ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος ἔκθαμβοι. ἰ-
δὼν δὲ Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν Ἄνδρες Ἰσραηλῖται
τί θαυμάζετε ἐπὶ τούτῳ ἢ ἡμῖν τί ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ
13 εὐσεβείᾳ πεποιηκόσιν τοῦ περιπατεῖν αὐτόν. ὁ θεὸς Ἀβρα-
ὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὁ θεὸς τῶν πατέρων ἡμῶν ἐδόξασεν
τὸν παῖδα αὐτοῦ Ἰησοῦν ὃν ὑμεῖς παρεδώκατε καὶ ἠρνήσασθε
αὐτόν κατὰ πρόσωπον Πιλάτου κρίναντος ἐκείνου ἀπολύειν,
14 ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε καὶ ᾐτήσασθε ἄνδρα
15 φονέα χαρισθῆναι ὑμῖν. τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτεί-
νατε ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν οὗ ἡμεῖς μάρτυρές ἐσμεν.
16 καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον ὃν θεωρεῖτε καὶ
οἴδατε ἐστερέωσεν τὸ ὄνομα αὐτοῦ καὶ ἡ πίστις ἡ δι᾽ αὐτοῦ
ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.
17 καὶ νῦν ἀδελφοί οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε ὥσπερ καὶ
18 οἱ ἄρχοντες ὑμῶν, ὁ δὲ θεὸς ἃ προκατήγγειλεν διὰ στόματος
πάντων τῶν προφητῶν αὐτοῦ παθεῖν τὸν Χριστὸν ἐπλήρωσεν
19 οὕτως. μετανοήσατε οὖν καὶ ἐπιστρέψατε εἰς τὸ ἐξαλειφθῆναι
ὑμῶν τὰς ἁμαρτίας ὅπως ἂν ἔλθωσιν καιροί ἀναψύξεως ἀπό

---

v.10 ἐπιγινώσκω[viia3p] τέ[xo] αὐτός[rpams] ὅτι[c] οὗτος[rdnms] εἰμί[viix3s] ὁ[dnms] πρός[p] ὁ[dafs] ἐλεημοσύνη[nafs] κάθημαι[vppnnms] ἐπί[p] ὁ[ddfs] ὡραῖος[adfsn] πύλη[ndfs] ὁ[dgns] ἱερόν[ngns] καί[c] πίμπλημι[viap3p] θάμβος[ngns] καί[c] ἔκστασις[ngfs] ἐπί[p] ὁ[ddns] συμβαίνω[vpxadns] αὐτός[rpdms]. **v.11** κρατέω[vppagms] δέ[c] ὁ[dgms] ἰάομαι[vpapgms] χωλός[agmpn] ὁ[dams] Πέτρος[nams] καί[c] Ἰωάννης[nams] συντρέχω[viaa3s] πρός[p] αὐτός[rpamp] πᾶς[anmsn] ὁ[dnms] λαός[nnms] ἐπί[p] ὁ[ddfs] στοά[ndfs] ὁ[ddfs] καλέω[vpppdfs] Σολομών[ngms] ἔκθαμβος[anmpn]. **v.12** ὁράω[vpaanms] δέ[c] Πέτρος[nnms] ἀποκρίνομαι[viad3s] πρός[p] ὁ[dams] λαός[nams] ἀνήρ[nvmp] Ἰσραηλίτης[nvmp] τίς[rqans] θαυμάζω[vipa2p] ἐπί[p] οὗτος[rddns] ἤ[xo] ἐγώ[rpd-p] τίς[rqans] ἀτενίζω[vipa2p] ὡς[bo] ἴδιος[adfsn] δύναμις[ndfs] ἤ[xo] εὐσέβεια[ndfs] ποιέω[vpxadmp] ὁ[dgms] περιπατέω[vnpa] αὐτός[rpams]. **v.13** ὁ[dnms] θεός[nnms] Ἀβραάμ[tp] καί[c] Ἰσαάκ[tp] καί[c] Ἰακώβ[tp] ὁ[dnms] θεός[nnms] ὁ[dgmp] πατήρ[ngmp] ἐγώ[rpg-p] δοξάζω[viaa3s] ὁ[dams] παῖς[nams] αὐτός[rpgms] Ἰησοῦς[nams] ὅς[rrams] σύ[rpn-p] παραδίδωμι[viaa2p] καί[c] ἀρνέομαι[viad2p] αὐτός[rpams] κατά[p] πρόσωπον[nans] Πιλᾶτος[ngms] κρίνω[vpaagms] ἐκεῖνος[rdgms] ἀπολύω[vnpa]. **v.14** σύ[rpn-p] δέ[c] ὁ[dams] ἅγιος[aamsn] καί[c] δίκαιος[aamsn] ἀρνέομαι[viad2p] καί[c] αἰτέω[viam2p] ἀνήρ[nams] φονεύς[nams] χαρίζομαι[vnap] σύ[rpd-p]. **v.15** ὁ[dams] δέ[c] ἀρχηγός[nams] ὁ[dgfs] ζωή[ngfs] ἀποκτείνω[viaa2p] ὅς[rrams] ὁ[dnms] θεός[nnms] ἐγείρω[viaa3s] ἐκ[p] νεκρός[agmpn] ὅς[rrgms] ἐγώ[rpn-p] μάρτυς[nnmp] εἰμί[vipx1p]. **v.16** καί[c] ἐπί[p] ὁ[ddfs] πίστις[ndfs] ὁ[dgns] ὄνομα[ngns] αὐτός[rpgms] οὗτος[rdams] ὅς[rrams] θεωρέω[vipa2p] καί[c] οἶδα[vixa2p] στερεόω[viaa3s] ὁ[dnns] ὄνομα[nnns] αὐτός[rpgms] καί[c] ὁ[dnfs] πίστις[nnfs] ὁ[dnfs] διά[p] αὐτός[rpgms] δίδωμι[viaa3s] αὐτός[rpdms] ὁ[dafs] ὁλοκληρία[nafs] οὗτος[rdafs] ἀπέναντι[bo] πᾶς[agmpn] σύ[rpg-p]. **v.17** καί[c] νῦν[bo] ἀδελφός[nvmp] οἶδα[vixa1s] ὅτι[c] κατά[p] ἄγνοια[nafs] πράσσω[viaa2p] ὥσπερ[bo] καί[c] ὁ[dnmp] ἄρχων[nnmp] σύ[rpg-p]. **v.18** ὁ[dnms] δέ[c] θεός[nnms] ὅς[rranp] προκαταγγέλλω[viaa3s] διά[p] στόμα[ngns] πᾶς[agmpn] ὁ[dgmp] προφήτης[ngmp] αὐτός[rpgms] πάσχω[vnaa] ὁ[dams] Χριστός[nams] πληρόω[viaa3s] οὕτω[bo].

προσώπου τοῦ κυρίου. καὶ ἀποστείλῃ τὸν προκεκηρυγμένον 20
ὑμῖν Ἰησοῦν Χριστόν. ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρό- 21
νων ἀποκαταστάσεως πάντων ὧν ἐλάλησεν ὁ θεὸς διὰ στόματος
πάντων, ἁγίων αὐτοῦ προφητῶν ἀπ αἰῶνος. Μωσῆς μὲν γὰρ 22
πρὸς τούς πατέρας εἶπεν ὅτι Προφήτην ὑμῖν ἀναστήσει κύριος
ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε
κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. ἔσται δὲ πᾶσα ψυχὴ 23
ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου ἐξολοθρευθήσεται
ἐκ τοῦ λαοῦ. καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ 24
τῶν καθεξῆς ὅσοι ἐλάλησαν καὶ προκατήγγειλαν τὰς ἡμέρας
ταύτας. ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης ἧς 25
διέθετο ὁ θεὸς πρὸς τοὺς πατέρας ἡμῶν λέγων πρὸς Ἀβραάμ
Καὶ τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς
γῆς. ὑμῖν πρῶτον ὁ θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ Ἰησοῦν, 26
ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς ἐν τῷ ἀποστρέφειν ἕκαστον
ἀπὸ τῶν πονηριῶν ὑμῶν.

Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν ἐπέστησαν αὐτοῖς οἱ **4**
ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ Σαδδουκαῖοι. διαπο- 2
νούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν καὶ καταγγέλλειν
ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν. καὶ ἐπέβαλον αὐ- 3
τοῖς τὰς χεῖρας καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον, ἦν γὰρ

---

v.19 μετανοέω[vdaa2p] οὖν[c] καί[c] ἐπιστρέφω[vdaa2p] εἰς[p] ὁ[dans] ἐξαλείφω[vnap] σύ[rpg-p] ὁ[dafp] ἁμαρτία[nafp] ὅπως[bo] ἄν[xo] ἔρχομαι[vsaa3p] καιρός[nnmp] ἀνάψυξις[ngfs] ἀπό[p] πρόσωπον[ngns] ὁ[dgms] κύριος[ngms]. **v.20** καί[c] ἀποστέλλω[vsaa3s] ὁ[dams] προκηρύσσω[vpxpams] σύ[rpd-p] Ἰησοῦς[nams] Χριστός[nams]. **v.21** ὅς[rrams] δεῖ[vipq3s] οὐρανός[nams] μέν[xo] δέχομαι[vnad] ἄχρι[p] χρόνος[ngmp] ἀποκατάστασις[ngfs] πᾶς[agnpn] ὅς[rrgnp] λαλέω[viaa3s] ὁ[dnms] θεός[nnms] διά[p] στόμα[ngns] πᾶς[agmpn] ἅγιος[agmpn] αὐτός[rpgms] προφήτης[ngmp] ἀπό[p] αἰών[ngms]. **v.22** Μωϋσῆς[nnms] μέν[xo] γάρ[c] πρός[p] ὁ[damp] πατήρ[namp] λέγω[viaa3s] ὅτι[c] προφήτης[nams] σύ[rpd-p] ἀνίστημι[vifa3s] κύριος[nnms] ὁ[dnms] θεός[nnms] σύ[rpg-p] ἐκ[p] ὁ[dgmp] ἀδελφός[ngmp] σύ[rpg-p] ὡς[bo] ἐγώ[rpa-s] αὐτός[rpgms] ἀκούω[vifd2p] κατά[p] πᾶς[aanpn] ὅσος[rcanp] ἄν[xo] λαλέω[vsaa3s] πρός[p] σύ[rpa-p]. **v.23** εἰμί[vifx3s] δέ[c] πᾶς[anfsn] ψυχή[nnfs] ὅστις[rrnfs] ἄν[xo] μή[xo] ἀκούω[vsaa3s] ὁ[dgms] προφήτης[ngms] ἐκεῖνος[rdgms] ἐξολεθρεύω[vifp3s] ἐκ[p] ὁ[dgms] λαός[ngms]. **v.24** καί[c] πᾶς[anmpn] δέ[c] ὁ[dnmp] προφήτης[nnmp] ἀπό[p] Σαμουήλ[tp] καί[c] ὁ[dgmp] καθεξῆς[bo] ὅσος[rcnmp] λαλέω[viaa3p] καί[c] προκαταγγέλλω[viaa3p] ὁ[dafp] ἡμέρα[nafp] οὗτος[rdafp]. **v.25** σύ[rpn-p] εἰμί[vipx2p] υἱός[nnmp] ὁ[dgmp] προφήτης[ngmp] καί[c] ὁ[dgfs] διαθήκη[ngfs] ὅς[rrgfs] διατίθημι[viam3s] ὁ[dnms] θεός[nnms] πρός[p] ὁ[damp] πατήρ[namp] ἐγώ[rpg-p] λέγω[vppanms] πρός[p] Ἀβραάμ[tp] καί[c] ὁ[ddns] σπέρμα[ndns] σύ[rpg-s] ἐνευλογέω[vifp3p] πᾶς[anfpn] ὁ[dnfp] πατριά[nnfp] ὁ[dgfs] γῆ[ngfs]. **v.26** σύ[rpd-p] πρῶτος[bo] ὁ[dnms] θεός[nnms] ἀνίστημι[vpaanms] ὁ[dams] παῖς[nams] αὐτός[rpgms] Ἰησοῦς[nams] ἀποστέλλω[viaa3s] αὐτός[rpams] εὐλογέω[vppaams] σύ[rpa-p] ἐν[p] ὁ[ddms] ἀποστρέφω[vnpa] ἕκαστος[aamsn] ἀπό[p] ὁ[dgfp] πονηρία[ngfp] σύ[rpg-p]. **4. v.1** λαλέω[vppagmp] δέ[c] αὐτός[rpgmp] πρός[p] ὁ[dams] λαός[nams] ἐφίστημι[viaa3p] αὐτός[rpdmp] ὁ[dnmp] ἱερεύς[nnmp] καί[c] ὁ[dnms] στρατηγός[nnms] ὁ[dgns] ἱερόν[ngns] καί[c] ὁ[dnmp] Σαδδουκαῖος[nnmp]. **v.2** διαπονέομαι[vppnnmp] διά[p] ὁ[dans] διδάσκω[vnpa] αὐτός[rpamp] ὁ[dams] λαός[nams] καί[c] καταγγέλλω[vnpa] ἐν[p] ὁ[ddms] Ἰησοῦς[ndms] ὁ[dafs] ἀνάστασις[nafs] ὁ[dafs] ἐκ[p] νεκρός[agmpn].

4 ἑσπέρα ἤδη. πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν
5 καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε. Ἐ-
γένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ
6 πρεσβυτέρους καὶ γραμματεῖς. εἰς Ἰερουσαλὴμ καὶ Ἄνναν τὸν
ἀρχιερέα καὶ Καϊάφαν, καὶ Ἰωάννην καὶ Ἀλέξανδρον καὶ ὅσοι
7 ἦσαν ἐκ γένους ἀρχιερατικοῦ. καὶ στήσαντες αὐτοὺς ἐν τῷ μέ-
σῳ ἐπυνθάνοντο Ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε
8 τοῦτο ὑμεῖς. τότε Πέτρος πλησθεὶς πνεύματος ἁγίου εἶπεν
πρὸς αὐτούς Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραὴλ,
9 εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀ-
10 σθενοῦς ἐν τίνι οὗτος σέσωσται. γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ
παντὶ τῷ λαῷ Ἰσραὴλ ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Να-
ζωραίου ὃν ὑμεῖς ἐσταυρώσατε ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν ἐν
11 τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. οὗτός ἐστιν ὁ
λίθος ὁ ἐξουθενηθεὶς ὑφ ὑμῶν τῶν οἰκοδόμούντων, ὁ γενόμενος
12 εἰς κεφαλὴν γωνίας. καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία
οὔτε γὰρ ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν
13 ἀνθρώποις ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. Θεωροῦντες δὲ τὴν τοῦ
Πέτρου παρρησίαν καὶ Ἰωάννου καὶ καταλαβόμενοι ὅτι ἄνθρω-
ποι ἀγράμματοί εἰσιν καὶ ἰδιῶται ἐθαύμαζον ἐπεγίνωσκόν τε
14 αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. τόν δὲ ἄνθρωπον βλέποντες

---

v.3 καί[c] ἐπιβάλλω[viaa3p] αὐτός[rpdmp] ὁ[dafp] χείρ[nafp] καί[c] τίθημι[viam3p] εἰς[p] τήρησις[nafs] εἰς[p] ὁ[dafs] αὔριον[bo] εἰμί[viix3s] γάρ[c] ἑσπέρα[nnfs] ἤδη[bo]. **v.4** πολύς[anmpn] δέ[c] ὁ[dgmp] ἀκούω[vpaagmp] ὁ[dams] λόγος[nams] πιστεύω[viaa3p] καί[c] γίνομαι[viao3s] ὁ[dnms] ἀριθμός[nnms] ὁ[dgmp] ἀνήρ[ngmp] ὡσεί[bo] χιλιάς[nnfp] πέντε[tn]. **v.5** γίνομαι[viad3s] δέ[c] ἐπί[p] ὁ[dafs] αὔριον[bo] συνάγω[vnap] αὐτός[rpgmp] ὁ[damp] ἄρχων[namp] καί[c] πρεσβύτερος[aampn] καί[c] γραμματεύς[namp]. **v.6** εἰς[p] Ἰερουσαλήμ[tp] καί[c] Ἄννας[nams] ὁ[dams] ἀρχιερεύς[nams] καί[c] Καϊάφας[nams] καί[c] Ἰωάννης[nams] καί[c] Ἀλέξανδρος[nams] καί[c] ὅσος[rcnmp] εἰμί[viix3p] ἐκ[p] γένος[ngns] ἀρχιερατικός[agnsn]. **v.7** καί[c] ἵστημι[vpaanmp] αὐτός[rpamp] ἐν[p] ὁ[ddns] μέσος[adnsn] πυνθάνομαι[viin3p] ἐν[p] ποῖος[rqdfs] δύναμις[ndfs] ἤ[xo] ἐν[p] ποῖος[rqdns] ὄνομα[ndns] ποιέω[viaa2p] οὗτος[rdans] σύ[rpn-p]. **v.8** τότε[bo] Πέτρος[nnms] πίμπλημι[vpapnms] πνεῦμα[ngns] ἅγιος[agnsn] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] ἄρχων[nvmp] ὁ[dgms] λαός[ngms] καί[c] πρεσβύτερος[avmpn] ὁ[dgms] Ἰσραήλ[tp]. **v.9** εἰ[qo] ἐγώ[rpn-p] σήμερον[bo] ἀνακρίνω[vipp1p] ἐπί[p] εὐεργεσία[ndfs] ἄνθρωπος[ngms] ἀσθενής[agmsn] ἐν[p] τίς[rqdms] οὗτος[rdnms] σῴζω[vixp3s]. **v.10** γνωστός[annsn] εἰμί[vdpx3s] πᾶς[admpn] σύ[rpd-p] καί[c] πᾶς[admsn] ὁ[ddms] λαός[ndms] Ἰσραήλ[tp] ὅτι[c] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] Ναζωραῖος[ngms] ὅς[rrams] σύ[rpn-p] σταυρόω[viaa2p] ὅς[rrams] ὁ[dnms] θεός[nnms] ἐγείρω[viaa3s] ἐκ[p] νεκρός[agmpn] ἐν[p] οὗτος[rddns] οὗτος[rdnms] παρίστημι[vixa3s] ἐνώπιον[bo] σύ[rpg-p] ὑγιής[anmsn]. **v.11** οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] λίθος[nnms] ὁ[dnms] ἐξουθενέω[vpapnms] ὑπό[p] σύ[rpg-p] ὁ[dgmp] οἰκοδομέω[vppagmp] ὁ[dnms] γίνομαι[vpadnms] εἰς[p] κεφαλή[nafs] γωνία[ngfs]. **v.12** καί[c] οὐ[xo] εἰμί[vipx3s] ἐν[p] ἄλλος[admsn] οὐδείς[admsn] ὁ[dnfs] σωτηρία[nnfs] οὔτε[c] γάρ[c] ὄνομα[nnns] εἰμί[vipx3s] ἕτερος[annsn] ὑπό[p] ὁ[dams] οὐρανός[nams] ὁ[dnns] δίδωμι[vpxpnns] ἐν[p] ἄνθρωπος[ndmp] ἐν[p] ὅς[rrdns] δεῖ[vipq3s] σῴζω[vnap] ἐγώ[rpa-p]. **v.13** θεωρέω[vppanmp] δέ[c] ὁ[dafs] ὁ[dgms] Πέτρος[ngms] παρρησία[nafs] καί[c] Ἰωάννης[ngms] καί[c] καταλαμβάνω[vpamnmp] ὅτι[c] ἄνθρωπος[nnmp] ἀγράμματος[anmpn] εἰμί[vipx3p] καί[c] ἰδιώτης[nnmp] θαυμάζω[viia3p] ἐπιγινώσκω[viia3p] τέ[xo] αὐτός[rpamp] ὅτι[c] σύν[p] ὁ[ddms] Ἰησοῦς[ndms] εἰμί[viix3p].

σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον οὐδὲν εἶχον ἀντειπεῖν.
κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν συνέβαλον 15
πρὸς ἀλλήλους. λέγοντες Τί ποιήσομεν τοῖς ἀνθρώποις τού- 16
τοις ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονεν δι᾽ αὐτῶν πᾶσιν τοῖς
κατοικοῦσιν Ἰερουσαλὴμ φανερόν καὶ οὐ δυνάμεθα ἀρ᾽νησα-
σθαι, ἀλλ ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαόν ἀπειλῇ 17
ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μη-
δενὶ ἀνθρώπων. καὶ καλέσαντες αὐτοὺς παρήγγειλαν αὐτοῖς 18
τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ
Ἰησοῦ. ὁ δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες πρὸς αὐτούς 19
εἶπον Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ θεοῦ ὑμῶν ἀκούειν μᾶλλον
ἢ τοῦ θεοῦ κρίνατε. οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ 20
ἠκούσαμεν μὴ λαλεῖν. οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν 21
αὐτούς μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσωνται αὐτούς διὰ τὸν
λαόν ὅτι πάντες ἐδόξαζον τὸν θεὸν ἐπὶ τῷ γεγονότι, ἐτῶν γὰρ ἦν 22
πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος ἐφ ὃν ἐγεγόνει τὸ σημεῖον
τοῦτο τῆς ἰάσεως. Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους καὶ 23
ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι
εἶπον. οἱ δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν 24
θεὸν καὶ εἶπον, Δέσποτα σὺ ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ
τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. ὁ διὰ στό- 25

---

νετο διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ κατὰ μέσον τῆς νυκτὸς
28 ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν. καὶ βολί-
σαντες εὗρον ὀργυιὰς εἴκοσι βραχὺ δὲ διαστήσαντες καὶ πάλιν
29 βολίσαντες εὗρον ὀργυιὰς δεκαπέντε, φοβούμενοί τε μήπως
εἰς τραχεῖς τόπους ἐκπέσωσιν ἐκ πρύμνης ῥίψαντες ἀγκύρας
30 τέσσαρας ηὔχοντο ἡμέραν γενέσθαι. τῶν δὲ ναυτῶν ζητούν-
των φυγεῖν ἐκ τοῦ πλοίου καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν
θάλασσαν προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτεί-
31 νειν. εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις
Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ ὑμεῖς σωθῆναι οὐ δύνα-
32 σθε. τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης καὶ
33 εἴασαν αὐτὴν ἐκπεσεῖν. Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι
παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς λέγων Τεσ-
σαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατε-
34 λεῖτε μηδὲν προσλαβόμενοι. διὸ παρακαλῶ ὑμᾶς προσλαβεῖν

---

v.22 καί[c] νῦν[bo] παραινέω[vipa1s] σύ[rpa-p] εὐθυμέω[vnpa] ἀποβολή[nnfs] γάρ[c] ψυχή[ngfs] οὐδείς[anfsn] εἰμί[vifx3s] ἐκ[p] σύ[rpg-p] πλήν[bo] ὁ[dgns] πλοῖον[ngns]. **v.23** παρίστημι[viaa3s] γάρ[c] ἐγώ[rpd-s] ὁ[ddfs] νύξ[ndfs] οὗτος[rddfs] ἄγγελος[nnms] ὁ[dgms] θεός[ngms] ὅς[rrgms] εἰμί[vipx1s] ὅς[rrdms] καί[c] λατρεύω[vipa1s]. **v.24** λέγω[vppanms] μή[xo] φοβέομαι[vdpm2s] Παῦλος[nvms] Καῖσαρ[ndms] σύ[rpa-s] δεῖ[vipq3s] παρίστημι[vnaa] καί[c] ἰδού[vdaa2s] χαρίζομαι[vixn3s] σύ[rpd-s] ὁ[dnms] θεός[nnms] πᾶς[aampn] ὁ[damp] πλέω[vppaamp] μετά[p] σύ[rpg-s]. **v.25** διό[c] εὐθυμέω[vdpa2p] ἀνήρ[nvmp] πιστεύω[vipa1s] γάρ[c] ὁ[ddms] θεός[ndms] ὅτι[c] οὕτω[bo] εἰμί[vifx3s] κατά[p] ὅς[rrams] τρόπος[nams] λαλέω[vixp3s] ἐγώ[rpd-s]. **v.26** εἰς[p] νῆσος[nafs] δέ[c] τι-σριαφσ δεῖ[vipq3s] ἐγώ[rpa-p] ἐκπίπτω[vnaa]. **v.27** ὡς[bo] δέ[c] τεσσαρεσκαιδέκατος[anfsn] νύξ[nnfs] γίνομαι[viad3s] διαφέρω[vpppgmp] ἐγώ[rpg-p] ἐν[p] ὁ[ddms] Ἀδρίας[ndms] κατά[p] μέσος[aansn] ὁ[dgfs] νύξ[ngfs] ὑπονοέω[viia3p] ὁ[dnmp] ναῦτης[nnmp] προσάγω[vnpa] τι-σριαφσ αὐτός[rpdmp] χώρα[nafs]. **v.28** καί[c] βολίζω[vpaanmp] εὑρίσκω[viaa3p] ὀργυιά[nafp] εἴκοσι[nnmp] βραχύς[aansn] δέ[c] διΐστημι[vpaanmp] καί[c] πάλιν[bo] βολίζω[vpaanmp] εὑρίσκω[viaa3p] ὀργυιά[nafp] δεκαπέντε[tn]. **v.29** φοβέομαι[vppnnmp] τέ[xo] μή&πώς[c] εἰς[p] τραχύς[aampn] τόπος[namp] ἐκπίπτω[vsaa3p] ἐκ[p] πρύμνα[ngfs] ῥίπτω[vpaanmp] ἄγκυρα[nafp] τέσσαρες[nafp] εὔχομαι[viin3p] ἡμέρα[nafs] γίνομαι[vnad]. **v.30** ὁ[dgmp] δέ[c] ναῦτης[ngmp] ζητέω[vppagmp] φεύγω[vnaa] ἐκ[p] ὁ[dgns] πλοῖον[ngns] καί[c] χαλάω[vpaagmp] ὁ[dafs] σκάφη[nafs] εἰς[p] ὁ[dafs] θάλασσα[nafs] πρόφασις[ndfs] ὡς[bo] ἐκ[p] πρῷρα[ngfs] μέλλω[vppagmp] ἄγκυρα[nafp] ἐκτείνω[vnpa]. **v.31** λέγω[viaa3s] ὁ[dnms] Παῦλος[nnms] ὁ[ddms] ἑκατοντάρχης[ndms] καί[c] ὁ[ddmp] στρατιώτης[ndmp] ἐάν[qo] μή[xo] οὗτος[rdnmp] μένω[vsaa3p] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] σύ[rpn-p] σῴζω[vnap] οὐ[xo] δύναμαι[vipn2p]. **v.32** τότε[bo] ὁ[dnmp] στρατιώτης[nnmp] ἀποκόπτω[viaa3p] ὁ[danp] σχοινίον[nanp] ὁ[dgfs] σκάφη[ngfs] καί[c] ἐάω[viaa3p] αὐτός[rpafs] ἐκπίπτω[vnaa]. **v.33** ἄχρι[p] δέ[c] ὅς[rrgns] μέλλω[viia3s] ἡμέρα[nnfs] γίνομαι[vnpn] παρακαλέω[viia3s] ὁ[dnms] Παῦλος[nnms] ἅπας[aampn] μεταλαμβάνω[vnaa] τροφή[ngfs] λέγω[vppanms] τεσσαρεσκαιδέκατος[aafsn] σήμερον[bo] ἡμέρα[nafs] προσδοκάω[vppanmp] ἄσιτος[anmpn] διατελέω[vipa2p] μηδείς[aansn] προσλαμβάνω[vpamnmp].

τροφῆς, τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει οὐδε-
νὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται. εἴπων δὲ ταῦτα 35
καὶ λαβὼν ἄρτον εὐχαρίστησεν τῷ θεῷ ἐνώπιον πάντων καὶ κλά-
σας ἤρξατο ἐσθίειν. εὔθυμοι δὲ γενόμενοι πάντες καὶ αὐτοὶ 36
προσελάβοντο τροφῆς. ἤμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ 37
διακόσιαι ἑβδομήκονταέξ. κορεσθέντες δὲ τροφῆς ἐκούφιζον 38
τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. Ὅτε δὲ 39
ἡμέρα ἐγένετο τὴν γῆν οὐκ ἐπεγίνωσκον κόλπον δέ τινα κατε-
νόουν ἔχοντα αἰγιαλὸν εἰς ὃν ἐβουλεύσαντο, εἰ δύναιντο ἐξῶσαι
τὸ πλοῖον. καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν 40
ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων καὶ ἐπάραντες τὸν
ἀρτέμονα τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν. περιπεσόντες 41
δὲ εἰς τόπον διθάλασσον ἐπώκειλαν τὴν ναῦν καὶ ἡ μὲν πρῷρα
ἐρείσασα ἔμεινεν ἀσάλευτος ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας
τῶν κυμάτων. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς δε- 42
σμώτας ἀποκτείνωσιν Μήτις ἐκκολυμβήσας διαφύγοι. ὁ δὲ 43
ἑκατόνταρχος βουλόμενος διασῶσαι τὸν Παῦλον ἐκώλυσεν αὐ-
τοὺς τοῦ βουλήματος ἐκέλευσέν τε τοὺς δυναμένους κολυμβᾶν
ἀπορρίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι. καὶ τοὺς λοιποὺς 44
οὓς μὲν ἐπὶ σανίσιν οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου καὶ
οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

---

v.34 διό[c] παρακαλέω[vipa1s] σύ[rpa-p] προσλαμβάνω[vnaa] τροφή[ngfs] οὗτος[rdnns] γάρ[c] πρός[p] ὁ[dgfs] ὑμέτερος[rsgfs] σωτηρία[ngfs] ὑπάρχω[vipa3s] οὐδείς[agmsn] γάρ[c] σύ[rpg-p] θρίξ[nnfs] ἐκ[p] ὁ[dgfs] κεφαλή[ngfs] πίπτω[vifd3s]. **v.35** λέγω[vpaanms] δέ[c] οὗτος[rdanp] καί[c] λαμβάνω[vpaanms] ἄρτος[nams] εὐχαριστέω[viaa3s] ὁ[ddms] θεός[ndms] ἐνώπιον[bo] πᾶς[agmpn] καί[c] κλάω[vpaanms] ἄρχω[viad3s] ἐσθίω[vnpa]. **v.36** εὔθυμος[anmpn] δέ[c] γίνομαι[vpadnmp] πᾶς[anmpn] καί[c] αὐτός[rpnmp] προσλαμβάνω[viam3p] τροφή[ngfs]. **v.37** εἰμί[viix1p] δέ[c] ἐν[p] ὁ[ddns] πλοῖον[ndns] ὁ[dnfp] πᾶς[anfpn] ψυχή[nnfp] διακόσιοι[nnfp] ἑβδομήκοντα[tn]. **v.38** κορέννυμι[vpapnmp] δέ[c] τροφή[ngfs] κουφίζω[viia3p] ὁ[dans] πλοῖον[nans] ἐκβάλλω[vppmnmp] ὁ[dams] σῖτος[nams] εἰς[p] ὁ[dafs] θάλασσα[nafs]. **v.39** ὅτε[bo] δέ[c] ἡμέρα[nnfs] γίνομαι[viad3s] ὁ[dafs] γῆ[nafs] οὐ[xo] ἐπιγινώσκω[viia3p] κόλπος[nams] δέ[c] τι-σριαμσ κατανοέω[viia3p] ἔχω[vppaams] αἰγιαλός[nams] εἰς[p] ὅς[rrams] βουλεύομαι[viad3p] εἰ[qo] δύναμαι[vopn3p] ἐξωθέω[vnaa] ὁ[dans] πλοῖον[nans]. **v.40** καί[c] ὁ[dafp] ἄγκυρα[nafp] περιαιρέω[vpaanmp] ἐάω[viia3p] εἰς[p] ὁ[dafs] θάλασσα[nafs] ἅμα[bo] ἀνίημι[vpaanmp] ὁ[dafp] ζευκτηρία[nafp] ὁ[dgnp] πηδάλιον[ngnp] καί[c] ἐπαίρω[vpaanmp] ὁ[dams] ἀρτέμων[nams] ὁ[ddfs] πνέω[vppadfs] κατέχω[viia3p] εἰς[p] ὁ[dams] αἰγιαλός[nams]. **v.41** περιπίπτω[vpaanmp] δέ[c] εἰς[p] τόπος[nams] διθάλασσος[aamsn] ἐποκέλλω[viaa3p] ὁ[dafs] ναῦς[nafs] καί[c] ὁ[dnfs] μέν[xo] πρῷρα[nnfs] ἐρείδω[vpaanfs] μένω[viaa3s] ἀσάλευτος[anfsn] ὁ[dnfs] δέ[c] πρύμνα[nnfs] λύω[viip3s] ὑπό[p] ὁ[dgfs] βία[ngfs] ὁ[dgnp] κῦμα[ngnp]. **v.42** ὁ[dgmp] δέ[c] στρατιώτης[ngmp] βουλή[nnfs] γίνομαι[viad3s] ἵνα[c] ὁ[damp] δεσμώτης[namp] ἀποκτείνω[vspa3p] μή[xo] ἐκκολυμβάω[vpaanms] διαφεύγω[voaa3s]. **v.43** ὁ[dnms] δέ[c] ἑκατοντάρχης[nnms] βούλομαι[vppnnms] διασῴζω[vnaa] ὁ[dams] Παῦλος[nams] κωλύω[viaa3s] αὐτός[rpamp] ὁ[dgns] βούλημα[ngns] κελεύω[viaa3s] τέ[xo] ὁ[damp] δύναμαι[vppnamp] κολυμβάω[vnpa] ἀπορίπτω[vpaaamp] πρῶτος[aampn] ἐπί[p] ὁ[dafs] γῆ[nafs] ἔξειμι[vnpx]. **v.44** καί[c] ὁ[damp] λοιπός[aampn] ὅς[rramp] μέν[xo] ἐπί[p] σανίς[ndfp] ὅς[rramp] δέ[c] ἐπί[p] τι-σριγνπ ὁ[dgnp] ἀπό[p] ὁ[dgns] πλοῖον[ngns] καί[c] οὕτω[bo] γίνομαι[viad3s] πᾶς[aampn] διασῴζω[vnap] ἐπί[p] ὁ[dafs] γῆ[nafs].

28 Καὶ διασωθέντες τότε ἐπέγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖ-
2 ται. οἵ δέ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν
ἡμῖν ἀνάψαντες γὰρ πυρὰν προσελάβοντο πάντας ἡμᾶς διὰ τὸν
3 ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψῦχος. συστρέψαντος δὲ τοῦ
Παύλου φρυγάνων πλῆθος καὶ ἐπιθέντος ἐπὶ τὴν πυράν ἔχιδνα
4 ἐκ τῆς θέρμης ἐξελθοῦσα καθῆψεν τῆς χειρὸς αὐτοῦ. ὡς δὲ
εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ
ἔλεγον πρὸς ἀλλήλους Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος
5 ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν. ὁ μὲν
6 οὖν ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ ἔπαθεν οὐδὲν κακόν. οἱ
δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι ἢ καταπίπτειν ἄφνω
νεκρόν ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μη-
δὲν ἄτοπον εἰς αὐτὸν γινόμενον μεταβαλλόμενοι ἔλεγον θεόν
7 αὐτὸν εἶναι. Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχεν χωρία
τῷ πρώτῳ τῆς νήσου ὀνόματι Ποπλίῳ ὃς ἀναδεξάμενος ἡμᾶς
8 τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν. ἐγένετο δὲ τὸν πατέρα τοῦ
Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον κατακεῖσθαι
πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν καὶ προσευξάμενος ἐπιθεὶς τὰς χεῖ-
9 ρας αὐτῷ ἰάσατο αὐτόν. τούτου οὖν γενομένου καὶ οἱ λοιποὶ
οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ προσήρχοντο καὶ ἐθεραπεύ-
10 οντο. οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς καὶ ἀναγομένοις

---

28. **v.1** καί[c] διασῴζω[vpapnmp] τότε[bo] ἐπιγινώσκω[viaa3p] ὅτι[c] Μελίτη[nnfs] ὁ[dnfs] νῆσος[nnfs] καλέω[vipp3s]. **v.2** ὁ[dnmp] δέ[c] βάρβαρος[anmpn] παρέχω[viia3p] οὐ[xo] ὁ[dafs] τυγχάνω[vpaaafs] φιλανθρωπία[nafs] ἐγώ[rpd-p] ἀνάπτω[vpaanmp] γάρ[c] πυρά[nafs] προσλαμβάνω[viam3p] πᾶς[aampn] ἐγώ[rpa-p] διά[p] ὁ[dams] ὑετός[nams] ὁ[dams] ἐφίστημι[vpxaams] καί[c] διά[p] ὁ[dans] ψῦχος[nans]. **v.3** συστρέφω[vpaagms] δέ[c] ὁ[dgms] Παῦλος[ngms] φρύγανον[ngnp] πλῆθος[nans] καί[c] ἐπιτίθημι[vpaagms] ἐπί[p] ὁ[dafs] πυρά[nafs] ἔχιδνα[nnfs] ἐκ[p] ὁ[dgfs] θέρμη[ngfs] ἐξέρχομαι[vpaanfs] καθάπτω[viaa3s] ὁ[dgfs] χείρ[ngfs] αὐτός[rpgms]. **v.4** ὡς[bo] δέ[c] ὁράω[viaa3p] ὁ[dnmp] βάρβαρος[anmpn] κρεμάννυμι[vppmans] ὁ[dans] θηρίον[nans] ἐκ[p] ὁ[dgfs] χείρ[ngfs] αὐτός[rpgms] λέγω[viia3p] πρός[p] ἀλλήλων[reamp] πάντως[bo] φονεύς[nnms] εἰμί[vipx3s] ὁ[dnms] ἄνθρωπος[nnms] οὗτος[rdnms] ὅς[rrams] διασῴζω[vpapams] ἐκ[p] ὁ[dgfs] θάλασσα[ngfs] ὁ[dnfs] δίκη[nnfs] ζάω[vnpa] οὐ[xo] ἐάω[viaa3s]. **v.5** ὁ[dnms] μέν[xo] οὖν[c] ἀποτινάσσω[vpaanms] ὁ[dans] θηρίον[nans] εἰς[p] ὁ[dans] πῦρ[nans] πάσχω[viaa3s] οὐδείς[aansn] κακός[aansn]. **v.6** ὁ[dnmp] δέ[c] προσδοκάω[viia3p] αὐτός[rpams] μέλλω[vnpa] πίμπρημι[vnpp] ἤ[xo] καταπίπτω[vnpa] ἄφνω[bo] νεκρός[aamsn] ἐπί[p] πολύς[aansn] δέ[c] αὐτός[rpgmp] προσδοκάω[vppagmp] καί[c] θεωρέω[vppagmp] μηδείς[aansn] ἄτοπος[aansn] εἰς[p] αὐτός[rpams] γίνομαι[vppnans] μεταβάλλω[vppmnmp] λέγω[viia3p] θεός[nams] αὐτός[rpams] εἰμί[vnpx]. **v.7** ἐν[p] δέ[c] ὁ[ddnp] περί[p] ὁ[dams] τόπος[nams] ἐκεῖνος[rdams] ὑπάρχω[viia3s] χωρίον[nnnp] ὁ[ddms] πρῶτος[admsn] ὁ[dgfs] νῆσος[ngfs] ὄνομα[ndns] Πόπλιος[ndms] ὅς[rrnms] ἀναδέχομαι[vpadnms] ἐγώ[rpa-p] τρεῖς[nafp] ἡμέρα[nafp] φιλοφρόνως[bo] ξενίζω[viaa3s]. **v.8** γίνομαι[viad3s] δέ[c] ὁ[dams] πατήρ[nams] ὁ[dgms] Πόπλιος[ngms] πυρετός[ndmp] καί[c] δυσεντέριον[ndfs] συνέχω[vpppams] κατάκειμαι[vnpn] πρός[p] ὅς[rrams] ὁ[dnms] Παῦλος[nnms] εἰσέρχομαι[vpaanms] καί[c] προσεύχομαι[vpadnms] ἐπιτίθημι[vpaanms] ὁ[dafp] χείρ[nafp] αὐτός[rpdms] ἰάομαι[viad3s] αὐτός[rpams]. **v.9** οὗτος[rdgns] οὖν[c] γίνομαι[vpadgns] καί[c] ὁ[dnmp] λοιπός[anmpn] ὁ[dnmp] ἔχω[vppanmp] ἀσθένεια[nafp] ἐν[p] ὁ[ddfs] νῆσος[ndfs] προσέρχομαι[viin3p] καί[c] θεραπεύω[viip3p].

ἐπέθεντο τὰ πρὸς τὴν χρείαν. Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν 11
ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ Ἀλεξανδρίνῳ παρασήμῳ
Διοσκούροις. καὶ καταχθέντες εἰς Συρακούσας ἐπεμείναμεν 12
ἡμέρας τρεῖς. ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ῥήγιον 13
καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου δευτεραῖοι ἤλθομεν
εἰς Ποτιόλους. οὗ εὑρόντες ἀδελφοὺς παρεκλήθημεν ἐπ' αὐ- 14
τοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά, καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν.
κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν ἐξῆλθον εἰς ἀ- 15
πάντησιν ἡμῖν ἄχρις Ἀππίου Φόρου καὶ Τριῶν Ταβερνῶν οὓς
ἰδὼν ὁ Παῦλος εὐχαριστήσας τῷ θεῷ ἔλαβεν θάρσος. Ὅτε δὲ 16
ἤλθομεν εἰς Ῥώμην ὁ ἑκατόνταρχος παρέδωκεν τοὺς δεσμίους
τῷ στρατοπεδάρχῃ, τῷ δὲ Παύλῳ ἐπετράπη μένειν καθ ἑαυτὸν
σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. Ἐγένετο δὲ μετὰ ἡμέ- 17
ρας τρεῖς συγκαλέσασθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων
πρώτους, συνελθόντων δὲ αὐτῶν ἔλεγεν πρὸς αὐτούς ἄνδρες ἀ-
δελφοί Ἐγώ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσιν τοῖς
πατρῴοις δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας
τῶν Ῥωμαίων. οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι 18
διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί, ἀντιλεγόν- 19
των δὲ τῶν Ἰουδαίων ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα οὐχ
ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι. διὰ ταύτην οὖν τὴν 20

---

v.10 ὅς^{rrnmp} καί^{c} πολύς^{adfpn} τιμή^{ndfp} τιμάω^{viaa3p} ἐγώ$^{rpa-p}$ καί^{c} ἀνάγω^{vpppdmp} ἐπιτίθημι^{viam3p} ὁ^{danp} πρός^{p} ὁ^{dafs} χρεία^{nafs}. **v.11** μετά^{p} δέ^{c} τρεῖς^{namp} μήν^{namp} ἀνάγω^{viap1p} ἐν^{p} πλοῖον^{ndns} παραχειμάζω^{vpxadms} ἐν^{p} ὁ^{ddfs} νῆσος^{ndfs} Ἀλεξανδρῖνος^{adnsn} παράσημος^{ndns} Διόσκουροι^{ndmp}. **v.12** καί^{c} κατάγω^{vpapnmp} εἰς^{p} Συράκουσαι^{nafp} ἐπιμένω^{viaa1p} ἡμέρα^{nafp} τρεῖς^{nafp}. **v.13** ὅθεν^{bo} περιέρχομαι^{vpaanmp} καταντάω^{viaa1p} εἰς^{p} Ῥήγιον^{nans} καί^{c} μετά^{p} εἷς^{nafs} ἡμέρα^{nafs} ἐπιγίνομαι^{vpadgms} νότος^{ngms} δευτεραῖος^{anmpn} ἔρχομαι^{viaa1p} εἰς^{p} Ποτίολοι^{namp}. **v.14** ὅς^{bo} εὑρίσκω^{vpaanmp} ἀδελφός^{namp} παρακαλέω^{viap1p} ἐπί^{p} αὐτός^{rpdmp} ἐπιμένω^{vnaa} ἡμέρα^{nafp} ἑπτά^{tn} καί^{c} οὕτω^{bo} εἰς^{p} ὁ^{dafs} Ῥώμη^{nafs} ἔρχομαι^{viaa1p}. **v.15** κἀκεῖθεν^{bo} ὁ^{dnmp} ἀδελφός^{nnmp} ἀκούω^{vpaanmp} ὁ^{danp} περί^{p} ἐγώ$^{rpg-p}$ ἐξέρχομαι^{viaa3p} εἰς^{p} ἀπάντησις^{nafs} ἐγώ$^{rpd-p}$ ἄχρι^{p} Ἀππίου^{ngms} Φόρον^{ngns} καί^{c} τρεῖς^{ngfp} ταβέρνη^{ngfp} ὅς^{rramp} ὁράω^{vpaanms} ὁ^{dnms} Παῦλος^{nnms} εὐχαριστέω^{vpaanms} ὁ^{ddms} θεός^{ndms} λαμβάνω^{viaa3s} θάρσος^{nans}. **v.16** ὅτε^{bo} δέ^{c} ἔρχομαι^{viaa1p} εἰς^{p} Ῥώμη^{nafs} ὁ^{dnms} ἑκατοντάρχης^{nnms} παραδίδωμι^{viaa3s} ὁ^{damp} δέσμιος^{namp} ὁ^{ddms} στρατοπεδάρχης^{ndms} ὁ^{ddms} δέ^{c} Παῦλος^{ndms} ἐπιτρέπω^{viap3s} μένω^{vnpa} κατά^{p} ἑαυτοῦ^{rxams} σύν^{p} ὁ^{ddms} φυλάσσω^{vppadms} αὐτός^{rpams} στρατιώτης^{ndms}. **v.17** γίνομαι^{viad3s} δέ^{c} μετά^{p} ἡμέρα^{nafp} τρεῖς^{nafp} συγκαλέω^{vnam} ὁ^{dams} Παῦλος^{nams} ὁ^{damp} εἰμί^{vppxamp} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} πρῶτος^{aampn} συνέρχομαι^{vpaagmp} δέ^{c} αὐτός^{rpgmp} λέγω^{viia3s} πρός^{p} αὐτός^{rpamp} ἀνήρ^{nvmp} ἀδελφός^{nvmp} ἐγώ$^{rpn-s}$ οὐδείς^{aansn} ἐναντίος^{aansn} ποιέω^{vpaanms} ὁ^{ddms} λαός^{ndms} ἤ^{xo} ὁ^{ddnp} ἔθος^{ndnp} ὁ^{ddnp} πατρῷος^{adnpn} δέσμιος^{nnms} ἐκ^{p} Ἱεροσόλυμα^{ngnp} παραδίδωμι^{viap1s} εἰς^{p} ὁ^{dafp} χείρ^{nafp} ὁ^{dgmp} Ῥωμαῖος^{agmpn}. **v.18** ὅστις^{rrnmp} ἀνακρίνω^{vpaanmp} ἐγώ$^{rpa-s}$ βούλομαι^{viin3p} ἀπολύω^{vnaa} διά^{p} ὁ^{dans} μηδείς^{aafsn} αἰτία^{nafs} θάνατος^{ngms} ὑπάρχω^{vnpa} ἐν^{p} ἐγώ$^{rpd-s}$. **v.19** ἀντιλέγω^{vppagmp} δέ^{c} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} ἀναγκάζω^{viap1s} ἐπικαλέω^{vnam} Καῖσαρ^{nams} οὐ^{xo} ὡς^{bo} ὁ^{dgns} ἔθνος^{ngns} ἐγώ$^{rpg-s}$ ἔχω^{vppanms} τι-σριανσ κατηγορέω^{vnaa}.

αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι ἕνεκεν γὰρ τῆς
21 ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι. οἱ δὲ πρὸς
αὐτὸν εἶπον, Ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ
τῆς Ἰουδαίας οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγει-
22 λεν ἢ ἐλάλησέν τι περὶ σοῦ πονηρόν. ἀξιοῦμεν δὲ παρὰ σοῦ
ἀκοῦσαι ἃ φρονεῖς περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστὸν
23 ἐστιν ἡμῖν ὅτι πανταχοῦ ἀντιλέγεται. Ταξάμενοι δὲ αὐτῷ ἡ-
μέραν ἧκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες οἷς ἐξετίθετο
διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ θεοῦ πείθων τε αὐτοὺς τὰ
περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ νόμου Μωσέως καὶ τῶν προφητῶν ἀ-
24 πὸ πρωῒ ἕως ἑσπέρας. καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις οἱ
25 δὲ ἠπίστουν, ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους ἀπελύοντο
εἰπόντος τοῦ Παύλου ῥῆμα ἓν ὅτι Καλῶς τὸ πνεῦμα τὸ ἅγιον
ἐλάλησεν διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν.
26 λέγον Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἰπὲ, Ἀκοῇ ἀκού-
σετε καὶ οὐ μὴ συνῆτε καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε,
27 ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου καὶ τοῖς ὠσὶν βα-
ρέως ἤκουσαν καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε
ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ
28 συνῶσιν καὶ ἐπιστρέψωσιν καὶ ἰάσωμαι αὐτούς. γνωστὸν οὖν
ἔστω ὑμῖν ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ θεοῦ, αὐ-

---

v.20 διά^{p} οὗτος^{rdafs} οὖν^{c} ὁ^{dafs} αἰτία^{nafs} παρακαλέω^{viaa1s} σύ$^{rpa-p}$ ὁράω^{vnaa} καί^{c} προσλαλέω^{vnaa} ἕνεκα^{bo} γάρ^{c} ὁ^{dgfs} ἐλπίς^{ngfs} ὁ^{dgms} Ἰσραήλ^{tp} ὁ^{dafs} ἅλυσις^{nafs} οὗτος^{rdafs} περίκειμαι^{vipn1s}. **v.21** ὁ^{dnmp} δέ^{c} πρός^{p} αὐτός^{rpams} λέγω^{viaa3p} ἐγώ$^{rpn-p}$ οὔτε^{c} γράμμα^{nanp} περί^{p} σύ$^{rpg-s}$ δέχομαι^{viad1p} ἀπό^{p} ὁ^{dgfs} Ἰουδαία^{ngfs} οὔτε^{c} παραγίνομαι^{vpadnms} τι-σρινμσ ὁ^{dgmp} ἀδελφός^{ngmp} ἀπαγγέλλω^{viaa3s} ἤ^{xo} λαλέω^{viaa3s} τι-σριανσ περί^{p} σύ$^{rpg-s}$ πονηρός^{aansn}. **v.22** ἀξιόω^{vipa1p} δέ^{c} παρά^{p} σύ$^{rpg-s}$ ἀκούω^{vnaa} ὅς^{rranp} φρονέω^{vipa2s} περί^{p} μέν^{xo} γάρ^{c} ὁ^{dgfs} αἵρεσις^{ngfs} οὗτος^{rdgfs} γνωστός^{annsn} εἰμί^{vipx3s} ἐγώ$^{rpd-p}$ ὅτι^{c} πανταχοῦ^{bo} ἀντιλέγω^{vipp3s}. **v.23** τάσσω^{vpamnmp} δέ^{c} αὐτός^{rpdms} ἡμέρα^{nafs} ἥκω^{viia3p} πρός^{p} αὐτός^{rpams} εἰς^{p} ὁ^{dafs} ξενία^{nafs} πολύς^{anmpc} ὅς^{rrdmp} ἐκτίθημι^{viim3s} διαμαρτύρομαι^{vppnnms} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms} πείθω^{vppanms} τέ^{xo} αὐτός^{rpamp} ὁ^{danp} περί^{p} ὁ^{dgms} Ἰησοῦς^{ngms} ἀπό^{p} τέ^{xo} ὁ^{dgms} νόμος^{ngms} Μωϋσῆς^{ngms} καί^{c} ὁ^{dgmp} προφήτης^{ngmp} ἀπό^{p} πρωΐ^{bo} ἕως^{c} ἑσπέρα^{ngfs}. **v.24** καί^{c} ὁ^{dnmp} μέν^{xo} πείθω^{viip3p} ὁ^{ddnp} λέγω^{vpppdnp} ὁ^{dnmp} δέ^{c} ἀπιστέω^{viia3p}. **v.25** ἀσύμφωνος^{anmpn} δέ^{c} εἰμί^{vppxnmp} πρός^{p} ἀλλήλων^{reamp} ἀπολύω^{viim3p} λέγω^{vpaagms} ὁ^{dgms} Παῦλος^{ngms} ῥῆμα^{nans} εἷς^{nans} ὅτι^{c} καλῶς^{bo} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dnns} ἅγιος^{annsn} λαλέω^{viaa3s} διά^{p} Ἡσαΐας^{ngms} ὁ^{dgms} προφήτης^{ngms} πρός^{p} ὁ^{damp} πατήρ^{namp} ἐγώ$^{rpg-p}$. **v.26** λέγω^{vppanns} πορεύομαι^{vdao2s} πρός^{p} ὁ^{dams} λαός^{nams} οὗτος^{rdams} καί^{c} λέγω^{vdaa2s} ἀκοή^{ndfs} ἀκούω^{vifa2p} καί^{c} οὐ^{xo} μή^{xo} συνίημι^{vsax2p} καί^{c} βλέπω^{vppanmp} βλέπω^{vifa2p} καί^{c} οὐ^{xo} μή^{xo} ὁράω^{vsaa2p}. **v.27** παχύνω^{viap3s} γάρ^{c} ὁ^{dnfs} καρδία^{nnfs} ὁ^{dgms} λαός^{ngms} οὗτος^{rdgms} καί^{c} ὁ^{ddnp} οὖς^{ndnp} βαρέως^{bo} ἀκούω^{viaa3p} καί^{c} ὁ^{damp} ὀφθαλμός^{namp} αὐτός^{rpgmp} καμμύω^{viaa3p} μήποτε^{bo} ὁράω^{vsaa3p} ὁ^{ddmp} ὀφθαλμός^{ndmp} καί^{c} ὁ^{ddnp} οὖς^{ndnp} ἀκούω^{vsaa3p} καί^{c} ὁ^{ddfs} καρδία^{ndfs} συνίημι^{vsaa3p} καί^{c} ἐπιστρέφω^{vsaa3p} καί^{c} ἰάομαι^{vsad1s} αὐτός^{rpamp}.

τοὶ καὶ ἀκούσονται. καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ 29
Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. ἔμεινεν δὲ ὁ 30
Παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι καὶ ἀπεδέχετο πάντας
τοὺς εἰσπορευομένους πρὸς αὐτόν. κηρύσσων τὴν βασιλείαν 31
τοῦ θεοῦ καὶ διδάσκων τὰ περὶ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μετὰ
πάσης παρρησίας ἀκωλύτως.

---

v.28 γνωστός[annsn] οὖν[c] εἰμί[vdpx3s] σύ[rpd-p] ὅτι[c] ὁ[ddnp] ἔθνος[ndnp] ἀποστέλλω[viap3s] ὁ[dnns] σωτήριον[annsn] ὁ[dgms] θεός[ngms] αὐτός[rpnmp] καί[c] ἀκούω[vifd3p]. **v.29** καί[c] οὗτος[rdanp] αὐτός[rpgms] λέγω[vpaagms] ἀπέρχομαι[viaa3p] ὁ[dnmp] Ἰουδαῖος[anmpn] πολύς[aafsn] ἔχω[vppanmp] ἐν[p] ἑαυτοῦ[rxdmp] συζήτησις[nafs]. **v.30** μένω[viaa3s] δέ[c] ὁ[dnms] Παῦλος[nnms] διετία[nafs] ὅλος[aafsn] ἐν[p] ἴδιος[admsn] μίσθωμα[ndns] καί[c] ἀποδέχομαι[viin3s] πᾶς[aampn] ὁ[damp] εἰσπορεύομαι[vppnamp] πρός[p] αὐτός[rpams]. **v.31** κηρύσσω[vppanms] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] θεός[ngms] καί[c] διδάσκω[vppanms] ὁ[danp] περί[p] ὁ[dgms] κύριος[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms] μετά[p] πᾶς[agfsn] παρρησία[ngfs] ἀκωλύτως[bo].

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ

1 Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος ἀφωρι-
2 σμένος εἰς εὐαγγέλιον θεοῦ. ὃ προεπηγγείλατο διὰ τῶν προ-
3 φητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις. περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ
4 γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα. τοῦ ὁρισθέντος
υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως
5 νεκρῶν Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. δι᾽ οὗ ἐλάβομεν χά-
ριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσιν τοῖς ἔθνεσιν
6 ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ. ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ
7 Χριστοῦ. πᾶσιν τοῖς οὖσιν ἐν Ῥώμῃ ἀγαπητοῖς θεοῦ κλητοῖς ἁ-
γίοις χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου
8 Ἰησοῦ Χριστοῦ. Πρῶτον μὲν εὐχαριστῶ τῷ θεῷ μου διὰ Ἰησοῦ
Χριστοῦ ὑπὲρ πάντων ὑμῶν ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται
9 ἐν ὅλῳ τῷ κόσμῳ. μάρτυς γάρ μού ἐστιν ὁ θεός ᾧ λατρεύω
ἐν τῷ πνεύματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ ὡς ἀδια-
10 λείπτως μνείαν ὑμῶν ποιοῦμαι. πάντοτε ἐπὶ τῶν προσευχῶν
μου δεόμενος εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι
11 τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς ἵνα τι
μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς.
12 τοῦτο δέ ἐστιν συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις

---

1. **v.1** Παῦλος[nnms] δοῦλος[nnms] Ἰησοῦς[ngms] Χριστός[ngms] κλητός[anmsn] ἀπόστολος[nnms] ἀφορίζω[vpxpnms] εἰς[p] εὐαγγέλιον[nans] θεός[ngms]. **v.2** ὅς[rrans] προεπαγγέλλομαι[viad3s] διά[p] ὁ[dgmp] προφήτης[ngmp] αὐτός[rpgms] ἐν[p] γραφή[ndfp] ἅγιος[adfpn]. **v.3** περί[p] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms] ὁ[dgms] γίνομαι[vpadgms] ἐκ[p] σπέρμα[ngns] Δαυίδ[tp] κατά[p] σάρξ[nafs]. **v.4** ὁ[dgms] ὁρίζω[vpapgms] υἱός[ngms] θεός[ngms] ἐν[p] δύναμις[ndfs] κατά[p] πνεῦμα[nans] ἁγιωσύνη[ngfs] ἐκ[p] ἀνάστασις[ngfs] νεκρός[agmpn] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p]. **v.5** διά[p] ὅς[rrgms] λαμβάνω[viaa1p] χάρις[nafs] καί[c] ἀποστολή[nafs] εἰς[p] ὑπακοή[nafs] πίστις[ngfs] ἐν[p] πᾶς[adnpn] ὁ[ddnp] ἔθνος[ndnp] ὑπέρ[p] ὁ[dgns] ὄνομα[ngns] αὐτός[rpgms]. **v.6** ἐν[p] ὅς[rrdnp] εἰμί[vipx2p] καί[c] σύ[rpn-p] κλητός[anmpn] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.7** πᾶς[admpn] ὁ[ddmp] εἰμί[vppxdmp] ἐν[p] Ῥώμη[ndfs] ἀγαπητός[admpn] θεός[ngms] κλητός[admpn] ἅγιος[admpn] χάρις[nnfs] σύ[rpd-p] καί[c] εἰρήνη[nnfs] ἀπό[p] θεός[ngms] πατήρ[ngms] ἐγώ[rpg-p] καί[c] κύριος[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.8** πρῶτος[bo] μέν[xo] εὐχαριστέω[vipa1s] ὁ[ddms] θεός[ndms] ἐγώ[rpg-s] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms] ὑπέρ[p] πᾶς[agmpn] σύ[rpg-p] ὅτι[c] ὁ[dnfs] πίστις[nnfs] σύ[rpg-p] καταγγέλλω[vipp3s] ἐν[p] ὅλος[admsn] ὁ[ddms] κόσμος[ndms]. **v.9** μάρτυς[nnms] γάρ[c] ἐγώ[rpg-s] εἰμί[vipx3s] ὁ[dnms] θεός[nnms] ὅς[rrdms] λατρεύω[vipa1s] ἐν[p] ὁ[ddns] πνεῦμα[ndns] ἐγώ[rpg-s] ἐν[p] ὁ[ddns] εὐαγγέλιον[ndns] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms] ὡς[bo] ἀδιαλείπτως[bo] μνεία[nafs] σύ[rpg-p] ποιέω[vipm1s]. **v.10** πάντοτε[bo] ἐπί[p] ὁ[dgfp] προσευχή[ngfp] ἐγώ[rpg-s] δέομαι[vppnnms] εἰ[qo] ἤδη[bo] ποτέ[xo] εὐοδόω[vifp1s] ἐν[p] ὁ[ddns] θέλημα[ndns] ὁ[dgms] θεός[ngms] ἔρχομαι[vnaa] πρός[p] σύ[rpa-p]. **v.11** ἐπιποθέω[vipa1s] γάρ[c] ὁράω[vnaa] σύ[rpa-p] ἵνα[c] τι-σριανσ μεταδίδωμι[vsaa1s] χάρισμα[nans] σύ[rpd-p] πνευματικός[aansn] εἰς[p] ὁ[dans] στηρίζω[vnap] σύ[rpa-p].

πίστεως ὑμῶν τε καὶ ἐμοῦ. οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοί 13
ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς καὶ ἐκωλύθην ἄχρι
τοῦ δεῦρο ἵνα καρπὸν τινὰ σχῶ καὶ ἐν ὑμῖν καθὼς καὶ ἐν τοῖς
λοιποῖς ἔθνεσιν. Ἕλλησίν τε καὶ βαρβάροις σοφοῖς τε καὶ ἀνο- 14
ήτοις ὀφειλέτης εἰμί. οὕτως τὸ κατ ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς 15
ἐν Ῥώμῃ εὐαγγελίσασθαι. Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέ- 16
λιον τοῦ Χριστοῦ,, δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ
τῷ πιστεύοντι Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. δικαιοσύνη 17
γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν καθὼς
γέγραπται Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. Ἀποκαλύπτεται 18
γὰρ ὀργὴ θεοῦ ἀπ οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν
ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων. διότι τὸ 19
γνωστὸν τοῦ θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς, ὁ γὰρ θεὸς αὐτοῖς
ἐφανέρωσεν. τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς 20
ποιήμασιν νοούμενα καθορᾶται ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ
θειότης εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. διότι γνόντες τὸν 21
θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν ἀλλ ἐματαιώθησαν
ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν
καρδία. φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν. καὶ ἤλλαξαν 22, 23
τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ
ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν. Διὸ καὶ 24

---

v.12 οὗτος[rdnns] δέ[c] εἰμί[vipx3s] συμπαρακαλέω[vnap] ἐν[p] σύ[rpd-p] διά[p] ὁ[dgfs] ἐν[p] ἀλλήλων[redmp] πίστις[ngfs] σύ[rpg-p] τέ[xo] καί[c] ἐγώ[rpg-s]. **v.13** οὐ[xo] θέλω[vipa1s] δέ[c] σύ[rpa-p] ἀγνοέω[vnpa] ἀδελφός[nvmp] ὅτι[c] πολλάκις[bo] προτίθημι[viam1s] ἔρχομαι[vnaa] πρός[p] σύ[rpa-p] καί[c] κωλύω[viap1s] ἄχρι[p] ὁ[dgms] δεῦρο[bo] ἵνα[c] καρπός[nams] τι-σριαμσ ἔχω[vsaa1s] καί[c] ἐν[p] σύ[rpd-p] καθώς[bo] καί[c] ἐν[p] ὁ[ddnp] λοιπός[adnpn] ἔθνος[ndnp]. **v.14** Ἕλλην[ndmp] τέ[xo] καί[c] βάρβαρος[admpn] σοφός[admpn] τέ[xo] καί[c] ἀνόητος[admpn] ὀφειλέτης[nnms] εἰμί[vipx1s]. **v.15** οὕτω[bo] ὁ[dnns] κατά[p] ἐγώ[rpa-s] πρόθυμος[annsn] καί[c] σύ[rpd-p] ὁ[ddmp] ἐν[p] Ῥώμη[ndfs] εὐαγγελίζω[vnam]. **v.16** οὐ[xo] γάρ[c] ἐπαισχύνομαι[vipn1s] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dgms] Χριστός[ngms] δύναμις[nnfs] γάρ[c] θεός[ngms] εἰμί[vipx3s] εἰς[p] σωτηρία[nafs] πᾶς[admsn] ὁ[ddms] πιστεύω[vppadms] Ἰουδαῖος[admsn] τέ[xo] πρῶτος[bo] καί[c] Ἕλλην[ndms]. **v.17** δικαιοσύνη[nnfs] γάρ[c] θεός[ngms] ἐν[p] αὐτός[rpdns] ἀποκαλύπτω[vipp3s] ἐκ[p] πίστις[ngfs] εἰς[p] πίστις[nafs] καθώς[bo] γράφω[vixp3s] ὁ[dnms] δέ[c] δίκαιος[anmsn] ἐκ[p] πίστις[ngfs] ζάω[vifd3s]. **v.18** ἀποκαλύπτω[vipp3s] γάρ[c] ὀργή[nnfs] θεός[ngms] ἀπό[p] οὐρανός[ngms] ἐπί[p] πᾶς[aafsn] ἀσέβεια[nafs] καί[c] ἀδικία[nafs] ἄνθρωπος[ngmp] ὁ[dgmp] ὁ[dafs] ἀλήθεια[nafs] ἐν[p] ἀδικία[ndfs] κατέχω[vppagmp]. **v.19** διότι[c] ὁ[dnns] γνωστός[annsn] ὁ[dgms] θεός[ngms] φανερός[annsn] εἰμί[vipx3s] ἐν[p] αὐτός[rpdmp] ὁ[dnms] γάρ[c] θεός[nnms] αὐτός[rpdmp] φανερόω[viaa3s]. **v.20** ὁ[dnnp] γάρ[c] ἀόρατος[annpn] αὐτός[rpgms] ἀπό[p] κτίσις[ngfs] κόσμος[ngms] ὁ[ddnp] ποίημα[ndnp] νοέω[vpppnnp] καθοράω[vipp3s] ὁ[dnfs] τέ[xo] ἀΐδιος[anmsn] αὐτός[rpgms] δύναμις[nnfs] καί[c] θειότης[nnfs] εἰς[p] ὁ[dans] εἰμί[vnpx] αὐτός[rpamp] ἀναπολόγητος[aampn]. **v.21** διότι[c] γινώσκω[vpaanmp] ὁ[dams] θεός[nams] οὐ[xo] ὡς[bo] θεός[nams] δοξάζω[viaa3p] ἤ[xo] εὐχαριστέω[viaa3p] ἀλλά[c] ματαιόω[viap3p] ἐν[p] ὁ[ddmp] διαλογισμός[ndmp] αὐτός[rpgmp] καί[c] σκοτίζω[viap3s] ὁ[dnfs] ἀσύνετος[anfsn] αὐτός[rpgmp] καρδία[nnfs]. **v.22** φάσκω[vppanmp] εἰμί[vnpx] σοφός[anmpn] μωραίνω[viap3p]. **v.23** καί[c] ἀλλάσσω[viaa3p] ὁ[dafs] δόξα[nafs] ὁ[dgms] ἄφθαρτος[agmsn] θεός[ngms] ἐν[p] ὁμοίωμα[ndns] εἰκών[ngfs] φθαρτός[agmsn] ἄνθρωπος[ngms] καί[c] πετεινός[ngnp] καί[c] τετράπους[agnpn] καί[c] ἑρπετόν[ngnp].

παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐ-
τῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυ-
25 τοῖς. οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει
καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα
26 ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν. διὰ τοῦτο παρέδω-
κεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας αἵ τε γὰρ θήλειαι αὐτῶν
27 μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. ὁμοίως
τε καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας ἐξε-
καύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους ἄρσενες ἐν ἄρσεσιν
τὴν ἀσχημοσύνην κατεργαζόμενοι καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει
28 τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. καὶ καθὼς οὐκ
ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει παρέδωκεν αὐτοὺς ὁ
29 θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα. πεπληρωμέ-
νους πάσῃ ἀδικίᾳ πορνείᾳ, πονηρίᾳ πλεονεξίᾳ κακίᾳ μεστοὺς
30 φθόνου φόνου ἔριδος δόλου κακοηθείας ψιθυριστάς. κατα-
λάλους θεοστυγεῖς ὑβριστάς ὑπερηφάνους ἀλαζόνας ἐφευρετὰς
31 κακῶν γονεῦσιν ἀπειθεῖς. ἀσυνέτους ἀσυνθέτους ἀστόργους
32 ἀσπόνδους, ἀνελεήμονας, οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ ἐπι-
γνόντες ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν οὐ
μόνον αὐτὰ ποιοῦσιν ἀλλὰ καὶ συνευδοκοῦσιν τοῖς πράσσου-
σιν.

2 Διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε πᾶς ὁ κρίνων, ἐν ᾧ γὰρ

---

v.24 διό[c] καί[c] παραδίδωμι[viaa3s] αὐτός[rpamp] ὁ[dnms] θεός[nnms] ἐν[p] ὁ[ddfp] ἐπιθυμία[ndfp] ὁ[dgfp] καρδία[ngfp] αὐτός[rpgmp] εἰς[p] ἀκαθαρσία[nafs] ὁ[dgms] ἀτιμάζω[vnpe] ὁ[danp] σῶμα[nanp] αὐτός[rpgmp] ἐν[p] ἑαυτοῦ[rxdmp]. **v.25** ὅστις[rrnmp] μεταλλάσσω[viaa3p] ὁ[dafs] ἀλήθεια[nafs] ὁ[dgms] θεός[ngms] ἐν[p] ὁ[ddns] ψεῦδος[ndns] καί[c] σεβάζομαι[viad3p] καί[c] λατρεύω[viaa3p] ὁ[ddfs] κτίσις[ndfs] παρά[p] ὁ[dams] κτίζω[vpaaams] ὅς[rrnms] εἰμί[vipx3s] εὐλογητός[anmsn] εἰς[p] ὁ[damp] αἰών[namp] ἀμήν[th]. **v.26** διά[p] οὗτος[rdans] παραδίδωμι[viaa3s] αὐτός[rpamp] ὁ[dnms] θεός[nnms] εἰς[p] πάθος[nanp] ἀτιμία[ngfs] ὁ[dnfp] τέ[xo] γάρ[c] θῆλυς[anfpn] αὐτός[rpgmp] μεταλλάσσω[viaa3p] ὁ[dafs] φυσικός[aafsn] χρῆσις[nafs] εἰς[p] ὁ[dafs] παρά[p] φύσις[nafs]. **v.27** ὁμοίως[bo] τέ[xo] καί[c] ὁ[dnmp] ἄρσην[nnmp] ἀφίημι[vpaanmp] ὁ[dafs] φυσικός[aafsn] χρῆσις[nafs] ὁ[dgfs] θῆλυς[agfsn] ἐκκαίω[viap3p] ἐν[p] ὁ[ddfs] ὄρεξις[ndfs] αὐτός[rpgmp] εἰς[p] ἀλλήλων[reamp] ἄρσην[nnmp] ἐν[p] ἄρσην[ndmp] ὁ[dafs] ἀσχημοσύνη[nafs] κατεργάζομαι[vppnnmp] καί[c] ὁ[dafs] ἀντιμισθία[nafs] ὅς[rrafs] δεῖ[viiq3s] ὁ[dgfs] πλάνη[ngfs] αὐτός[rpgmp] ἐν[p] ἑαυτοῦ[rxdmp] ἀπολαμβάνω[vppanmp]. **v.28** καί[c] καθώς[bo] οὐ[xo] δοκιμάζω[viaa3p] ὁ[dams] θεός[nams] ἔχω[vnpa] ἐν[p] ἐπίγνωσις[ndfs] παραδίδωμι[viaa3s] αὐτός[rpamp] ὁ[dnms] θεός[nnms] εἰς[p] ἀδόκιμος[aamsn] νοῦς[nams] ποιέω[vnpa] ὁ[danp] μή[xo] καθήκω[vppqanp]. **v.29** πληρόω[vpxpamp] πᾶς[adfsn] ἀδικία[ndfs] πορνεία[ndfs] πονηρία[ndfs] πλεονεξία[ndfs] κακία[ndfs] μεστός[aampn] φθόνος[ngms] φόνος[ngms] ἔρις[ngfs] δόλος[ngms] κακοήθεια[ngfs] ψιθυριστής[namp]. **v.30** κατάλαλος[aampn] θεοστυγής[aampn] ὑβριστής[namp] ὑπερήφανος[aampn] ἀλαζών[namp] ἐφευρετής[namp] κακός[agnpn] γονεύς[ndmp] ἀπειθής[aampn]. **v.31** ἀσύνετος[aampn] ἀσύνθετος[aampn] ἄστοργος[aampn] ἄσπονδος[aampn] ἀνελεήμων[aampn]. **v.32** ὅστις[rrnmp] ὁ[dans] δικαίωμα[nans] ὁ[dgms] θεός[ngms] ἐπιγινώσκω[vpaanmp] ὅτι[c] ὁ[dnmp] ὁ[danp] τοιοῦτος[rdanp] πράσσω[vppanmp] ἄξιος[anmpn] θάνατος[ngms] εἰμί[vipx3p] οὐ[xo] μόνος[bo] αὐτός[rpanp] ποιέω[vipa3p] ἀλλά[c] καί[c] συνευδοκέω[vipa3p] ὁ[ddmp] πράσσω[vppadmp].

κρίνεις τὸν ἕτερον σεαυτὸν κατακρίνεις τὰ γὰρ αὐτὰ πράσσεις
ὁ κρίνων. οἴδαμεν δὲ ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστιν κατὰ ἀ- 2
λήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. λογίζῃ δὲ τοῦτο ὦ 3
ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά
ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ. ἢ τοῦ πλούτου τῆς χρηστό- 4
τητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς
ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει. κατὰ δὲ 5
τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σε-
αυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας
τοῦ θεοῦ. ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μὲν 6, 7
καθ ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν
ζητοῦσιν ζωὴν αἰώνιον. τοῖς δὲ ἐξ ἐριθείας καὶ ἀπειθοῦσιν μὲν 8
τῇ ἀληθείᾳ πειθομένοις δὲ τῇ ἀδικίᾳ θυμός καὶ ὀργή θλῖψις 9
καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομέ-
νου τὸ κακόν Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος, δόξα δὲ καὶ 10
τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν Ἰουδαίῳ τε
πρῶτον καὶ Ἕλληνι, οὐ γάρ ἐστιν προσωποληψία παρὰ τῷ θε- 11
ῷ. ὅσοι γὰρ ἀνόμως ἥμαρτον ἀνόμως καὶ ἀπολοῦνται καὶ ὅσοι 12
ἐν νόμῳ ἥμαρτον διὰ νόμου κριθήσονται, οὐ γὰρ οἱ ἀκροα- 13
ταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ ἀλλ οἱ ποιηταὶ τοῦ νόμου
δικαιωθήσονται. ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ 14

2. v.1 διό[c] ἀναπολόγητος[anmsn] εἰμί[vipx2s] ὦ[i] ἄνθρωπος[nvms] πᾶς[anmsn] ὁ[dnms] κρίνω[vppanms] ἐν[p] ὅς[rrdns] γάρ[c] κρίνω[vipa2s] ὁ[dams] ἕτερος[aamsn] σεαυτοῦ[rxams] κατακρίνω[vipa2s] ὁ[danp] γάρ[c] αὐτός[rpanp] πράσσω[vipa2s] ὁ[dnms] κρίνω[vppanms]. **v.2** οἶδα[vixa1p] δέ[c] ὅτι[c] ὁ[dnns] κρίμα[nnns] ὁ[dgms] θεός[ngms] εἰμί[vipx3s] κατά[p] ἀλήθεια[nafs] ἐπί[p] ὁ[damp] ὁ[danp] τοιοῦτος[rdanp] πράσσω[vppaamp]. **v.3** λογίζομαι[vipn2s] δέ[c] οὗτος[rdans] ὦ[i] ἄνθρωπος[nvms] ὁ[dnms] κρίνω[vppanms] ὁ[damp] ὁ[danp] τοιοῦτος[rdanp] πράσσω[vppaamp] καί[c] ποιέω[vppanms] αὐτός[rpanp] ὅτι[c] σύ[rpn-s] ἐκφεύγω[vifd2s] ὁ[dans] κρίμα[nans] ὁ[dgms] θεός[ngms]. **v.4** ἤ[xo] ὁ[dgms] πλοῦτος[ngms] ὁ[dgfs] χρηστότης[ngfs] αὐτός[rpgms] καί[c] ὁ[dgfs] ἀνοχή[ngfs] καί[c] ὁ[dgfs] μακροθυμία[ngfs] καταφρονέω[vipa2s] ἀγνοέω[vppanms] ὅτι[c] ὁ[dnns] χρηστός[annsn] ὁ[dgms] θεός[ngms] εἰς[p] μετάνοια[nafs] σύ[rpa-s] ἄγω[vipa3s]. **v.5** κατά[p] δέ[c] ὁ[dafs] σκληρότης[nafs] σύ[rpg-s] καί[c] ἀμετανόητος[aafsn] καρδία[nafs] θησαυρίζω[vipa2s] σεαυτοῦ[rxdms] ὀργή[nafs] ἐν[p] ἡμέρα[ndfs] ὀργή[ngfs] καί[c] ἀποκάλυψις[ngfs] δικαιοκρισία[ngfs] ὁ[dgms] θεός[ngms]. **v.6** ὅς[rrnms] ἀποδίδωμι[vifa3s] ἕκαστος[admsn] κατά[p] ὁ[danp] ἔργον[nanp] αὐτός[rpgms]. **v.7** ὁ[ddmp] μέν[xo] κατά[p] ὑπομονή[nafs] ἔργον[ngns] ἀγαθός[agnsn] δόξα[nafs] καί[c] τιμή[nafs] καί[c] ἀφθαρσία[nafs] ζητέω[vppadmp] ζωή[nafs] αἰώνιος[aafsn]. **v.8** ὁ[ddmp] δέ[c] ἐκ[p] ἐριθεία[ngfs] καί[c] ἀπειθέω[vppadmp] μέν[xo] ὁ[ddfs] ἀλήθεια[ndfs] πείθω[vppmdmp] δέ[c] ὁ[ddfs] ἀδικία[ndfs] θυμός[nnms] καί[c] ὀργή[nnfs]. **v.9** θλῖψις[nnfs] καί[c] στενοχωρία[nnfs] ἐπί[p] πᾶς[aafsn] ψυχή[nafs] ἄνθρωπος[ngms] ὁ[dgms] κατεργάζομαι[vppngms] ὁ[dans] κακός[aansn] Ἰουδαῖος[agmsn] τέ[xo] πρῶτος[bo] καί[c] Ἕλλην[ngms]. **v.10** δόξα[nnfs] δέ[c] καί[c] τιμή[nnfs] καί[c] εἰρήνη[nnfs] πᾶς[admsn] ὁ[ddms] ἐργάζομαι[vppndms] ὁ[dans] ἀγαθός[aansn] Ἰουδαῖος[admsn] τέ[xo] πρῶτος[bo] καί[c] Ἕλλην[ndms]. **v.11** οὐ[xo] γάρ[c] εἰμί[vipx3s] προσωπολημψία[nnfs] παρά[p] ὁ[ddms] θεός[ndms]. **v.12** ὅσος[rcnmp] γάρ[c] ἀνόμως[bo] ἁμαρτάνω[viaa3p] ἀνόμως[bo] καί[c] ἀπόλλυμι[vifm3p] καί[c] ὅσος[rcnmp] ἐν[p] νόμος[ndms] ἁμαρτάνω[viaa3p] διά[p] νόμος[ngms] κρίνω[vifp3p]. **v.13** οὐ[xo] γάρ[c] ὁ[dnmp] ἀκροατής[nnmp] ὁ[dgms] νόμος[ngms] δίκαιος[anmpn] παρά[p] ὁ[ddms] θεός[ndms] ἀλλά[c] ὁ[dnmp] ποιητής[nnmp] ὁ[dgms] νόμος[ngms] δικαιόω[vifp3p].

τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσιν νόμος,
15 οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδί-
αις αὐτῶν συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ
ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων.
16 ἐν ἡμέρᾳ ὅτε κρίνει ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐ-
17 αγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ. Ἴδε σὺ Ἰουδαῖος ἐπονομάζῃ
18 καὶ ἐπαναπαύῃ τῷ νόμῳ καὶ καυχᾶσαι ἐν θεῷ. καὶ γινώσκεις
τὸ θέλημα καὶ δοκιμάζεις τὰ διαφέροντα κατηχούμενος ἐκ τοῦ
19 νόμου. πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν φῶς τῶν ἐν
20 σκότει. παιδευτὴν ἀφρόνων διδάσκαλον νηπίων ἔχοντα τὴν
21 μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ, ὁ οὖν δι-
δάσκων ἕτερον σεαυτὸν οὐ διδάσκεις ὁ κηρύσσων μὴ κλέπτειν
22 κλέπτεις. ὁ λέγων μὴ μοιχεύειν μοιχεύεις ὁ βδελυσσόμενος τὰ
23 εἴδωλα ἱεροσυλεῖς. ὃς ἐν νόμῳ καυχᾶσαι διὰ τῆς παραβάσεως
24 τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις, τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι᾽ ὑμᾶς
25 βλασφημεῖται ἐν τοῖς ἔθνεσιν καθὼς γέγραπται. περιτομὴ μὲν
γὰρ ὠφελεῖ ἐὰν νόμον πράσσῃς, ἐὰν δὲ παραβάτης νόμου ᾖς ἡ
26 περιτομή σου ἀκροβυστία γέγονεν. ἐὰν οὖν ἡ ἀκροβυστία τὰ
δικαιώματα τοῦ νόμου φυλάσσῃ οὐχί ἡ ἀκροβυστία αὐτοῦ εἰς
27 περιτομὴν λογισθήσεται. καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία
τὸν νόμον τελοῦσα σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παρα-

---

v.14 ὅταν[c] γάρ[c] ἔθνος[nnnp] ὁ[dnnp] μή[xo] νόμος[nams] ἔχω[vppannp] φύσις[ndfs] ὁ[danp] ὁ[dgms] νόμος[ngms] ποιέω[vspa3s] οὗτος[rdnmp] νόμος[nams] μή[xo] ἔχω[vppanmp] ἑαυτοῦ[rxdmp] εἰμί[vipx3p] νόμος[nnms]. **v.15** ὅστις[rrnmp] ἐνδείκνυμι[vipm3p] ὁ[dans] ἔργον[nans] ὁ[dgms] νόμος[ngms] γραπτός[aansn] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] αὐτός[rpgmp] συμμαρτυρέω[vppagfs] αὐτός[rpgmp] ὁ[dgfs] συνείδησις[ngfs] καί[c] μεταξύ[bo] ἀλλήλων[regmp] ὁ[dgmp] λογισμός[ngmp] κατηγορέω[vppagmp] ἤ[xo] καί[c] ἀπολογέομαι[vppngmp]. **v.16** ἐν[p] ἡμέρα[ndfs] ὅτε[bo] κρίνω[vifa3s] ὁ[dnms] θεός[nnms] ὁ[danp] κρυπτός[aanpn] ὁ[dgmp] ἄνθρωπος[ngmp] κατά[p] ὁ[dans] εὐαγγέλιον[nans] ἐγώ[rpg-s] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.17** ἴδε[i] σύ[rpn-s] Ἰουδαῖος[anmsn] ἐπονομάζω[vipp2s] καί[c] ἐπαναπαύομαι[vipn2s] ὁ[ddms] νόμος[ndms] καί[c] καυχάομαι[vipn2s] ἐν[p] θεός[ndms]. **v.18** καί[c] γινώσκω[vipa2s] ὁ[dans] θέλημα[nans] καί[c] δοκιμάζω[vipa2s] ὁ[danp] διαφέρω[vppaanp] κατηχέω[vpppnms] ἐκ[p] ὁ[dgms] νόμος[ngms]. **v.19** πείθω[vixa2s] τέ[xo] σεαυτοῦ[rxams] ὁδηγός[nams] εἰμί[vnpx] τυφλός[agmpn] φῶς[nans] ὁ[dgmp] ἐν[p] σκότος[ndns]. **v.20** παιδευτής[nafs] ἄφρων[agmpn] διδάσκαλος[nams] νήπιος[agmpn] ἔχω[vppaams] ὁ[dafs] μόρφωσις[nafs] ὁ[dgfs] γνῶσις[ngfs] καί[c] ὁ[dgfs] ἀλήθεια[ngfs] ἐν[p] ὁ[ddms] νόμος[ndms]. **v.21** ὁ[dnms] οὖν[c] διδάσκω[vppanms] ἕτερος[aamsn] σεαυτοῦ[rxams] οὐ[xo] διδάσκω[vipa2s] ὁ[dnms] κηρύσσω[vppanms] μή[xo] κλέπτω[vnpa] κλέπτω[vipa2s]. **v.22** ὁ[dnms] λέγω[vppanms] μή[xo] μοιχεύω[vnpa] μοιχεύω[vipa2s] ὁ[dnms] βδελύσσομαι[vppnnms] ὁ[danp] εἴδωλον[nanp] ἱεροσυλέω[vipa2s]. **v.23** ὅς[rrnms] ἐν[p] νόμος[ndms] καυχάομαι[vipn2s] διά[p] ὁ[dgfs] παράβασις[ngfs] ὁ[dgms] νόμος[ngms] ὁ[dams] θεός[nams] ἀτιμάζω[vipa2s]. **v.24** ὁ[dnns] γάρ[c] ὄνομα[nnns] ὁ[dgms] θεός[ngms] διά[p] σύ[rpa-p] βλασφημέω[vipp3s] ἐν[p] ὁ[ddnp] ἔθνος[ndnp] καθώς[bo] γράφω[vixp3s]. **v.25** περιτομή[nnfs] μέν[xo] γάρ[c] ὠφελέω[vipa3s] ἐάν[qo] νόμος[nams] πράσσω[vspa2s] ἐάν[qo] δέ[c] παραβάτης[nnms] νόμος[ngms] εἰμί[vspx2s] ὁ[dnfs] περιτομή[nnfs] σύ[rpg-s] ἀκροβυστία[nnfs] γίνομαι[vixa3s]. **v.26** ἐάν[qo] οὖν[c] ὁ[dnfs] ἀκροβυστία[nnfs] ὁ[danp] δικαίωμα[nanp] ὁ[dgms] νόμος[ngms] φυλάσσω[vspa3s] οὐχί[xo] ὁ[dnfs] ἀκροβυστία[nnfs] αὐτός[rpgms] εἰς[p] περιτομή[nafs] λογίζομαι[vifp3s].

βάτην νόμου. οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν οὐδὲ ἡ ἐν 28
τῷ φανερῷ ἐν σαρκὶ περιτομή. ἀλλ ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος 29
καὶ περιτομὴ καρδίας ἐν πνεύματι οὐ γράμματι οὗ ὁ ἔπαινος
οὐκ ἐξ ἀνθρώπων ἀλλ ἐκ τοῦ θεοῦ.

Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου ἢ τίς ἡ ὠφέλεια τῆς περιτο- **3**
μῆς. πολὺ κατὰ πάντα τρόπον πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθη- 2
σαν τὰ λόγια τοῦ θεοῦ. τί γὰρ εἰ ἠπίστησάν τινες μὴ ἡ ἀπιστία 3
αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει. μὴ γένοιτο, γινέσθω 4
δὲ ὁ θεὸς ἀληθής πᾶς δὲ ἄνθρωπος ψεύστης καθὼς γέγραπται
Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρί-
νεσθαί σε. εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην συνίστησιν 5
τί ἐροῦμεν μὴ ἄδικος ὁ θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν κατὰ ἄν-
θρωπον λέγω. μὴ γένοιτο, ἐπεὶ πῶς κρινεῖ ὁ θεὸς τὸν κόσμον. 6
εἰ γὰρ ἡ ἀλήθεια τοῦ θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν 7
εἰς τὴν δόξαν αὐτοῦ τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι. καὶ 8
μὴ καθὼς βλασφημούμεθα καὶ καθώς φασίν τινες ἡμᾶς λέγειν
ὅτι Ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά ὧν τὸ κρίμα ἔνδικόν
ἐστιν. Τί οὖν προεχόμεθα οὐ πάντως, προῃτιασάμεθα γὰρ Ἰ- 9
ουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ ἁμαρτίαν εἶναι. καθὼς 10
γέγραπται ὅτι Οὐκ ἔστιν δίκαιος οὐδὲ εἷς. οὐκ ἔστιν ὁ συνίων 11

---

v.27 καί[c] κρίνω[vifa3s] ὁ[dnfs] ἐκ[p] φύσις[ngfs] ἀκροβυστία[nnfs] ὁ[dams] νόμος[nams] τελέω[vppanfs] σύ[rpa-s] ὁ[dams] διά[p] γράμμα[ngns] καί[c] περιτομή[ngfs] παραβάτης[nams] νόμος[ngms]. **v.28** οὐ[xo] γάρ[c] ὁ[dnms] ἐν[p] ὁ[ddns] φανερός[adnsn] Ἰουδαῖος[anmsn] εἰμί[vipx3s] οὐδέ[bo] ὁ[dnfs] ἐν[p] ὁ[ddns] φανερός[adnsn] ἐν[p] σάρξ[ndfs] περιτομή[nnfs]. **v.29** ἀλλά[c] ὁ[dnms] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] Ἰουδαῖος[anmsn] καί[c] περιτομή[nnfs] καρδία[ngfs] ἐν[p] πνεῦμα[ndns] οὐ[xo] γράμμα[ndns] ὅς[rrgms] ὁ[dnms] ἔπαινος[nnms] οὐ[xo] ἐκ[p] ἄνθρωπος[ngmp] ἀλλά[c] ἐκ[p] ὁ[dgms] θεός[ngms]. **3. v.1** τίς[rqnns] οὖν[c] ὁ[dnns] περισσός[annsn] ὁ[dgms] Ἰουδαῖος[agmsn] ἤ[xo] τίς[rqnfs] ὁ[dnfs] ὠφέλεια[nnfs] ὁ[dgfs] περιτομή[ngfs]. **v.2** πολύς[annsn] κατά[p] πᾶς[aamsn] τρόπος[nams] πρῶτος[bo] μέν[xo] γάρ[c] ὅτι[c] πιστεύω[viap3p] ὁ[danp] λόγιον[nanp] ὁ[dgms] θεός[ngms]. **v.3** τίς[rqnns] γάρ[c] εἰ[qo] ἀπιστέω[viaa3p] τι-σρινμπ μή[xo] ὁ[dnfs] ἀπιστία[nnfs] αὐτός[rpgmp] ὁ[dafs] πίστις[nafs] ὁ[dgms] θεός[ngms] καταργέω[vifa3s]. **v.4** μή[xo] γίνομαι[voad3s] γίνομαι[vdpn3s] δέ[c] ὁ[dnms] θεός[nnms] ἀληθής[anmsn] πᾶς[anmsn] δέ[c] ἄνθρωπος[nnms] ψεύστης[nnms] καθώς[bo] γράφω[vixp3s] ὅπως[bo] ἄν[xo] δικαιόω[vsap2s] ἐν[p] ὁ[ddmp] λόγος[ndmp] σύ[rpg-s] καί[c] νικάω[vsaa2s] ἐν[p] ὁ[ddms] κρίνω[vnpp] σύ[rpa-s]. **v.5** εἰ[qo] δέ[c] ὁ[dnfs] ἀδικία[nnfs] ἐγώ[rpg-p] θεός[ngms] δικαιοσύνη[nafs] συνίστημι[vipa3s] τίς[rqans] λέγω[vifa1p] μή[xo] ἄδικος[anmsn] ὁ[dnms] θεός[nnms] ὁ[dnms] ἐπιφέρω[vppanms] ὁ[dafs] ὀργή[nafs] κατά[p] ἄνθρωπος[nams] λέγω[vipa1s]. **v.6** μή[xo] γίνομαι[voad3s] ἐπεί[c] πῶς[bo] κρίνω[vifa3s] ὁ[dnms] θεός[nnms] ὁ[dams] κόσμος[nams]. **v.7** εἰ[qo] γάρ[c] ὁ[dnfs] ἀλήθεια[nnfs] ὁ[dgms] θεός[ngms] ἐν[p] ὁ[ddns] ἐμός[rsdns] ψεῦσμα[ndns] περισσεύω[viaa3s] εἰς[p] ὁ[dafs] δόξα[nafs] αὐτός[rpgms] τίς[rqans] ἔτι[bo] κἀγώ[rpn-s] ὡς[bo] ἁμαρτωλός[anmsn] κρίνω[vipp1s]. **v.8** καί[c] μή[xo] καθώς[bo] βλασφημέω[vipp1p] καί[c] καθώς[bo] φημί[vipx3p] τι-σρινμπ ἐγώ[rpa-p] λέγω[vnpa] ὅτι[c] ποιέω[vsaa1p] ὁ[danp] κακός[aanpn] ἵνα[c] ἔρχομαι[vsaa3s] ὁ[dnnp] ἀγαθός[annpn] ὅς[rrgmp] ὁ[dnns] κρίμα[nnns] ἔνδικος[annsn] εἰμί[vipx3s]. **v.9** τίς[rqnns] οὖν[c] προέχω[vipn1p] οὐ[xo] πάντως[bo] προαιτιάομαι[viad1p] γάρ[c] Ἰουδαῖος[aampn] τέ[xo] καί[c] Ἕλλην[namp] πᾶς[aampn] ὑπό[p] ἁμαρτία[nafs] εἰμί[vnpx]. **v.10** καθώς[bo] γράφω[vixp3s] ὅτι[c] οὐ[xo] εἰμί[vipx3s] δίκαιος[anmsn] οὐδέ[bo] εἷς[nnms].

12 οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν. πάντες ἐξέκλιναν ἅμα ἠχρειώ-
13 θησαν, οὐκ ἔστιν ποιῶν χρηστότητα οὐκ ἔστιν ἕως ἑνός. τάφος
ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν
14 ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, ὧν τὸ στόμα ἀρᾶς καὶ πι-
15, 16 κρίας γέμει. ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα. σύντριμμα
17 καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν. καὶ ὁδὸν εἰρήνης οὐκ ἔ-
18 γνωσαν. οὐκ ἔστιν φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.
19 Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει τοῖς ἐν τῷ νόμῳ λαλεῖ ἵνα πᾶν
20 στόμα φραγῇ καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ, δι-
ότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ
21 διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. Νυνὶ δὲ χωρὶς νόμου δι-
καιοσύνη θεοῦ πεφανέρωται μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ
22 τῶν προφητῶν. δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως Ἰησοῦ Χρι-
στοῦ εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας οὐ γάρ ἐστιν
23 διαστολή. πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ
24 θεοῦ. δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυ-
25 τρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ θεὸς ἱλαστήριον
διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι εἰς ἔνδειξιν τῆς δικαιοσύνης
26 αὐτοῦ διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων. ἐν τῇ
ἀνοχῇ τοῦ θεοῦ πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν
καιρῷ εἰς τὸ εἶναι αὐτὸν δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως

---

v.11 οὐ[xo] εἰμί[vipx3s] ὁ[dnms] συνίημι[vppanms] οὐ[xo] εἰμί[vipx3s] ὁ[dnms] ἐκζητέω[vppanms] ὁ[dams] θεός[nams]. **v.12** πᾶς[anmpn] ἐκκλίνω[viaa3p] ἅμα[bo] ἀχρειόω[viap3p] οὐ[xo] εἰμί[vipx3s] ποιέω[vppanms] χρηστότης[nafs] οὐ[xo] εἰμί[vipx3s] ἕως[c] εἷς[ngms]. **v.13** τάφος[nnms] ἀνοίγω[vpxpnms] ὁ[dnms] λάρυγξ[nnms] αὐτός[rpgmp] ὁ[ddfp] γλῶσσα[ndfp] αὐτός[rpgmp] δολιόω[viia3p] ἰός[nnms] ἀσπίς[ngfp] ὑπό[p] ὁ[danp] χεῖλος[nanp] αὐτός[rpgmp]. **v.14** ὅς[rrgmp] ὁ[dnns] στόμα[nnns] ἀρά[ngfs] καί[c] πικρία[ngfs] γέμω[vipa3s]. **v.15** ὀξύς[anmpn] ὁ[dnmp] πούς[nnmp] αὐτός[rpgmp] ἐκχέω[vnaa] αἷμα[nans]. **v.16** σύντριμμα[nnns] καί[c] ταλαιπωρία[nnfs] ἐν[p] ὁ[ddfp] ὁδός[ndfp] αὐτός[rpgmp]. **v.17** καί[c] ὁδός[nafs] εἰρήνη[ngfs] οὐ[xo] γινώσκω[viaa3p]. **v.18** οὐ[xo] εἰμί[vipx3s] φόβος[nnms] θεός[ngms] ἀπέναντι[bo] ὁ[dgmp] ὀφθαλμός[ngmp] αὐτός[rpgmp]. **v.19** οἶδα[vixa1p] δέ[c] ὅτι[c] ὅσος[rcanp] ὁ[dnms] νόμος[nnms] λέγω[vipa3s] ὁ[ddmp] ἐν[p] ὁ[ddms] νόμος[ndms] λαλέω[vipa3s] ἵνα[c] πᾶς[annsn] στόμα[nnns] φράσσω[vsap3s] καί[c] ὑπόδικος[anmsn] γίνομαι[vsad3s] πᾶς[anmsn] ὁ[dnms] κόσμος[nnms] ὁ[ddms] θεός[ndms]. **v.20** διότι[c] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] οὐ[xo] δικαιόω[vifp3s] πᾶς[anfsn] σάρξ[nnfs] ἐνώπιον[bo] αὐτός[rpgms] διά[p] γάρ[c] νόμος[ngms] ἐπίγνωσις[nnfs] ἁμαρτία[ngfs]. **v.21** νυνί[bo] δέ[c] χωρίς[bo] νόμος[ngms] δικαιοσύνη[nnfs] θεός[ngms] φανερόω[vixp3s] μαρτυρέω[vpppnfs] ὑπό[p] ὁ[dgms] νόμος[ngms] καί[c] ὁ[dgmp] προφήτης[ngmp]. **v.22** δικαιοσύνη[nnfs] δέ[c] θεός[ngms] διά[p] πίστις[ngfs] Ἰησοῦς[ngms] Χριστός[ngms] εἰς[p] πᾶς[aampn] καί[c] ἐπί[p] πᾶς[aampn] ὁ[damp] πιστεύω[vppaamp] οὐ[xo] γάρ[c] εἰμί[vipx3s] διαστολή[nnfs]. **v.23** πᾶς[anmpn] γάρ[c] ἁμαρτάνω[viaa3p] καί[c] ὑστερέω[vipp3p] ὁ[dgfs] δόξα[ngfs] ὁ[dgms] θεός[ngms]. **v.24** δικαιόω[vpppnmp] δωρεάν[bo] ὁ[ddfs] αὐτός[rpgms] χάρις[ndfs] διά[p] ὁ[dgfs] ἀπολύτρωσις[ngfs] ὁ[dgfs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.25** ὅς[rrams] προτίθημι[viam3s] ὁ[dnms] θεός[nnms] ἱλαστήριος[nans] διά[p] ὁ[dgfs] πίστις[ngfs] ἐν[p] ὁ[ddns] αὐτός[rpgms] αἷμα[ndns] εἰς[p] ἔνδειξις[nafs] ὁ[dgfs] δικαιοσύνη[ngfs] αὐτός[rpgms] διά[p] ὁ[dafs] πάρεσις[nafs] ὁ[dgnp] προγίνομαι[vpxagnp] ἁμάρτημα[ngnp].

Ἰησοῦ. Ποῦ οὖν ἡ καύχησις ἐξεκλείσθη διὰ ποίου νόμου τῶν 27
ἔργων οὐχί ἀλλὰ διὰ νόμου πίστεως. λογιζόμεθα οὖν πίστει 28
δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου. ἢ Ἰουδαίων ὁ θε- 29
ὸς μόνον οὐχὶ δὲ καὶ ἐθνῶν ναὶ καὶ ἐθνῶν. ἐπείπερ εἷς ὁ θεός 30
ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ τῆς
πίστεως. νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως μὴ γένοιτο, 31
ἀλλὰ νόμον ἱστῶμεν.

Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ **4**
σάρκα. εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη ἔχει καύχημα ἀλλ 2
οὐ πρὸς τὸν θεόν. τί γὰρ ἡ γραφὴ λέγει Ἐπίστευσεν δὲ Ἀβραὰμ 3
τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. τῷ δὲ ἐργαζομέ- 4
νῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν ἀλλὰ κατὰ τό ὀφείλημα.
τῷ δὲ μὴ ἐργαζομένῳ πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀ- 5
σεβῆ λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην, καθάπερ καὶ 6
Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου ᾧ ὁ θεὸς λογίζεται
δικαιοσύνην χωρὶς ἔργων. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνο- 7
μίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι, μακάριος ἀνὴρ ᾧ 8
οὗ μὴ λογίσηται κύριος ἁμαρτίαν. ὁ μακαρισμὸς οὖν οὗτος 9
ἐπὶ τὴν περιτομὴν ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν λέγομεν γάρ ὅτι
Ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην. πῶς οὖν ἐλο- 10
γίσθη ἐν περιτομῇ ὄντι ἢ ἐν ἀκροβυστίᾳ οὐκ ἐν περιτομῇ ἀλλ ἐν

---

v.26 ἐν[p] ὁ[ddfs] ἀνοχή[ndfs] ὁ[dgms] θεός[ngms] πρός[p] ἔνδειξις[nafs] ὁ[dgfs] δικαιοσύνη[ngfs] αὐτός[rpgms] ἐν[p] ὁ[ddms] νῦν[bo] καιρός[ndms] εἰς[p] ὁ[dans] εἰμί[vnpx] αὐτός[rpams] δίκαιος[aamsn] καί[c] δικαιόω[vppaams] ὁ[dams] ἐκ[p] πίστις[ngfs] Ἰησοῦς[ngms]. **v.27** ποῦ[xo] οὖν[c] ὁ[dnfs] καύχησις[nnfs] ἐκκλείω[viap3s] διά[p] ποῖος[rqgms] νόμος[ngms] ὁ[dgnp] ἔργον[ngnp] οὐχί[xo] ἀλλά[c] διά[p] νόμος[ngms] πίστις[ngfs]. **v.28** λογίζομαι[vipn1p] οὖν[c] πίστις[ndfs] δικαιόω[vnpp] ἄνθρωπος[nams] χωρίς[bo] ἔργον[ngnp] νόμος[ngms]. **v.29** ἤ[xo] Ἰουδαῖος[agmpn] ὁ[dnms] θεός[nnms] μόνος[bo] οὐχί[xo] δέ[c] καί[c] ἔθνος[ngnp] ναί[xo] καί[c] ἔθνος[ngnp]. **v.30** ἐπείπερ[c] εἷς[nnms] ὁ[dnms] θεός[nnms] ὅς[rrnms] δικαιόω[vifa3s] περιτομή[nafs] ἐκ[p] πίστις[ngfs] καί[c] ἀκροβυστία[nafs] διά[p] ὁ[dgfs] πίστις[ngfs]. **v.31** νόμος[nams] οὖν[c] καταργέω[vipa1p] διά[p] ὁ[dgfs] πίστις[ngfs] μή[xo] γίνομαι[voad3s] ἀλλά[c] νόμος[nams] ἵστημι[vipa1p]. **4. v.1** τίς[rqans] οὖν[c] λέγω[vifa1p] Ἀβραάμ[tp] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-p] εὑρίσκω[vnxa] κατά[p] σάρξ[nafs]. **v.2** εἰ[qo] γάρ[c] Ἀβραάμ[tp] ἐκ[p] ἔργον[ngnp] δικαιόω[viap3s] ἔχω[vipa3s] καύχημα[nans] ἀλλά[c] οὐ[xo] πρός[p] ὁ[dams] θεός[nams]. **v.3** τίς[rqans] γάρ[c] ὁ[dnfs] γραφή[nnfs] λέγω[vipa3s] πιστεύω[viaa3s] δέ[c] Ἀβραάμ[tp] ὁ[ddms] θεός[ndms] καί[c] λογίζομαι[viap3s] αὐτός[rpdms] εἰς[p] δικαιοσύνη[nafs]. **v.4** ὁ[ddms] δέ[c] ἐργάζομαι[vppndms] ὁ[dnms] μισθός[nnms] οὐ[xo] λογίζομαι[vipn3s] κατά[p] χάρις[nafs] ἀλλά[c] κατά[p] ὁ[dans] ὀφείλημα[nans]. **v.5** ὁ[ddms] δέ[c] μή[xo] ἐργάζομαι[vppndms] πιστεύω[vppadms] δέ[c] ἐπί[p] ὁ[dams] δικαιόω[vppaams] ὁ[dams] ἀσεβής[aamsn] λογίζομαι[vipn3s] ὁ[dnfs] πίστις[nnfs] αὐτός[rpgms] εἰς[p] δικαιοσύνη[nafs]. **v.6** καθάπερ[bo] καί[c] Δαυίδ[tp] λέγω[vipa3s] ὁ[dams] μακαρισμός[nams] ὁ[dgms] ἄνθρωπος[ngms] ὅς[rrdms] ὁ[dnms] θεός[nnms] λογίζομαι[vipn3s] δικαιοσύνη[nafs] χωρίς[bo] ἔργον[ngnp]. **v.7** μακάριος[anmpn] ὅς[rrgmp] ἀφίημι[viap3p] ὁ[dnfp] ἀνομία[nnfp] καί[c] ὅς[rrgmp] ἐπικαλύπτω[viap3p] ὁ[dnfp] ἁμαρτία[nnfp]. **v.8** μακάριος[anmsn] ἀνήρ[nnms] ὅς[rrdms] ὅς[xo] μή[xo] λογίζομαι[vsad3s] κύριος[nnms] ἁμαρτία[nafs]. **v.9** ὁ[dnms] μακαρισμός[nnms] οὖν[c] οὗτος[rdnms] ἐπί[p] ὁ[dafs] περιτομή[nafs] ἤ[xo] καί[c] ἐπί[p] ὁ[dafs] ἀκροβυστία[nafs] λέγω[vipa1p] γάρ[c] ὅτι[c] λογίζομαι[viap3s] ὁ[ddms] Ἀβραάμ[tp] ὁ[dnfs] πίστις[nnfs] εἰς[p] δικαιοσύνη[nafs].

11 ἀκροβυστίᾳ, καὶ σημεῖον ἔλαβεν περιτομῆς σφραγῖδα τῆς δι-
καιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ εἰς τὸ εἶναι αὐτὸν
πατέρα πάντων τῶν πιστευόντων δι᾽ ἀκροβυστίας εἰς τὸ λογισθῆ-
12 ναι καὶ αὐτοῖς τὴν δικαιοσύνην. καὶ πατέρα περιτομῆς τοῖς
οὐκ ἐκ περιτομῆς μόνον ἀλλὰ καὶ τοῖς στοιχοῦσιν τοῖς ἴχνεσιν
13 τῆς ἐν τῇ ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς ἡμῶν Ἀβραάμ. Οὐ
γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ ἢ τῷ σπέρματι αὐτοῦ τὸ
κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου ἀλλὰ διὰ δικαιοσύνης πί-
14 στεως. εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι κεκένωται ἡ πίστις καὶ
15 κατήργηται ἡ ἐπαγγελία, ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται, οὗ
16 γὰρ οὐκ ἔστιν νόμος οὐδὲ παράβασις. διὰ τοῦτο ἐκ πίστεως
ἵνα κατὰ χάριν εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ
σπέρματι οὐ τῷ ἐκ τοῦ νόμου μόνον ἀλλὰ καὶ τῷ ἐκ πίστεως
17 Ἀβραάμ ὅς ἐστιν πατὴρ πάντων ἡμῶν. καθὼς γέγραπται ὅτι
Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε κατέναντι οὗ ἐπίστευσεν θε-
οῦ τοῦ ζῳοποιοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα
18 ὡς ὄντα, ὃς παρ ἐλπίδα ἐπ ἐλπίδι ἐπίστευσεν εἰς τὸ γενέσθαι
αὐτὸν πατέρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον, Οὕτως ἔσται τὸ
19 σπέρμα σου. καὶ μὴ ἀσθενήσας τῇ πίστει οὐ κατενόησεν τὸ ἑ-
αυτοῦ σῶμα ἤδη νενεκρωμένον ἑκατονταέτης που ὑπάρχων καὶ
20 τὴν νέκρωσιν τῆς μήτρας Σάρρας, εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ

---

δέξασθέ με ἵνα μικρόν τι κἀγὼ καυχήσωμαι. ὃ λαλῶ οὐ λα- 17
λῶ κατὰ κύριον ἀλλ ὡς ἐν ἀφροσύνῃ ἐν ταύτῃ τῇ ὑποστάσει
τῆς καυχήσεως. ἐπεὶ πολλοὶ καυχῶνται κατὰ τήν σάρκα κἀ- 18
γὼ καυχήσομαι. ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων φρόνιμοι 19
ὄντες, ἀνέχεσθε γὰρ εἴ τις ὑμᾶς καταδουλοῖ εἴ τις κατεσθίει 20
εἴ τις λαμβάνει εἴ τις ἐπαίρεται εἴ τις ὑμᾶς εἰς πρόσωπον δέ-
ρει. κατὰ ἀτιμίαν λέγω ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν ἐν ᾧ δ ἄν 21
τις τολμᾷ ἐν ἀφροσύνῃ λέγω τολμῶ κἀγώ. Ἑβραῖοί εἰσιν κἀγώ 22
Ἰσραηλῖταί εἰσιν κἀγώ σπέρμα Ἀβραάμ εἰσιν κἀγώ. διάκονοι 23
Χριστοῦ εἰσιν παραφρονῶν λαλῶ ὑπὲρ ἐγώ, ἐν κόποις περισ-
σοτέρως ἐν πληγαῖς ὑπερβαλλόντως ἐν φυλακαῖς περισσοτέρως

---

v.10 εἰμί[vipx3s] ἀλήθεια[nnfs] Χριστός[ngms] ἐν[p] ἐγώ[rpd-s] ὅτι[c] ὁ[dnfs] καύχησις[nnfs] οὗτος[rdnfs] οὐ[xo] σφραγίζω[vifd3s] εἰς[p] ἐγώ[rpa-s] ἐν[p] ὁ[ddnp] κλίμα[ndnp] ὁ[dgfs] Ἀχαΐα[ngfs]. **v.11** διά&τίς[xo] ὅτι[c] οὐ[xo] ἀγαπάω[vipa1s] σύ[rpa-p] ὁ[dnms] θεός[nnms] οἶδα[vixa3s]. **v.12** ὅς[rrans] δέ[c] ποιέω[vipa1s] καί[c] ποιέω[vifa1s] ἵνα[c] ἐκκόπτω[vsaa1s] ὁ[dafs] ἀφορμή[nafs] ὁ[dgmp] θέλω[vppagmp] ἀφορμή[nafs] ἵνα[c] ἐν[p] ὅς[rrdns] καυχάομαι[vipn3p] εὑρίσκω[vsap3p] καθώς[bo] καί[c] ἐγώ[rpn-p]. **v.13** ὁ[dnmp] γάρ[c] τοιοῦτος[rdnmp] ψευδαπόστολος[nnmp] ἐργάτης[nnmp] δόλιος[anmpn] μετασχηματίζω[vppmnmp] εἰς[p] ἀπόστολος[namp] Χριστός[ngms]. **v.14** καί[c] οὐ[xo] θαυμαστός[annsn] αὐτός[rpnms] γάρ[c] ὁ[dnms] Σατανᾶς[nnms] μετασχηματίζω[vipm3s] εἰς[p] ἄγγελος[nams] φῶς[ngns]. **v.15** οὐ[xo] μέγας[annsn] οὖν[c] εἰ[qo] καί[c] ὁ[dnmp] διάκονος[nnmp] αὐτός[rpgms] μετασχηματίζω[vipp3p] ὡς[bo] διάκονος[nnmp] δικαιοσύνη[ngfs] ὅς[rrgmp] ὁ[dnns] τέλος[nnns] εἰμί[vifx3s] κατά[p] ὁ[danp] ἔργον[nanp] αὐτός[rpgmp]. **v.16** πάλιν[bo] λέγω[vipa1s] μή[xo] τίς[rinms] ἐγώ[rpa-s] δοκέω[vsaa3s] ἄφρων[aamsn] εἰμί[vnpx] εἰ[qo] δέ[c] μή[xo] κἄν[qo] ὡς[bo] ἄφρων[aamsn] δέχομαι[vdad2p] ἐγώ[rpa-s] ἵνα[c] μικρός[aansn] τι-σριανσ κἀγώ[rpn-s] καυχάομαι[vsad1s]. **v.17** ὅς[rrans] λαλέω[vipa1s] οὐ[xo] λαλέω[vipa1s] κατά[p] κύριος[nams] ἀλλά[c] ὡς[bo] ἐν[p] ἀφροσύνη[ndfs] ἐν[p] οὗτος[rddfs] ὁ[ddfs] ὑπόστασις[ndfs] ὁ[dgfs] καύχησις[ngfs]. **v.18** ἐπεί[c] πολύς[anmpn] καυχάομαι[vipn3p] κατά[p] ὁ[dafs] σάρξ[nafs] κἀγώ[rpn-s] καυχάομαι[vifd1s]. **v.19** ἡδέως[bo] γάρ[c] ἀνέχω[vipn2p] ὁ[dgmp] ἄφρων[agmpn] φρόνιμος[anmpn] εἰμί[vppxnmp]. **v.20** ἀνέχω[vipn2p] γάρ[c] εἰ[qo] τι-σρινμσ σύ[rpa-p] καταδουλόω[vipa3s] εἰ[qo] τι-σρινμσ κατεσθίω[vipa3s] εἰ[qo] τι-σρινμσ λαμβάνω[vipa3s] εἰ[qo] τι-σρινμσ ἐπαίρω[vipm3s] εἰ[qo] τι--σρινμσ σύ[rpa-p] εἰς[p] πρόσωπον[nans] δέρω[vipa3s]. **v.21** κατά[p] ἀτιμία[nafs] λέγω[vipa1s] ὡς[bo] ὅτι[c] ἐγώ[rpn-p] ἀσθενέω[viaa1p] ἐν[p] ὅς[rrdns] δέ[c] ἄν[xo] τι-σρινμσ τολμάω[vspa3s] ἐν[p] ἀφροσύνη[ndfs] λέγω[vipa1s] τολμάω[vipa1s] κἀγώ[rpn-s]. **v.22** Ἑβραῖος[anmpn] εἰμί[vipx3p] κἀγώ[rpn-s] Ἰσραηλίτης[nnmp] εἰμί[vipx3p] κἀγώ[rpn-s] σπέρμα[nnns] Ἀβραάμ[tp] εἰμί[vipx3p] κἀγώ[rpn-s].

24 ἐν θανάτοις πολλάκις. ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα
25 παρὰ μίαν ἔλαβον. τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην τρὶς
26 ἐναυάγησα νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα, ὁδοιπορίαις
πολλάκις κινδύνοις ποταμῶν κινδύνοις λῃστῶν κινδύνοις ἐκ
γένους κινδύνοις ἐξ ἐθνῶν κινδύνοις ἐν πόλει κινδύνοις ἐν ἐ-
27 ρημίᾳ κινδύνοις ἐν θαλάσσῃ κινδύνοις ἐν ψευδαδέλφοις. ἐν
κόπῳ καὶ μόχθῳ ἐν ἀγρυπνίαις πολλάκις ἐν λιμῷ καὶ δίψει ἐν
28 νηστείαις πολλάκις ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρε-
κτὸς ἡ ἐπισύστασις μου ἡ καθ ἡμέραν ἡ μέριμνα πασῶν τῶν
29 ἐκκλησιῶν. τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ τίς σκανδαλίζεται καὶ
30 οὐκ ἐγὼ πυροῦμαι. Εἰ καυχᾶσθαι δεῖ τὰ τῆς ἀσθενείας μου
31 καυχήσομαι. ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ οἶδεν ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας ὅτι οὐ ψεύδομαι.
32 ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δα-
33 μασκηνῶν πόλιν πιάσαι με θέλων, καὶ διὰ θυρίδος ἐν σαργάνῃ
ἐχαλάσθην διὰ τοῦ τείχους καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ.
12 Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι, ἐλεύσομαι γὰρ εἰς ὀπτα-
2 σίας καὶ ἀποκαλύψεις κυρίου. οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ
ἐτῶν δεκατεσσάρων εἴτε ἐν σώματι οὐκ οἶδα εἴτε ἐκτὸς τοῦ σώ-
ματος οὐκ οἶδα ὁ θεὸς οἶδεν ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου
3 οὐρανοῦ. καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον εἴτε ἐν σώματι εἴτε

---

v.23 διάκονος[nnmp] Χριστός[ngms] εἰμί[vipx3p] παραφρονέω[vppanms] λαλέω[vipa1s] ὑπέρ[p] ἐγώ[rpn-s] ἐν[p] κόπος[ndmp] περισσοτέρως[bo] ἐν[p] πληγή[ndfp] ὑπερβαλλόντως[bo] ἐν[p] φυλακή[ndfp] περισσοτέρως[bo] ἐν[p] θάνατος[ndmp] πολλάκις[bo]. **v.24** ὑπό[p] Ἰουδαῖος[agmpn] πεντάκις[bo] τεσσεράκοντα[tn] παρά[p] εἷς[nafs] λαμβάνω[viaa1s]. **v.25** τρίς[bo] ῥαβδίζω[viap1s] ἅπαξ[bo] λιθάζω[viap1s] τρίς[bo] ναυαγέω[viaa1s] νυχθήμερον[nans] ἐν[p] ὁ[ddms] βυθός[ndms] ποιέω[vixa1s]. **v.26** ὁδοιπορία[ndfp] πολλάκις[bo] κίνδυνος[ndmp] ποταμός[ngmp] κίνδυνος[ndmp] λῃστής[ngmp] κίνδυνος[ndmp] ἐκ[p] γένος[ngns] κίνδυνος[ndmp] ἐκ[p] ἔθνος[ngnp] κίνδυνος[ndmp] ἐν[p] πόλις[ndfs] κίνδυνος[ndmp] ἐν[p] ἐρημία[ndfs] κίνδυνος[ndmp] ἐν[p] θάλασσα[ndfs] κίνδυνος[ndmp] ἐν[p] ψευδάδελφος[ndmp]. **v.27** ἐν[p] κόπος[ndms] καί[c] μόχθος[ndms] ἐν[p] ἀγρυπνία[ndfp] πολλάκις[bo] ἐν[p] λιμός[ndms] καί[c] δίψος[ndns] ἐν[p] νηστεία[ndfp] πολλάκις[bo] ἐν[p] ψῦχος[ndns] καί[c] γυμνότης[ndfs]. **v.28** χωρίς[bo] ὁ[dgnp] παρεκτός[bo] ὁ[dnfs] ἐπισύστασις[nnfs] ἐγώ[rpg-s] ὁ[dnfs] κατά[p] ἡμέρα[nafs] ὁ[dnfs] μέριμνα[nnfs] πᾶς[agfpn] ὁ[dgfp] ἐκκλησία[ngfp]. **v.29** τίς[rqnms] ἀσθενέω[vipa3s] καί[c] οὐ[xo] ἀσθενέω[vipa1s] τίς[rqnms] σκανδαλίζω[vipp3s] καί[c] οὐ[xo] ἐγώ[rpn-s] πυρόω[vipp1s]. **v.30** εἰ[qo] καυχάομαι[vnpn] δεῖ[vipq3s] ὁ[danp] ὁ[dgfs] ἀσθένεια[ngfs] ἐγώ[rpg-s] καυχάομαι[vifd1s]. **v.31** ὁ[dnms] θεός[nnms] καί[c] πατήρ[nnms] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] οἶδα[vixa3s] ὁ[dnms] εἰμί[vppxnms] εὐλογητός[anmsn] εἰς[p] ὁ[damp] αἰών[namp] ὅτι[c] οὐ[xo] ψεύδομαι[vipn1s]. **v.32** ἐν[p] Δαμασκός[ndfs] ὁ[dnms] ἐθνάρχης[nnms] Ἀρέτας[ngms] ὁ[dgms] βασιλεύς[ngms] φρουρέω[viia3s] ὁ[dafs] Δαμασκηνός[agmpn] πόλις[nafs] πιάζω[vnaa] ἐγώ[rpa-s] θέλω[vppanms]. **v.33** καί[c] διά[p] θυρίς[ngfs] ἐν[p] σαργάνη[ndfs] χαλάω[viap1s] διά[p] ὁ[dgns] τεῖχος[ngns] καί[c] ἐκφεύγω[viaa1s] ὁ[dafp] χείρ[nafp] αὐτός[rpgms]. **12. v.1** καυχάομαι[vnpn] δή[xo] οὐ[xo] συμφέρω[vipa3s] ἐγώ[rpd-s] ἔρχομαι[vifd1s] γάρ[c] εἰς[p] ὀπτασία[nafp] καί[c] ἀποκάλυψις[nafp] κύριος[ngms]. **v.2** οἶδα[vixa1s] ἄνθρωπος[nams] ἐν[p] Χριστός[ndms] πρό[p] ἔτος[ngnp] δεκατέσσαρες[ngnp] εἴτε[c] ἐν[p] σῶμα[ndns] οὐ[xo] οἶδα[vixa1s] εἴτε[c] ἐκτός[bo] ὁ[dgns] σῶμα[ngns] οὐ[xo] οἶδα[vixa1s] ὁ[dnms] θεός[nnms] οἶδα[vixa3s] ἁρπάζω[vpapams] ὁ[dams] τοιοῦτος[rdams] ἕως[c] τρίτος[agmsn] οὐρανός[ngms].

ἐκτὸς τοῦ σώματος οὐκ οἶδα ὁ θεὸς οἶδεν. ὅτι ἡρπάγη εἰς τὸν 4
παράδεισον καὶ ἤκουσεν ἄρρητα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ
λαλῆσαι. ὑπὲρ τοῦ τοιούτου καυχήσομαι ὑπὲρ δὲ ἐμαυτοῦ οὐ 5
καυχήσομαι εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου. ἐὰν γὰρ θελήσω 6
καυχήσασθαι οὐκ ἔσομαι ἄφρων ἀλήθειαν γὰρ ἐρῶ, φείδομαι
δέ μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με ἢ ἀκούει τι ἐξ ἐμοῦ.
καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι ἐδόθη 7
μοι σκόλοψ τῇ σαρκί ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ ἵνα μὴ
ὑπεραίρωμαι. ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα ἵνα 8
ἀποστῇ ἀπ ἐμοῦ. καὶ εἴρηκέν μοι, Ἀρκεῖ σοι ἡ χάρις μου ἡ 9
γὰρ δύναμις μου ἐν ἀσθενείᾳ τελειοῦται. ἥδιστα οὖν μᾶλλον
καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ ἐμὲ ἡ
δύναμις τοῦ Χριστοῦ. διὸ εὐδοκῶ ἐν ἀσθενείαις ἐν ὕβρεσιν ἐν 10
ἀνάγκαις ἐν διωγμοῖς ἐν στενοχωρίαις ὑπὲρ Χριστοῦ, ὅταν γὰρ
ἀσθενῶ τότε δυνατός εἰμι. Γέγονα ἄφρων καυχώμενος, ὑμεῖς 11
με ἠναγκάσατε ἐγὼ γὰρ ὤφειλον ὑφ ὑμῶν συνίστασθαι, οὐδὲν
γὰρ ὑστέρησα τῶν ὑπερ λίαν ἀποστόλων εἰ καὶ οὐδέν εἰμι. τὰ 12
μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπο-
μονῇ ἐν σημείοις καὶ τέρασιν καὶ δυνάμεσιν. τί γάρ ἐστιν ὃ 13
ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ

---

v.3 καί^{c} οἶδα^{vixa1s} ὁ^{dams} τοιοῦτος^{rdams} ἄνθρωπος^{nams} εἴτε^{c} ἐν^{p} σῶμα^{ndns} εἴτε^{c} ἔκτος^{bo} ὁ^{dgns} σῶμα^{ngns} οὐ^{xo} οἶδα^{vixa1s} ὁ^{dnms} θεός^{nnms} οἶδα^{vixa3s}. **v.4** ὅτι^{c} ἁρπάζω^{viap3s} εἰς^{p} ὁ^{dams} παράδεισος^{nams} καί^{c} ἀκούω^{viaa3s} ἄρρητος^{aanpn} ῥῆμα^{nanp} ὅς^{rranp} οὐ^{xo} ἔξεστι^{vppqnns} ἄνθρωπος^{ndms} λαλέω^{vnaa}. **v.5** ὑπέρ^{p} ὁ^{dgms} τοιοῦτος^{rdgms} καυχάομαι^{vifd1s} ὑπέρ^{p} δέ^{c} ἐμαυτοῦ^{rxgms} οὐ^{xo} καυχάομαι^{vifd1s} εἰ^{qo} μή^{xo} ἐν^{p} ὁ^{ddfp} ἀσθένεια^{ndfp} ἐγώ$^{rpg-s}$. **v.6** ἐάν^{qo} γάρ^{c} θέλω^{vsaa1s} καυχάομαι^{vnad} οὐ^{xo} εἰμί^{vifx1s} ἄφρων^{anmsn} ἀλήθεια^{nafs} γάρ^{c} λέγω^{vifa1s} φείδομαι^{vipn1s} δέ^{c} μή^{xo} τι-σρινμσ εἰς^{p} ἐγώ$^{rpa-s}$ λογίζομαι^{vsad3s} ὑπέρ^{p} ὅς^{rrans} βλέπω^{vipa3s} ἐγώ$^{rpa-s}$ ἤ^{xo} ἀκούω^{vipa3s} τι-σριανσ ἐκ^{p} ἐγώ$^{rpg-s}$. **v.7** καί^{c} ὁ^{ddfs} ὑπερβολή^{ndfs} ὁ^{dgfp} ἀποκάλυψις^{ngfp} ἵνα^{c} μή^{xo} ὑπεραίρω^{vspp1s} δίδωμι^{viap3s} ἐγώ$^{rpd-s}$ σκόλοψ^{nnms} ὁ^{ddfs} σάρξ^{ndfs} ἄγγελος^{nnms} Σατανᾶς^{tp} ἵνα^{c} ἐγώ$^{rpa-s}$ κολαφίζω^{vspa3s} ἵνα^{c} μή^{xo} ὑπεραίρω^{vspp1s}. **v.8** ὑπέρ^{p} οὗτος^{rdgms} τρίς^{bo} ὁ^{dams} κύριος^{nams} παρακαλέω^{viaa1s} ἵνα^{c} ἀφίστημι^{vsaa3s} ἀπό^{p} ἐγώ$^{rpg-s}$. **v.9** καί^{c} λέγω^{vixa3s} ἐγώ$^{rpd-s}$ ἀρκέω^{vipa3s} σύ$^{rpd-s}$ ὁ^{dnfs} χάρις^{nnfs} ἐγώ$^{rpg-s}$ ὁ^{dnfs} γάρ^{c} δύναμις^{nnfs} ἐγώ$^{rpg-s}$ ἐν^{p} ἀσθένεια^{ndfs} τελειόω^{vipp3s} ἡδέως^{bo} οὖν^{c} μᾶλλον^{bo} καυχάομαι^{vifd1s} ἐν^{p} ὁ^{ddfp} ἀσθένεια^{ndfp} ἐγώ$^{rpg-s}$ ἵνα^{c} ἐπισκηνόω^{vsaa3s} ἐπί^{p} ἐγώ$^{rpa-s}$ ὁ^{dnfs} δύναμις^{nnfs} ὁ^{dgms} Χριστός^{ngms}. **v.10** διό^{c} εὐδοκέω^{vipa1s} ἐν^{p} ἀσθένεια^{ndfp} ἐν^{p} ὕβρις^{ndfp} ἐν^{p} ἀνάγκη^{ndfp} ἐν^{p} διωγμός^{ndmp} ἐν^{p} στενοχωρία^{ndfp} ὑπέρ^{p} Χριστός^{ngms} ὅταν^{c} γάρ^{c} ἀσθενέω^{vspa1s} τότε^{bo} δυνατός^{anmsn} εἰμί^{vipx1s}. **v.11** γίνομαι^{vixa1s} ἄφρων^{anmsn} καυχάομαι^{vppnnms} σύ$^{rpn-p}$ ἐγώ$^{rpa-s}$ ἀναγκάζω^{viaa2p} ἐγώ$^{rpn-s}$ γάρ^{c} ὀφείλω^{viia1s} ὑπό^{p} σύ$^{rpg-p}$ συνίστημι^{vnpp} οὐδείς^{aansn} γάρ^{c} ὑστερέω^{viaa1s} ὁ^{dgmp} ὑπέρ^{p} λίαν^{bo} ἀπόστολος^{ngmp} εἰ^{qo} καί^{c} οὐδείς^{annsn} εἰμί^{vipx1s}. **v.12** ὁ^{dnnp} μέν^{xo} σημεῖον^{nnnp} ὁ^{dgms} ἀπόστολος^{ngms} κατεργάζομαι^{viap3s} ἐν^{p} σύ$^{rpd-p}$ ἐν^{p} πᾶς^{adfsn} ὑπομονή^{ndfs} ἐν^{p} σημεῖον^{ndnp} καί^{c} τέρας^{ndnp} καί^{c} δύναμις^{ndfp}.

14 κατενάρκησα ὑμῶν χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. Ἰδοὺ
τρίτον ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς καὶ οὐ καταναρκήσω, ὑ-
μῶν οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλ᾽λ ὑμᾶς οὐ γὰρ ὀφείλει τὰ τέκνα
15 τοῖς γονεῦσιν θησαυρίζειν ἀλλ΄ οἱ γονεῖς τοῖς τέκνοις. ἐγὼ δὲ
ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑ-
16 μῶν εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν ἧττον ἀγαπῶμαι. ἔστω
δέ ἐγὼ οὐ κατεβάρησα ὑμᾶς, ἀλ᾽λ ὑπάρχων πανοῦργος δόλῳ
17 ὑμᾶς ἔλαβον. μή τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς δι΄ αὐτοῦ ἐ-
18 πλεονέκτησα ὑμᾶς. παρεκάλεσα Τίτον καὶ συναπέστειλα τὸν
ἀδελφόν, μή τι ἐπλεονέκτησεν ὑμᾶς Τίτος οὐ τῷ αὐτῷ πνεύματι
19 περιεπατήσαμεν οὐ τοῖς αὐτοῖς ἴχνεσιν. Πάλιν δοκεῖτε ὅτι ὑ-
μῖν ἀπολογούμεθα κατένωπιον τοῦ θεοῦ ἐν Χριστῷ λαλοῦμεν,
20 τὰ δὲ πάντα ἀγαπητοί ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς. φοβοῦμαι
γὰρ μήπως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς κἀγὼ εὑρεθῶ
ὑμῖν οἷον οὐ θέλετε, μήπως ἔρεις ζῆλοι, θυμοί ἐριθείαι κατα-
21 λαλιαί ψιθυρισμοί φυσιώσεις ἀκαταστασίαι, μὴ πάλιν ἐλθόντα
με ταπεινώσῃ ὁ θεός μου πρὸς ὑμᾶς καὶ πενθήσω πολλοὺς τῶν
προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ
πορνείᾳ καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν.
13 Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς, ἐπὶ στόματος δύο μαρτύ-
2 ρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα. προείρηκα καὶ προλέγω

---

v.13 τίς[rqnns] γάρ[c] εἰμί[vipx3s] ὅς[rrans] ἡττάομαι[viap2p] ὑπέρ[p] ὁ[dafp] λοιπός[aafpn] ἐκκλησία[nafp] εἰ[qo] μή[xo] ὅτι[c] αὐτός[rpnms] ἐγώ[rpn-s] οὐ[xo] καταναρκάω[viaa1s] σύ[rpg-p] χαρίζομαι[vdad2p] ἐγώ[rpd-s] ὁ[dafs] ἀδικία[nafs] οὗτος[rdafs]. **v.14** ἰδού[vdaa2s] τρίτος[aansn] ἑτοίμως[bo] ἔχω[vipa1s] ἔρχομαι[vnaa] πρός[p] σύ[rpa-p] καί[c] οὐ[xo] καταναρκάω[vifa1s] σύ[rpg-p] οὐ[xo] γάρ[c] ζητέω[vipa1s] ὁ[danp] σύ[rpg-p] ἀλλά[c] σύ[rpa-p] οὐ[xo] γάρ[c] ὀφείλω[vipa3s] ὁ[dnnp] τέκνον[nnnp] ὁ[ddmp] γονεύς[ndmp] θησαυρίζω[vnpa] ἀλλά[c] ὁ[dnmp] γονεύς[nnmp] ὁ[ddnp] τέκνον[ndnp]. **v.15** ἐγώ[rpn-s] δέ[c] ἡδέως[bo] δαπανάω[vifa1s] καί[c] ἐκδαπανάω[vifp1s] ὑπέρ[p] ὁ[dgfp] ψυχή[ngfp] σύ[rpg-p] εἰ[qo] καί[c] περισσοτέρως[bo] σύ[rpa-p] ἀγαπάω[vppanms] ἡττάομαι[aansn] ἀγαπάω[vipp1s]. **v.16** εἰμί[vdpx3s] δέ[c] ἐγώ[rpn-s] οὐ[xo] καταβαρέω[viaa1s] σύ[rpa-p] ἀλλά[c] ὑπάρχω[vppanms] πανοῦργος[nnms] δόλος[ndms] σύ[rpa-p] λαμβάνω[viaa1s]. **v.17** μή[xo] τι--σριαμσ ὅς[rrgmp] ἀποστέλλω[vixa1s] πρός[p] σύ[rpa-p] διά[p] αὐτός[rpgms] πλεονεκτέω[viaa1s] σύ[rpa-p]. **v.18** παρακαλέω[viaa1s] Τίτος[nams] καί[c] συναποστέλλω[viaa1s] ὁ[dams] ἀδελφός[nams] μή[xo] τίς[rians] πλεονεκτέω[viaa3s] σύ[rpa-p] Τίτος[nnms] οὐ[xo] ὁ[ddns] αὐτός[rpdns] πνεῦμα[ndns] περιπατέω[viaa1p] οὐ[xo] ὁ[ddnp] αὐτός[rpdnp] ἴχνος[ndnp]. **v.19** πάλιν[bo] δοκέω[vipa2p] ὅτι[c] σύ[rpd-p] ἀπολογέομαι[vipn1p] κατενώπιον[p] ὁ[dgms] θεός[ngms] ἐν[p] Χριστός[ndms] λαλέω[vipa1p] ὁ[dnnp] δέ[c] πᾶς[annpn] ἀγαπητός[avmpn] ὑπέρ[p] ὁ[dgfs] σύ[rpg-p] οἰκοδομή[ngfs]. **v.20** φοβέομαι[vipn1s] γάρ[c] μή&πώς[c] ἔρχομαι[vpaanms] οὐ[xo] οἷος[rcanp] θέλω[vipa1s] εὑρίσκω[vsaa1s] σύ[rpa-p] κἀγώ[rpn-s] εὑρίσκω[vsap1s] σύ[rpd-p] οἷος[rcams] οὐ[xo] θέλω[vipa2p] μή&πώς[c] ἔρις[nnfp] ζηλόω[nnmp] θυμός[nnmp] ἐριθεία[nnfp] καταλαλιά[nnfp] ψιθυρισμός[nnmp] φυσίωσις[nnfp] ἀκαταστασία[nnfp]. **v.21** μή[xo] πάλιν[bo] ἔρχομαι[vpaaams] ἐγώ[rpa-s] ταπεινόω[vsaa3s] ὁ[dnms] θεός[nnms] ἐγώ[rpg-s] πρός[p] σύ[rpa-p] καί[c] πενθέω[vifa1s] πολύς[aampn] ὁ[dgmp] προαμαρτάνω[vpxagmp] καί[c] μή[xo] μετανοέω[vpaagmp] ἐπί[p] ὁ[ddfs] ἀκαθαρσία[ndfs] καί[c] πορνεία[ndfs] καί[c] ἀσέλγεια[ndfs] ὅς[rrdfs] πράσσω[viaa3p]. **13. v.1** τρίτος[aansn] οὗτος[rdans] ἔρχομαι[vipn1s] πρός[p] σύ[rpa-p] ἐπί[p] στόμα[ngns] δύο[tn] μάρτυς[ngmp] καί[c] τρεῖς[ngmp] ἵστημι[vifp3s] πᾶς[annsn] ῥῆμα[nnns].

ὡς παρὼν τὸ δεύτερον καὶ ἀπὼν νῦν γράφω τοῖς προημαρτηκό-
σιν καὶ τοῖς λοιποῖς πᾶσιν ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν οὐ φείσομαι.
ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ ὃς εἰς ὑμᾶς 3
οὐκ ἀσθενεῖ ἀλλὰ δυνατεῖ ἐν ὑμῖν. καὶ γὰρ εἴ ἐσταυρώθη ἐξ ἀ- 4
σθενείας ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν
ἐν αὐτῷ ἀλλὰ ζήσομεθα σὺν αὐτῷ ἐκ δυνάμεως θεοῦ εἰς ὑμᾶς.
Ἑαυτοὺς πειράζετε εἰ ἐστὲ ἐν τῇ πίστει ἑαυτοὺς δοκιμάζετε, ἢ 5
οὐκ ἐπιγινώσκετε ἑαυτοὺς ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν ἐστιν εἰ
μή τι ἀδόκιμοί ἐστε. ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ 6
ἐσμὲν ἀδόκιμοι. εὔχομαι δὲ πρὸς τὸν θεὸν μὴ ποιῆσαι ὑμᾶς 7
κακὸν μηδέν οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν ἀλλ ἵνα ὑμεῖς τὸ
καλὸν ποιῆτε ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. οὐ γὰρ δυνάμεθά 8
τι κατὰ τῆς ἀληθείας ἀλ᾽λ ὑπὲρ τῆς ἀληθείας. χαίρομεν γὰρ 9
ὅταν ἡμεῖς ἀσθενῶμεν ὑμεῖς δὲ δυνατοὶ ἦτε, τοῦτο δὲ καὶ εὐχό-
μεθα τὴν ὑμῶν κατάρτισιν. διὰ τοῦτο ταῦτα ἀπὼν γράφω ἵνα 10
παρὼν μὴ ἀποτόμως χρήσωμαι κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέν
μοι ὁ κύριος εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν. Λοιπόν 11
ἀδελφοί χαίρετε καταρτίζεσθε παρακαλεῖσθε τὸ αὐτὸ φρονεῖτε
εἰρηνεύετε καὶ ὁ θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ ὑ-
μῶν. ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι. Ἀσπάζονται 12, 13
ὑμᾶς οἱ ἅγιοι πάντες. Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ 14

---

v.2 προεῖπον[vixa1s] καί[c] προλέγω[vipa1s] ὡς[bo] πάρειμι[vppxnms] ὁ[dnns] δεύτερος[annsn] καί[c] ἄπειμι[vppxnms] νῦν[bo] γράφω[vipa1s] ὁ[ddmp] προαμαρτάνω[vpxadmp] καί[c] ὁ[ddmp] λοιπός[admpn] πᾶς[admpn] ὅτι[c] ἐάν[qo] ἔρχομαι[vsaa1s] εἰς[p] ὁ[dans] πάλιν[bo] οὐ[xo] φείδομαι[vifd1s]. **v.3** ἐπεί[c] δοκιμή[nafs] ζητέω[vipa2p] ὁ[dgms] ἐν[p] ἐγώ[rpd-s] λαλέω[vppagms] Χριστός[ngms] ὅς[rrnms] εἰς[p] σύ[rpa-p] οὐ[xo] ἀσθενέω[vipa3s] ἀλλά[c] δυνατέω[vipa3s] ἐν[p] σύ[rpd-p]. **v.4** καί[c] γάρ[c] εἰ[qo] σταυρόω[viap3s] ἐκ[p] ἀσθένεια[ngfs] ἀλλά[c] ζάω[vipa3s] ἐκ[p] δύναμις[ngfs] θεός[ngms] καί[c] γάρ[c] ἐγώ[rpn-p] ἀσθενέω[vipa1p] ἐν[p] αὐτός[rpdms] ἀλλά[c] ζάω[vifd1p] σύν[p] αὐτός[rpdms] ἐκ[p] δύναμις[ngfs] θεός[ngms] εἰς[p] σύ[rpa-p]. **v.5** ἑαυτοῦ[rxamp] πειράζω[vdpa2p] εἰ[qo] εἰμί[vipx2p] ἐν[p] ὁ[ddfs] πίστις[ndfs] ἑαυτοῦ[rxamp] δοκιμάζω[vdpa2p] ἤ[xo] οὐ[xo] ἐπιγινώσκω[vipa2p] ἑαυτοῦ[rxamp] ὅτι[c] Ἰησοῦς[nnms] Χριστός[nnms] ἐν[p] σύ[rpd-p] εἰμί[vipx3s] εἰ[qo] μή[xo] τίς[rinns] ἀδόκιμος[anmpn] εἰμί[vipx2p]. **v.6** ἐλπίζω[vipa1s] δέ[c] ὅτι[c] γινώσκω[vifd2p] ὅτι[c] ἐγώ[rpn-p] οὐ[xo] εἰμί[vipx1p] ἀδόκιμος[anmpn]. **v.7** εὔχομαι[vipn1s] δέ[c] πρός[p] ὁ[dams] θεός[nams] μή[xo] ποιέω[vnaa] σύ[rpa-p] κακός[aansn] μηδείς[aansn] οὐ[xo] ἵνα[c] ἐγώ[rpn-p] δόκιμος[anmpn] φαίνω[vsap1p] ἀλλά[c] ἵνα[c] σύ[rpn-p] ὁ[dans] καλός[aansn] ποιέω[vspa2p] ἐγώ[rpn-p] δέ[c] ὡς[bo] ἀδόκιμος[anmpn] εἰμί[vspx1p]. **v.8** οὐ[xo] γάρ[c] δύναμαι[vipn1p] τι-σριανσ κατά[p] ὁ[dgfs] ἀλήθεια[ngfs] ἀλλά[c] ὑπέρ[p] ὁ[dgfs] ἀλήθεια[ngfs]. **v.9** χαίρω[vipa1p] γάρ[c] ὅταν[c] ἐγώ[rpn-p] ἀσθενέω[vspa1p] σύ[rpn-p] δέ[c] δυνατός[anmpn] εἰμί[vspx2p] οὗτος[rdans] δέ[c] καί[c] εὔχομαι[vipn1p] ὁ[dafs] σύ[rpg-p] κατάρτισις[nafs]. **v.10** διά[p] οὗτος[rdans] οὗτος[rdanp] ἄπειμι[vppxnms] γράφω[vipa1s] ἵνα[c] πάρειμι[vppxnms] μή[xo] ἀποτόμως[bo] χράομαι[vsad1s] κατά[p] ὁ[dafs] ἐξουσία[nafs] ὅς[rrafs] δίδωμι[viaa3s] ἐγώ[rpd-s] ὁ[dnms] κύριος[nnms] εἰς[p] οἰκοδομή[nafs] καί[c] οὐ[xo] εἰς[p] καθαίρεσις[nafs]. **v.11** λοιπός[aansn] ἀδελφός[nvmp] χαίρω[vdpa2p] καταρτίζω[vdpp2p] παρακαλέω[vdpp2p] ὁ[dans] αὐτός[rpans] φρονέω[vdpa2p] εἰρηνεύω[vdpa2p] καί[c] ὁ[dnms] θεός[nnms] ὁ[dgfs] ἀγάπη[ngfs] καί[c] εἰρήνη[ngfs] εἰμί[vifx3s] μετά[p] σύ[rpg-p]. **v.12** ἀσπάζομαι[vdad2p] ἀλλήλων[reamp] ἐν[p] ἅγιος[adnsn] φίλημα[ndns]. **v.13** ἀσπάζομαι[vipn3p] σύ[rpa-p] ὁ[dnmp] ἅγιος[anmpn] πᾶς[anmpn].

ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν. ἀμήν. [πρός Κορινθίους δευτέρᾳ ἐγράφη ἀπό Φιλίππων τῆς Μακεδονίας διά Τίτου καί Λουκᾶ]

---

v.14 ὁ$^{\text{dnfs}}$ χάρις$^{\text{nnfs}}$ ὁ$^{\text{dgms}}$ κύριος$^{\text{ngms}}$ Ἰησοῦς$^{\text{ngms}}$ Χριστός$^{\text{ngms}}$ καί$^{\text{c}}$ ὁ$^{\text{dnfs}}$ ἀγάπη$^{\text{nnfs}}$ ὁ$^{\text{dgms}}$ θεός$^{\text{ngms}}$ καί$^{\text{c}}$ ὁ$^{\text{dnfs}}$ κοινωνία$^{\text{nnfs}}$ ὁ$^{\text{dgns}}$ ἅγιος$^{\text{agnsn}}$ πνεῦμα$^{\text{ngns}}$ μετά$^{\text{p}}$ πᾶς$^{\text{agmpn}}$ σύ$^{\text{rpg-p}}$ ἀμήν$^{\text{th}}$ πρός$^{\text{p}}$ Κορίνθιος$^{\text{aampn}}$ δεύτερος$^{\text{anfsn}}$ γράφω$^{\text{viap3s}}$ ἀπό$^{\text{p}}$ Φίλιπποι$^{\text{ngms}}$ ὁ$^{\text{dgfs}}$ Μακεδονία$^{\text{ngfs}}$ διά$^{\text{p}}$ Τίτος$^{\text{ngms}}$ καί$^{\text{c}}$ Λουκᾶς$^{\text{ngms}}$.

Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

Παῦλος ἀπόστολος οὐκ ἀπ ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου ἀλ- **1**
λὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ
νεκρῶν. καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί ταῖς ἐκκλησίαις τῆς 2
Γαλατίας. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου 3
ἡμῶν Ἰησοῦ Χριστοῦ. τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν 4
ἡμῶν ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ
κατὰ τὸ θέλημα τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν. ᾧ ἡ δόξα εἰς τοὺς 5
αἰῶνας τῶν αἰώνων ἀμήν. Θαυμάζω ὅτι οὕτως ταχέως μετατί- 6
θεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον
εὐαγγέλιον. ὃ οὐκ ἔστιν ἄλλο εἰ μή τινές εἰσιν οἱ ταράσσον- 7
τες ὑμᾶς καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.
ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν 8
παρ ὃ εὐηγγελισάμεθα ὑμῖν ἀνάθεμα ἔστω. ὡς προειρήκαμεν 9
καὶ ἄρτι πάλιν λέγω εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ ὃ παρελάβετε
ἀνάθεμα ἔστω. Ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν θεόν ἢ ζη- 10
τῶ ἀνθρώποις ἀρέσκειν εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον Χριστοῦ
δοῦλος οὐκ ἂν ἤμην. Γνωρίζω δὲ ὑμῖν ἀδελφοί τὸ εὐαγγέλιον 11
τὸ εὐαγγελισθὲν ὑπ ἐμοῦ ὅτι οὐκ ἔστιν κατὰ ἄνθρωπον, οὐδὲ 12
γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό οὔτε ἐδιδάχθην ἀλ-

---

1. v.1 Παῦλος[nnms] ἀπόστολος[nnms] οὐ[xo] ἀπό[p] ἄνθρωπος[ngmp] οὐδέ[bo] διά[p] ἄνθρωπος[ngms] ἀλλά[c] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms] καί[c] θεός[ngms] πατήρ[ngms] ὁ[dgms] ἐγείρω[vpaagms] αὐτός[rpams] ἐκ[p] νεκρός[agmpn]. **v.2** καί[c] ὁ[dnmp] σύν[p] ἐγώ[rpd-s] πᾶς[anmpn] ἀδελφός[nnmp] ὁ[ddfp] ἐκκλησία[ndfp] ὁ[dgfs] Γαλατία[ngfs]. **v.3** χάρις[nnfs] σύ[rpd-p] καί[c] εἰρήνη[nnfs] ἀπό[p] θεός[ngms] πατήρ[ngms] καί[c] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.4** ὁ[dgms] δίδωμι[vpaagms] ἑαυτοῦ[rxams] ὑπέρ[p] ὁ[dgfp] ἁμαρτία[ngfp] ἐγώ[rpg-p] ὅπως[bo] ἐξαιρέω[vsam3s] ἐγώ[rpa-p] ἐκ[p] ὁ[dgms] ἐνίστημι[vpxagms] αἰών[ngms] πονηρός[agmsn] κατά[p] ὁ[dans] θέλημα[nans] ὁ[dgms] θεός[ngms] καί[c] πατήρ[ngms] ἐγώ[rpg-p]. **v.5** ὅς[rrdms] ὁ[dnfs] δόξα[nnfs] εἰς[p] ὁ[damp] αἰών[namp] ὁ[dgmp] αἰών[ngmp] ἀμήν[th]. **v.6** θαυμάζω[vipa1s] ὅτι[c] οὕτω[bo] ταχέως[bo] μετατίθημι[vipe2p] ἀπό[p] ὁ[dgms] καλέω[vpaagms] σύ[rpa-p] ἐν[p] χάρις[ndfs] Χριστός[ngms] εἰς[p] ἕτερος[aansn] εὐαγγέλιον[nans]. **v.7** ὅς[rrnns] οὐ[xo] εἰμί[vipx3s] ἄλλος[annsn] εἰ[qo] μή[xo] τι- -σρινμπ εἰμί[vipx3p] ὁ[dnmp] ταράσσω[vppanmp] σύ[rpa-p] καί[c] θέλω[vppanmp] μεταστρέφω[vnaa] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dgms] Χριστός[ngms]. **v.8** ἀλλά[c] καί[c] ἐάν[qo] ἐγώ[rpn-p] ἤ[xo] ἄγγελος[nnms] ἐκ[p] οὐρανός[ngms] εὐαγγελίζω[vspm3s] σύ[rpd-p] παρά[p] ὅς[rrans] εὐαγγελίζω[viam1p] σύ[rpd-p] ἀνάθεμα[nnns] εἰμί[vdpx3s]. **v.9** ὡς[bo] προλέγω[vixa1p] καί[c] ἄρτι[bo] πάλιν[bo] λέγω[vipa1s] εἰ[qo] τι-σρινμσ σύ[rpa-p] εὐαγγελίζω[vipm3s] παρά[p] ὅς[rrans] παραλαμβάνω[viaa2p] ἀνάθεμα[nnns] εἰμί[vdpx3s]. **v.10** ἄρτι[bo] γάρ[c] ἄνθρωπος[namp] πείθω[vipa1s] ἤ[xo] ὁ[dams] θεός[nams] ἤ[xo] ζητέω[vipa1s] ἄνθρωπος[ndmp] ἀρέσκω[vnpa] εἰ[qo] γάρ[c] ἔτι[bo] ἄνθρωπος[ndmp] ἀρέσκω[viia1s] Χριστός[ngms] δοῦλος[nnms] οὐ[xo] ἄν[xo] εἰμί[viix1s]. **v.11** γνωρίζω[vipa1s] δέ[c] σύ[rpd-p] ἀδελφός[nvmp] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dans] εὐαγγελίζω[vpapans] ὑπό[p] ἐγώ[rpg-s] ὅτι[c] οὐ[xo] εἰμί[vipx3s] κατά[p] ἄνθρωπος[nams].

13 λὰ δι᾽ ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. Ἠκούσατε γὰρ τὴν ἐμὴν
ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ ὅτι καθ ὑπερβολὴν ἐδίωκον
14 τὴν ἐκκλησίαν τοῦ θεοῦ καὶ ἐπόρθουν αὐτήν. καὶ προέκο-
πτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει
μου περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παρα-
15 δόσεων. ὅτε δὲ εὐδόκησεν ὁ θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας
16 μητρός μου καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ. ἀποκαλύψαι
τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνε-
17 σιν εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. οὐδὲ ἀνῆλθον
εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους ἀλ᾽λ ἀπῆλ-
18 θον εἰς Ἀραβίαν καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν. Ἔπειτα
μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον, καὶ
19 ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. ἕτερον δὲ τῶν ἀπο-
20 στόλων οὐκ εἶδον εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου. ἃ δὲ
21 γράφω ὑμῖν ἰδοὺ ἐνώπιον τοῦ θεοῦ ὅτι οὐ ψεύδομαι. ἔπειτα
22 ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας, ἤμην δὲ
ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς
23 ἐν Χριστῷ. μόνον δὲ ἀκούοντες ἦσαν ὅτι Ὁ διώκων ἡμᾶς ποτε
24 νῦν εὐαγγελίζεται τὴν πίστιν ἥν ποτε ἐπόρθει. καὶ ἐδόξαζον ἐν
ἐμοὶ τὸν θεόν.

2 Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἱεροσό-

---

v.12 οὐδέ^{bo} γάρ^{c} ἐγώ$^{rpn-s}$ παρά^{p} ἄνθρωπος^{ngms} παραλαμβάνω^{viaa1s} αὐτός^{rpans} οὔτε^{c} διδάσκω^{viap1s} ἀλλά^{c} διά^{p} ἀποκάλυψις^{ngfs} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.13** ἀκούω^{viaa2p} γάρ^{c} ὁ^{dafs} ἐμός^{rsafs} ἀναστροφή^{nafs} ποτέ^{xo} ἐν^{p} ὁ^{ddms} Ἰουδαϊσμός^{ndms} ὅτι^{c} κατά^{p} ὑπερβολή^{nafs} διώκω^{viia1s} ὁ^{dafs} ἐκκλησία^{nafs} ὁ^{dgms} θεός^{ngms} καί^{c} πορθέω^{viia1s} αὐτός^{rpafs}. **v.14** καί^{c} προκόπτω^{viia1s} ἐν^{p} ὁ^{ddms} Ἰουδαϊσμός^{ndms} ὑπέρ^{p} πολύς^{aampn} συνηλικιώτης^{namp} ἐν^{p} ὁ^{ddns} γένος^{ndns} ἐγώ$^{rpg-s}$ περισσοτέρως^{bo} ζηλωτής^{nnms} ὑπάρχω^{vppanms} ὁ^{dgmp} πατρικός^{agmpn} ἐγώ$^{rpg-s}$ παράδοσις^{ngfp}. **v.15** ὅτε^{bo} δέ^{c} εὐδοκέω^{viaa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dnms} ἀφορίζω^{vpaanms} ἐγώ$^{rpa-s}$ ἐκ^{p} κοιλία^{ngfs} μήτηρ^{ngfs} ἐγώ$^{rpg-s}$ καί^{c} καλέω^{vpaanms} διά^{p} ὁ^{dgfs} χάρις^{ngfs} αὐτός^{rpgms}. **v.16** ἀποκαλύπτω^{vnaa} ὁ^{dams} υἱός^{nams} αὐτός^{rpgms} ἐν^{p} ἐγώ$^{rpd-s}$ ἵνα^{c} εὐαγγελίζω^{vspm1s} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddnp} ἔθνος^{ndnp} εὐθέως^{bo} οὐ^{xo} προσανατίθημι^{viam1s} σάρξ^{ndfs} καί^{c} αἷμα^{ndns}. **v.17** οὐδέ^{bo} ἀνέρχομαι^{viaa1s} εἰς^{p} Ἱεροσόλυμα^{nafs} πρός^{p} ὁ^{damp} πρό^{p} ἐγώ$^{rpg-s}$ ἀπόστολος^{namp} ἀλλά^{c} ἀπέρχομαι^{viaa1s} εἰς^{p} Ἀραβία^{nafs} καί^{c} πάλιν^{bo} ὑποστρέφω^{viaa1s} εἰς^{p} Δαμασκός^{nafs}. **v.18** ἔπειτα^{bo} μετά^{p} ἔτος^{nanp} τρεῖς^{nanp} ἀνέρχομαι^{viaa1s} εἰς^{p} Ἱεροσόλυμα^{nafs} ἱστορέω^{vnaa} Πέτρος^{nams} καί^{c} ἐπιμένω^{viaa1s} πρός^{p} αὐτός^{rpams} ἡμέρα^{nafp} δεκαπέντε^{tn}. **v.19** ἕτερος^{aamsn} δέ^{c} ὁ^{dgmp} ἀπόστολος^{ngmp} οὐ^{xo} ὁράω^{viaa1s} εἰ^{qo} μή^{xo} Ἰάκωβος^{nams} ὁ^{dams} ἀδελφός^{nams} ὁ^{dgms} κύριος^{ngms}. **v.20** ὅς^{rranp} δέ^{c} γράφω^{vipa1s} σύ$^{rpd-p}$ ἰδού^{vdaa2s} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} ὅτι^{c} οὐ^{xo} ψεύδομαι^{vipn1s}. **v.21** ἔπειτα^{bo} ἔρχομαι^{viaa1s} εἰς^{p} ὁ^{danp} κλίμα^{nanp} ὁ^{dgfs} Συρία^{ngfs} καί^{c} ὁ^{dgfs} Κιλικία^{ngfs}. **v.22** εἰμί^{viix1s} δέ^{c} ἀγνοέω^{vpppnms} ὁ^{ddns} πρόσωπον^{ndns} ὁ^{ddfp} ἐκκλησία^{ndfp} ὁ^{dgfs} Ἰουδαία^{ngfs} ὁ^{ddfp} ἐν^{p} Χριστός^{ndms}. **v.23** μόνος^{bo} δέ^{c} ἀκούω^{vppanmp} εἰμί^{viix3p} ὅτι^{c} ὁ^{dnms} διώκω^{vppanms} ἐγώ$^{rpa-p}$ ποτέ^{xo} νῦν^{bo} εὐαγγελίζω^{vipm3s} ὁ^{dafs} πίστις^{nafs} ὅς^{rrafs} ποτέ^{xo} πορθέω^{viia3s}. **v.24** καί^{c} δοξάζω^{viia3p} ἐν^{p} ἐγώ$^{rpd-s}$ ὁ^{dams} θεός^{nams}.

λυμα μετὰ Βαρναβᾶ συμπαραλαβὼν καὶ Τίτον, ἀνέβην δὲ κατὰ 2
ἀποκάλυψιν, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω ἐν
τοῖς ἔθνεσιν κατ ἰδίαν δὲ τοῖς δοκοῦσιν μήπως εἰς κενὸν τρέχω ἢ
ἔδραμον. ἀλλ οὐδὲ Τίτος ὁ σὺν ἐμοί Ἕλλην ὢν ἠναγκάσθη πε- 3
ριτμηθῆναι, διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους οἵτινες 4
παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν
Χριστῷ Ἰησοῦ ἵνα ἡμᾶς καταδουλώσωνται. οἷς οὐδὲ πρὸς ὥ- 5
ραν εἴξαμεν τῇ ὑποταγῇ ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ
πρὸς ὑμᾶς. ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι ὁποῖοί ποτε ἦσαν 6
οὐδέν μοι διαφέρει, πρόσωπον θεὸς ἀνθρώπου οὐ λαμβάνει ἐ-
μοὶ γὰρ οἱ δοκοῦντες οὐδὲν προσανέθεντο. ἀλλὰ τοὐναντίον 7
ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας καθὼς
Πέτρος τῆς περιτομῆς. ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν 8
τῆς περιτομῆς ἐνήργησεν καὶ ἐμοὶ εἰς τὰ ἔθνη. καὶ γνόντες 9
τὴν χάριν τὴν δοθεῖσάν μοι Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης οἱ
δοκοῦντες στῦλοι εἶναι δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρναβᾷ κοινω-
νίας ἵνα ἡμεῖς εἰς τὰ ἔθνη αὐτοὶ δὲ εἰς τὴν περιτομήν, μόνον 10
τῶν πτωχῶν ἵνα μνημονεύωμεν ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο
ποιῆσαι. Ὅτε δὲ ἦλθεν Πέτρος εἰς Ἀντιόχειαν κατὰ πρόσω- 11
πον αὐτῷ ἀντέστην ὅτι κατεγνωσμένος ἦν. πρὸ τοῦ γὰρ ἐλθεῖν 12
τινας ἀπὸ Ἰακώβου μετὰ τῶν ἐθνῶν συνήσθιεν, ὅτε δὲ ἦλθον

---

2. v.1 ἔπειτα^{bo} διά^{p} δεκατέσσαρες^{ngnp} ἔτος^{ngnp} πάλιν^{bo} ἀναβαίνω^{viaa1s} εἰς^{p} Ἱεροσόλυμα^{nafs} μετά^{p} Βαρναβᾶς^{ngms} συμπαραλαμβάνω^{vpaanms} καί^{c} Τίτος^{nams}. **v.2** ἀναβαίνω^{viaa1s} δέ^{c} κατά^{p} ἀποκάλυψις^{nafs} καί^{c} ἀνατίθημι^{viam1s} αὐτός^{rpdmp} ὁ^{dans} εὐαγγέλιον^{nans} ὅς^{rrans} κηρύσσω^{vipa1s} ἐν^{p} ὁ^{ddnp} ἔθνος^{ndnp} κατά^{p} ἴδιος^{aafsn} δέ^{c} ὁ^{ddmp} δοκέω^{vppadmp} μή&πώς^{c} εἰς^{p} κενός^{aamsn} τρέχω^{vspa1s} ἤ^{xo} τρέχω^{viaa1s}. **v.3** ἀλλά^{c} οὐδέ^{bo} Τίτος^{nnms} ὁ^{dnms} σύν^{p} ἐγώ$^{\text{rpd-s}}$ Ἕλλην^{nnms} εἰμί^{vppxnms} ἀναγκάζω^{viap3s} περιτέμνω^{vnap}. **v.4** διά^{p} δέ^{c} ὁ^{damp} παρείσακτος^{aampn} ψευδάδελφος^{namp} ὅστις^{rrnmp} παρεισέρχομαι^{viaa3p} κατασκοπέω^{vnaa} ὁ^{dafs} ἐλευθερία^{nafs} ἐγώ$^{\text{rpg-p}}$ ὅς^{rrafs} ἔχω^{vipa1p} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ἵνα^{c} ἐγώ$^{\text{rpa-p}}$ καταδουλόω^{vsam3p}. **v.5** ὅς^{rrdmp} οὐδέ^{bo} πρός^{p} ὥρα^{nafs} εἴκω^{viaa1p} ὁ^{ddfs} ὑποταγή^{ndfs} ἵνα^{c} ὁ^{dnfs} ἀλήθεια^{nnfs} ὁ^{dgns} εὐαγγέλιον^{ngns} διαμένω^{vsaa3s} πρός^{p} σύ$^{\text{rpa-p}}$. **v.6** ἀπό^{p} δέ^{c} ὁ^{dgmp} δοκέω^{vppagmp} εἰμί^{vnpx} τι-σριννσ ὁποῖος^{anmpn} ποτέ^{xo} εἰμί^{viix3p} οὐδείς^{annsn} ἐγώ$^{\text{rpd-s}}$ διαφέρω^{vipa3s} πρόσωπον^{nans} θεός^{nnms} ἄνθρωπος^{ngms} οὐ^{xo} λαμβάνω^{vipa3s} ἐγώ$^{\text{rpd-s}}$ γάρ^{c} ὁ^{dnmp} δοκέω^{vppanmp} οὐδείς^{aansn} προσανατίθημι^{viam3p}. **v.7** ἀλλά^{c} ἐναντίον^{bo} ὁράω^{vpaanmp} ὅτι^{c} πιστεύω^{vixp1s} ὁ^{dans} εὐαγγέλιον^{nans} ὁ^{dgfs} ἀκροβυστία^{ngfs} καθώς^{bo} Πέτρος^{nnms} ὁ^{dgfs} περιτομή^{ngfs}. **v.8** ὁ^{dnms} γάρ^{c} ἐνεργέω^{vpaanms} Πέτρος^{ndms} εἰς^{p} ἀποστολή^{nafs} ὁ^{dgfs} περιτομή^{ngfs} ἐνεργέω^{viaa3s} καί^{c} ἐγώ$^{\text{rpd-s}}$ εἰς^{p} ὁ^{danp} ἔθνος^{nanp}. **v.9** καί^{c} γινώσκω^{vpaanmp} ὁ^{dafs} χάρις^{nafs} ὁ^{dafs} δίδωμι^{vpapafs} ἐγώ$^{\text{rpd-s}}$ Ἰάκωβος^{nnms} καί^{c} Κηφᾶς^{nnms} καί^{c} Ἰωάννης^{nnms} ὁ^{dnmp} δοκέω^{vppanmp} στῦλος^{nnmp} εἰμί^{vnpx} δεξιός^{aafpn} δίδωμι^{viaa3p} ἐγώ$^{\text{rpd-s}}$ καί^{c} Βαρναβᾶς^{ndms} κοινωνία^{ngfs} ἵνα^{c} ἐγώ$^{\text{rpn-p}}$ εἰς^{p} ὁ^{danp} ἔθνος^{nanp} αὐτός^{rpnmp} δέ^{c} εἰς^{p} ὁ^{dafs} περιτομή^{nafs}. **v.10** μόνος^{bo} ὁ^{dgmp} πτωχός^{agmpn} ἵνα^{c} μνημονεύω^{vspa1p} ὅς^{rrans} καί^{c} σπουδάζω^{viaa1s} αὐτός^{rpans} οὗτος^{rdans} ποιέω^{vnaa}. **v.11** ὅτε^{bo} δέ^{c} ἔρχομαι^{viaa3s} Πέτρος^{nnms} εἰς^{p} Ἀντιόχεια^{nafs} κατά^{p} πρόσωπον^{nans} αὐτός^{rpdms} ἀνθίστημι^{viaa1s} ὅτι^{c} καταγινώσκω^{vpxpnms} εἰμί^{viix3s}.

ὑπέστελλεν καὶ ἀφώριζεν ἑαυτόν φοβούμενος τοὺς ἐκ περιτο-
13 μῆς. καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι ὥστε
14 καὶ Βαρναβᾶς συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. ἀλλ ὅτε εἶδον
ὅτι οὐκ ὀρθοποδοῦσιν πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου εἶπον
τῷ Πέτρῳ ἔμπροσθεν πάντων Εἰ σὺ Ἰουδαῖος ὑπάρχων ἐθνικῶς
15 ζῇς καὶ οὐκ Ἰουδαϊκῶς τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν. Ἡ-
16 μεῖς φύσει Ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί, εἰδότες ὅτι
οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου ἐὰν μὴ διὰ πίστεως
Ἰησοῦ Χριστοῦ καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν ἵνα
δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου διότι
17 οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ. εἰ δὲ ζητοῦντες
δικαιωθῆναι ἐν Χριστῷ εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί ἆρα
18 Χριστὸς ἁμαρτίας διάκονος μὴ γένοιτο. εἰ γὰρ ἃ κατέλυσα
19 ταῦτα πάλιν οἰκοδομῶ παραβάτην ἐμαυτὸν συνίστημι. ἐγὼ
20 γὰρ διὰ νόμου νόμῳ ἀπέθανον ἵνα θεῷ ζήσω. Χριστῷ συνε-
σταύρωμαι ζῶ δὲ οὐκέτι ἐγώ ζῇ δὲ ἐν ἐμοὶ Χριστός, ὃ δὲ νῦν ζῶ
ἐν σαρκί ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός
21 με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. οὐκ ἀθετῶ τὴν χάριν
τοῦ θεοῦ, εἰ γὰρ διὰ νόμου δικαιοσύνη ἄρα Χριστὸς δωρεὰν
ἀπέθανεν.
3 Ὦ ἀνόητοι Γαλάται τίς ὑμᾶς ἐβάσκανεν τῇ ἀληθείᾳ μὴ πεί-

---

v.12 πρό[p] ὁ[dgms] γάρ[c] ἔρχομαι[vnaa] τι-σριαμπ ἀπό[p] Ἰάκωβος[ngms] μετά[p] ὁ[dgnp] ἔθνος[ngnp] συνεσθίω[viia3s] ὅτε[bo] δέ[c] ἔρχομαι[viaa3p] ὑποστέλλω[viia3s] καί[c] ἀφορίζω[viia3s] ἑαυτοῦ[rxams] φοβέομαι[vppnnms] ὁ[damp] ἐκ[p] περιτομή[ngfs]. **v.13** καί[c] συνυποκρίνομαι[viap3p] αὐτός[rpdms] καί[c] ὁ[dnmp] λοιπός[anmpn] Ἰουδαῖος[anmpn] ὥστε[c] καί[c] Βαρναβᾶς[nnms] συναπάγω[viap3s] αὐτός[rpgmp] ὁ[ddfs] ὑπόκρισις[ndfs]. **v.14** ἀλλά[c] ὅτε[bo] ὁράω[viaa1s] ὅτι[c] οὐ[xo] ὀρθοποδέω[vipa3p] πρός[p] ὁ[dafs] ἀλήθεια[nafs] ὁ[dgns] εὐαγγέλιον[ngns] λέγω[viaa1s] ὁ[ddms] Πέτρος[ndms] ἔμπροσθεν[p] πᾶς[agmpn] εἰ[qo] σύ[rpn-s] Ἰουδαῖος[anmsn] ὑπάρχω[vppanms] ἐθνικῶς[bo] ζάω[vipa2s] καί[c] οὐ[xo] Ἰουδαϊκῶς[bo] τίς[rqans] ὁ[danp] ἔθνος[nanp] ἀναγκάζω[vipa2s] Ἰουδαΐζω[vnpa]. **v.15** ἐγώ[rpn-p] φύσις[ndfs] Ἰουδαῖος[anmpn] καί[c] οὐ[xo] ἐκ[p] ἔθνος[ngnp] ἁμαρτωλός[anmpn]. **v.16** οἶδα[vpxanmp] ὅτι[c] οὐ[xo] δικαιόω[vipp3s] ἄνθρωπος[nnms] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] ἐάν[qo] μή[xo] διά[p] πίστις[ngfs] Ἰησοῦς[ngms] Χριστός[ngms] καί[c] ἐγώ[rpn-p] εἰς[p] Χριστός[nams] Ἰησοῦς[nams] πιστεύω[viaa1p] ἵνα[c] δικαιόω[vsap1p] ἐκ[p] πίστις[ngfs] Χριστός[ngms] καί[c] οὐ[xo] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] διότι[c] οὐ[xo] δικαιόω[vifp3s] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] πᾶς[anfsn] σάρξ[nnfs]. **v.17** εἰ[qo] δέ[c] ζητέω[vppanmp] δικαιόω[vnap] ἐν[p] Χριστός[ndms] εὑρίσκω[viap1p] καί[c] αὐτός[rpnmp] ἁμαρτωλός[anmpn] ἆρα[xo] Χριστός[nnms] ἁμαρτία[ngfs] διάκονος[nnms] μή[xo] γίνομαι[voad3s]. **v.18** εἰ[qo] γάρ[c] ὅς[rranp] καταλύω[viaa1s] οὗτος[rdanp] πάλιν[bo] οἰκοδομέω[vipa1s] παραβάτης[nams] ἐμαυτοῦ[rxams] συνίστημι[vipa1s]. **v.19** ἐγώ[rpn-s] γάρ[c] διά[p] νόμος[ngms] νόμος[ndms] ἀποθνῄσκω[viaa1s] ἵνα[c] θεός[ndms] ζάω[vsaa1s]. **v.20** Χριστός[ndms] συσταυρόω[vixp1s] ζάω[vipa1s] δέ[c] οὐκέτι[bo] ἐγώ[rpn-s] ζάω[vipa3s] δέ[c] ἐν[p] ἐγώ[rpd-s] Χριστός[nnms] ὅς[rrans] δέ[c] νῦν[bo] ζάω[vipa1s] ἐν[p] σάρξ[ndfs] ἐν[p] πίστις[ndfs] ζάω[vipa1s] ὁ[ddfs] ὁ[dgms] υἱός[ngms] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ἀγαπάω[vpaagms] ἐγώ[rpa-s] καί[c] παραδίδωμι[vpaagms] ἑαυτοῦ[rxams] ὑπέρ[p] ἐγώ[rpg-s]. **v.21** οὐ[xo] ἀθετέω[vipa1s] ὁ[dafs] χάρις[nafs] ὁ[dgms] θεός[ngms] εἰ[qo] γάρ[c] διά[p] νόμος[ngms] δικαιοσύνη[nnfs] ἄρα[xo] Χριστός[nnms] δωρεάν[bo] ἀποθνῄσκω[viaa3s].

θεσθαι, οἷς κατ ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν
ἐσταυρωμένος. τοῦτο μόνον θέλω μαθεῖν ἀφ ὑμῶν, ἐξ ἔργων 2
νόμου τὸ πνεῦμα ἐλάβετε ἢ ἐξ ἀκοῆς πίστεως. οὕτως ἀνόητοί 3
ἐστε ἐναρξάμενοι πνεύματι νῦν σαρκὶ ἐπιτελεῖσθε. τοσαῦτα 4
ἐπάθετε εἰκῇ εἴγε καὶ εἰκῇ. ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα 5
καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν ἐξ ἔργων νόμου ἢ ἐξ ἀκοῆς πί-
στεως. καθὼς Ἀβραὰμ ἐπίστευσεν τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ 6
εἰς δικαιοσύνην, Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως οὗτοι εἰσιν 7
υἱοί Ἀβραάμ. προϊδοῦσα δὲ ἡ γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ 8
ἔθνη ὁ θεὸς προευηγγελίσατο τῷ Ἀβραὰμ ὅτι Ἐνευλογηθήσον-
ται ἐν σοὶ πάντα τὰ ἔθνη, ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν 9
τῷ πιστῷ Ἀβραάμ. ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν ὑπὸ κατάραν 10
εἰσίν, γέγραπται γὰρ Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶ-
σιν τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά.
ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ δῆλον ὅτι Ὁ δί- 11
καιος ἐκ πίστεως ζήσεται, ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως ἀλλ 12
Ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς. Χριστὸς ἡμᾶς 13
ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν
κατάρα γέγραπται γὰρ, Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐ-
πὶ ξύλου. ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν 14
Χριστῷ Ἰησοῦ ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ

---

3. v.1 ὦ[i] ἀνόητος[avmpn] Γαλάτης[nvmp] τίς[rqnms] σύ[rpa-p] βασκαίνω[viaa3s] ὁ[ddfs] ἀλήθεια[ndfs] μή[xo] πείθω[vnpp] ὅς[rrdmp] κατά[p] ὀφθαλμός[namp] Ἰησοῦς[nnms] Χριστός[nnms] προγράφω[viap3s] ἐν[p] σύ[rpd-p] σταυρόω[vpxpnms]. **v.2** οὗτος[rdans] μόνος[bo] θέλω[vipa1s] μανθάνω[vnaa] ἀπό[p] σύ[rpg-p] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] ὁ[dans] πνεῦμα[nans] λαμβάνω[viaa2p] ἤ[xo] ἐκ[p] ἀκοή[ngfs] πίστις[ngfs]. **v.3** οὕτω[bo] ἀνόητος[anmpn] εἰμί[vipx2p] ἐνάρχομαι[vpadnmp] πνεῦμα[ndns] νῦν[bo] σάρξ[ndfs] ἐπιτελέω[vipe2p]. **v.4** τοσοῦτος[rdanp] πάσχω[viaa2p] εἰκῇ[bo] εἴ&γε[qo] καί[c] εἰκῇ[bo]. **v.5** ὁ[dnms] οὖν[c] ἐπιχορηγέω[vppanms] σύ[rpd-p] ὁ[dans] πνεῦμα[nans] καί[c] ἐνεργέω[vppanms] δύναμις[nafp] ἐν[p] σύ[rpd-p] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] ἤ[xo] ἐκ[p] ἀκοή[ngfs] πίστις[ngfs]. **v.6** καθώς[bo] Ἀβραάμ[tp] πιστεύω[viaa3s] ὁ[ddms] θεός[ndms] καί[c] λογίζομαι[viap3s] αὐτός[rpdms] εἰς[p] δικαιοσύνη[nafs]. **v.7** γινώσκω[vipa2p] ἄρα[xo] ὅτι[c] ὁ[dnmp] ἐκ[p] πίστις[ngfs] οὗτος[rdnmp] εἰμί[vipx3p] υἱός[nnmp] Ἀβραάμ[tp]. **v.8** προοράω[vpaanfs] δέ[c] ὁ[dnfs] γραφή[nnfs] ὅτι[c] ἐκ[p] πίστις[ngfs] δικαιόω[vipa3s] ὁ[danp] ἔθνος[nanp] ὁ[dnms] θεός[nnms] προευαγγελίζομαι[viad3s] ὁ[ddms] Ἀβραάμ[tp] ὅτι[c] ἐνευλογέω[vifp3p] ἐν[p] σύ[rpd-s] πᾶς[annpn] ὁ[dnnp] ἔθνος[nnnp]. **v.9** ὥστε[c] ὁ[dnmp] ἐκ[p] πίστις[ngfs] εὐλογέω[vipp3p] σύν[p] ὁ[ddms] πιστός[admsn] Ἀβραάμ[tp]. **v.10** ὅσος[rcnmp] γάρ[c] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] εἰμί[vipx3p] ὑπό[p] κατάρα[nafs] εἰμί[vipx3p] γράφω[vixp3s] γάρ[c] ἐπικατάρατος[anmsn] πᾶς[anmsn] ὅς[rrnms] οὐ[xo] ἐμμένω[vipa3s] ἐν[p] πᾶς[adnpn] ὁ[ddnp] γράφω[vpxpdnp] ἐν[p] ὁ[ddns] βιβλίον[ndns] ὁ[dgms] νόμος[ngms] ὁ[dgms] ποιέω[vnaa] αὐτός[rpanp]. **v.11** ὅτι[c] δέ[c] ἐν[p] νόμος[ndms] οὐδείς[anfsn] δικαιόω[vipp3s] παρά[p] ὁ[ddms] θεός[ndms] δῆλος[annsn] ὅτι[c] ὁ[dnms] δίκαιος[anmsn] ἐκ[p] πίστις[ngfs] ζάω[vifd3s]. **v.12** ὁ[dnms] δέ[c] νόμος[nnms] οὐ[xo] εἰμί[vipx3s] ἐκ[p] πίστις[ngfs] ἀλλά[c] ὁ[dnms] ποιέω[vpaanms] αὐτός[rpanp] ἄνθρωπος[nnms] ζάω[vifd3s] ἐν[p] αὐτός[rpdnp]. **v.13** Χριστός[nnms] ἐγώ[rpa-p] ἐξαγοράζω[viaa3s] ἐκ[p] ὁ[dgfs] κατάρα[ngfs] ὁ[dgms] νόμος[ngms] γίνομαι[vpadnms] ὑπέρ[p] ἐγώ[rpg-p] κατάρα[nnfs] γράφω[vixp3s] γάρ[c] ἐπικατάρατος[anmsn] πᾶς[anmsn] ὁ[dnms] κρεμάννυμι[vppmnms] ἐπί[p] ξύλον[ngns].

15 τῆς πίστεως. Ἀδελφοί κατὰ ἄνθρωπον λέγω, ὅμως ἀνθρώπου
16 κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται. τῷ δὲ
Ἀβραὰμ ἐρρήθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ οὐ
λέγει Καὶ τοῖς σπέρμασιν ὡς ἐπὶ πολλῶν ἀλλ ὡς ἐφ ἑνός Καὶ τῷ
17 σπέρματί σου ὅς ἐστιν Χριστός. τοῦτο δὲ λέγω, διαθήκην προ-
κεκυρωμένην ὑπὸ τοῦ θεοῦ εἰς Χριστὸν ὁ μετὰ ἔτη τετρακόσια
καὶ τριάκοντα γεγονὼς νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι
18 τὴν ἐπαγγελίαν. εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία οὐκέτι ἐξ ἐ-
19 παγγελίας, τῷ δὲ Ἀβραὰμ δι᾽ ἐπαγγελίας κεχάρισται ὁ θεός. Τί
οὖν ὁ νόμος τῶν παραβάσεων χάριν προσετέθη ἄχρις οὗ ἔλθῃ
τὸ σπέρμα ᾧ ἐπήγγελται διαταγεὶς δι᾽ ἀγγέλων ἐν χειρὶ μεσί-
20, 21 του. ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν ὁ δὲ θεὸς εἷς ἐστιν. Ὁ οὖν
νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ μὴ γένοιτο εἰ γὰρ ἐδόθη
νόμος ὁ δυνάμενος ζῳοποιῆσαι ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαι-
22 οσύνη, ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν ἵνα
ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν.
23 Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκε-
24 κλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. ὥστε ὁ
νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν ἵνα ἐκ πίστεως δι-
25 καιωθῶμεν, ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν

---

v.14 ἵνα[c] εἰς[p] ὁ[danp] ἔθνος[nanp] ὁ[dnfs] εὐλογία[nnfs] ὁ[dgms] Ἀβραάμ[tp] γίνομαι[vsad3s] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ἵνα[c] ὁ[dafs] ἐπαγγελία[nafs] ὁ[dgns] πνεῦμα[ngns] λαμβάνω[vsaa1p] διά[p] ὁ[dgfs] πίστις[ngfs]. **v.15** ἀδελφός[nvmp] κατά[p] ἄνθρωπος[nams] λέγω[vipa1s] ὅμως[c] ἄνθρωπος[ngms] κυρόω[vpxpafs] διαθήκη[nafs] οὐδείς[anfsn] ἀθετέω[vipa3s] ἤ[xo] ἐπιδιατάσσομαι[vipn3s]. **v.16** ὁ[ddms] δέ[c] Ἀβραάμ[tp] ῥέω[viap3p] ὁ[dnfp] ἐπαγγελία[nnfp] καί[c] ὁ[ddns] σπέρμα[ndns] αὐτός[rpgms] οὐ[xo] λέγω[vipa3s] καί[c] ὁ[ddnp] σπέρμα[ndnp] ὡς[bo] ἐπί[p] πολύς[agnpn] ἀλλά[c] ὡς[bo] ἐπί[p] εἷς[ngns] καί[c] ὁ[ddns] σπέρμα[ndns] σύ[rpg-s] ὅς[rrnms] εἰμί[vipx3s] Χριστός[nnms]. **v.17** οὗτος[rdans] δέ[c] λέγω[vipa1s] διαθήκη[nafs] προκυρόω[vpxpafs] ὑπό[p] ὁ[dgms] θεός[ngms] εἰς[p] Χριστός[nams] ὁ[dnms] μετά[p] ἔτος[nanp] τετρακόσιοι[nanp] καί[c] τριάκοντα[tn] γίνομαι[vpxanms] νόμος[nnms] οὐ[xo] ἀκυρόω[vipa3s] εἰς[p] ὁ[dans] καταργέω[vnaa] ὁ[dafs] ἐπαγγελία[nafs]. **v.18** εἰ[qo] γάρ[c] ἐκ[p] νόμος[ngms] ὁ[dnfs] κληρονομία[nnfs] οὐκέτι[bo] ἐκ[p] ἐπαγγελία[ngfs] ὁ[ddms] δέ[c] Ἀβραάμ[tp] διά[p] ἐπαγγελία[ngfs] χαρίζομαι[vixn3s] ὁ[dnms] θεός[nnms]. **v.19** τίς[rqnns] οὖν[c] ὁ[dnms] νόμος[nnms] ὁ[dgfp] παράβασις[ngfp] χάριν[bo] προστίθημι[viap3s] ἄχρι[p] ὅς[bo] ἔρχομαι[vsaa3s] ὁ[dnns] σπέρμα[nnns] ὅς[rrdms] ἐπαγγέλλομαι[vixn3s] διατάσσω[vpapnms] διά[p] ἄγγελος[ngmp] ἐν[p] χείρ[ndfs] μεσίτης[ngms]. **v.20** ὁ[dnms] δέ[c] μεσίτης[nnms] εἷς[ngms] οὐ[xo] εἰμί[vipx3s] ὁ[dnms] δέ[c] θεός[nnms] εἷς[nnms] εἰμί[vipx3s]. **v.21** ὁ[dnms] οὖν[c] νόμος[nnms] κατά[p] ὁ[dgfp] ἐπαγγελία[ngfp] ὁ[dgms] θεός[ngms] μή[xo] γίνομαι[voad3s] εἰ[qo] γάρ[c] δίδωμι[viap3s] νόμος[nnms] ὁ[dnms] δύναμαι[vppnnms] ζῳοποιέω[vnaa] ὄντως[bo] ἄν[xo] ἐκ[p] νόμος[ngms] εἰμί[viix3s] ὁ[dnfs] δικαιοσύνη[nnfs]. **v.22** ἀλλά[c] συγκλείω[viaa3s] ὁ[dnfs] γραφή[nnfs] ὁ[danp] πᾶς[aanpn] ὑπό[p] ἁμαρτία[nafs] ἵνα[c] ὁ[dnfs] ἐπαγγελία[nnfs] ἐκ[p] πίστις[ngfs] Ἰησοῦς[ngms] Χριστός[ngms] δίδωμι[vsap3s] ὁ[ddmp] πιστεύω[vppadmp]. **v.23** πρό[p] ὁ[dgms] δέ[c] ἔρχομαι[vnaa] ὁ[dafs] πίστις[nafs] ὑπό[p] νόμος[nams] φρουρέω[viip1p] συγκλείω[vpxpnmp] εἰς[p] ὁ[dafs] μέλλω[vppaafs] πίστις[nafs] ἀποκαλύπτω[vnap]. **v.24** ὥστε[c] ὁ[dnms] νόμος[nnms] παιδαγωγός[nnms] ἐγώ[rpg-p] γίνομαι[vixa3s] εἰς[p] Χριστός[nams] ἵνα[c] ἐκ[p] πίστις[ngfs] δικαιόω[vsap1p].

ἐσμεν. Πάντες γὰρ υἱοὶ θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ 26
Ἰησοῦ, ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε Χριστὸν ἐνεδύσασθε. 27
οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος 28
οὐκ ἔνι ἄρσεν καὶ θῆλυ, πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ
Ἰησοῦ. εἰ δὲ ὑμεῖς Χριστοῦ ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ καὶ 29
κατ ἐπαγγελίαν κληρονόμοι.

Λέγω δέ ἐφ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν οὐδὲν **4**
διαφέρει δούλου κύριος πάντων ὤν. ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐ- 2
στὶν καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. οὕτως 3
καὶ ἡμεῖς ὅτε ἦμεν νήπιοι ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν
δεδουλωμένοι, ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου ἐξαπέ- 4
στειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός γενόμενον
ὑπὸ νόμον. ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ ἵνα τὴν υἱοθεσίαν 5
ἀπολάβωμεν. Ὅτι δέ ἐστε υἱοί ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα 6
τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον Αββα ὁ πατήρ.
ὥστε οὐκέτι εἶ δοῦλος ἀλ̓λ υἱός, εἰ δὲ υἱός καὶ κληρονόμος 7
θεοῦ διὰ Χριστοῦ. Ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύ- 8
σατε τοῖς μὴ φύσει οὖσιν θεοῖς, νῦν δὲ γνόντες θεόν μᾶλλον δὲ 9
γνωσθέντες ὑπὸ θεοῦ πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ
πτωχὰ στοιχεῖα οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε. ἡμέρας 10
παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς. φοβοῦ- 11

---

v.25 ἔρχομαι[vpaagfs] δέ[c] ὁ[dgfs] πίστις[ngfs] οὐκέτι[bo] ὑπό[p] παιδαγωγός[nams] εἰμί[vipx1p]. **v.26** πᾶς[anmpn] γάρ[c] υἱός[nnmp] θεός[ngms] εἰμί[vipx2p] διά[p] ὁ[dgfs] πίστις[ngfs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.27** ὅσος[rcnmp] γάρ[c] εἰς[p] Χριστός[nams] βαπτίζω[viap2p] Χριστός[nams] ἐνδύω[viam2p]. **v.28** οὐ[xo] ἔνι[vipx3s] Ἰουδαῖος[anmsn] οὐδέ[bo] Ἕλλην[nnms] οὐ[xo] ἔνι[vipx3s] δοῦλος[nnms] οὐδέ[bo] ἐλεύθερος[anmsn] οὐ[xo] ἔνι[vipx3s] ἄρσην[nnns] καί[c] θῆλυς[annsn] πᾶς[anmpn] γάρ[c] σύ[rpn-p] εἷς[nnms] εἰμί[vipx2p] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.29** εἰ[qo] δέ[c] σύ[rpn-p] Χριστός[ngms] ἄρα[xo] ὁ[dgms] Ἀβραάμ[tp] σπέρμα[nnns] εἰμί[vipx2p] καί[c] κατά[p] ἐπαγγελία[nafs] κληρονόμος[nnmp]. **4. v.1** λέγω[vipa1s] δέ[c] ἐπί[p] ὅσος[rcams] χρόνος[nams] ὁ[dnms] κληρονόμος[nnms] νήπιος[anmsn] εἰμί[vipx3s] οὐδείς[aansn] διαφέρω[vipa3s] δοῦλος[ngms] κύριος[nnms] πᾶς[agmpn] εἰμί[vppxnms]. **v.2** ἀλλά[c] ὑπό[p] ἐπίτροπος[namp] εἰμί[vipx3s] καί[c] οἰκονόμος[namp] ἄχρι[p] ὁ[dgfs] προθεσμία[ngfs] ὁ[dgms] πατήρ[ngms]. **v.3** οὕτω[bo] καί[c] ἐγώ[rpn-p] ὅτε[bo] εἰμί[viix1p] νήπιος[anmpn] ὑπό[p] ὁ[danp] στοιχεῖον[nanp] ὁ[dgms] κόσμος[ngms] εἰμί[viix1p] δουλόω[vpxpnmp]. **v.4** ὅτε[bo] δέ[c] ἔρχομαι[viaa3s] ὁ[dnns] πλήρωμα[nnns] ὁ[dgms] χρόνος[ngms] ἐξαποστέλλω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[dams] υἱός[nams] αὐτός[rpgms] γίνομαι[vpadams] ἐκ[p] γυνή[ngfs] γίνομαι[vpadams] ὑπό[p] νόμος[nams]. **v.5** ἵνα[c] ὁ[damp] ὑπό[p] νόμος[nams] ἐξαγοράζω[vsaa3s] ἵνα[c] ὁ[dafs] υἱοθεσία[nafs] ἀπολαμβάνω[vsaa1p]. **v.6** ὅτι[c] δέ[c] εἰμί[vipx2p] υἱός[nnmp] ἐξαποστέλλω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[dans] πνεῦμα[nans] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms] εἰς[p] ὁ[dafp] καρδία[nafp] σύ[rpg-p] κράζω[vppaans] ἀββά[tp] ὁ[dnms] πατήρ[nnms]. **v.7** ὥστε[c] οὐκέτι[bo] εἰμί[vipx2s] δοῦλος[nnms] ἀλλά[c] υἱός[nnms] εἰ[qo] δέ[c] υἱός[nnms] καί[c] κληρονόμος[nnms] θεός[ngms] διά[p] Χριστός[ngms]. **v.8** ἀλλά[c] τότε[bo] μέν[xo] οὐ[xo] οἶδα[vpxanmp] θεός[nams] δουλεύω[viaa2p] ὁ[ddmp] μή[xo] φύσις[ndfs] εἰμί[vppxdmp] θεός[ndmp]. **v.9** νῦν[bo] δέ[c] γινώσκω[vpaanmp] θεός[nams] μᾶλλον[bo] δέ[c] γινώσκω[vpapnmp] ὑπό[p] θεός[ngms] πῶς[bo] ἐπιστρέφω[vipa2p] πάλιν[bo] ἐπί[p] ὁ[danp] ἀσθενής[aanpn] καί[c] πτωχός[aanpn] στοιχεῖον[nanp] ὅς[rrdnp] πάλιν[bo] ἄνωθεν[bo] δουλεύω[vnpa] θέλω[vipa2p]. **v.10** ἡμέρα[nafp] παρατηρέω[vipm2p] καί[c] μήν[namp] καί[c] καιρός[namp] καί[c] ἐνιαυτός[namp].

12 μαι ὑμᾶς μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. Γίνεσθε ὡς ἐγώ
ὅτι κἀγὼ ὡς ὑμεῖς ἀδελφοί δέομαι ὑμῶν οὐδέν με ἠδικήσατε,
13 οἴδατε δὲ ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ
14 πρότερον. καὶ τὸν πειρασμὸν μου τὸν ἐν τῇ σαρκί μοῦ οὐκ
ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε ἀλ̓λ ὡς ἄγγελον θεοῦ ἐδέξασθέ
15 με ὡς Χριστὸν Ἰησοῦν. τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν μαρτυ-
ρῶ γὰρ ὑμῖν ὅτι εἰ δυνατὸν τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες
16 ἂν ἐδώκατέ μοι. ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν.
17 ζηλοῦσιν ὑμᾶς οὐ καλῶς ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν ἵνα
18 αὐτοὺς ζηλοῦτε, καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε καὶ
19 μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς. τεκνία μου οὓς πάλιν
20 ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν, ἤθελον δὲ παρεῖ-
ναι πρὸς ὑμᾶς ἄρτι καὶ ἀλλάξαι τὴν φωνήν μου ὅτι ἀποροῦμαι
21 ἐν ὑμῖν. Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι τὸν νόμον
22 οὐκ ἀκούετε. γέγραπται γὰρ ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν ἕνα
23 ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. ἀλλ ὁ μὲν ἐκ
τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται ὁ δὲ ἐκ τῆς ἐλευθέρας
24 διὰ τῆς ἐπαγγελίας. ἅτινά ἐστιν ἀλληγορούμενα, αὗται γάρ
εἰσιν αἱ δύο διαθῆκαι μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν
25 γεννῶσα ἥτις ἐστὶν Ἁγάρ. τὸ γὰρ Ἁγὰρ Σινᾶ ὄρος ἐστὶν ἐν τῇ
Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἰερουσαλήμ δουλεύει δὲ μετὰ τῶν

---

v.11 φοβέομαι[vipn1s] σύ[rpa-p] μή&πώς[c] εἰκῇ[bo] κοπιάω[vixa1s] εἰς[p] σύ[rpa-p]. **v.12** γίνομαι[vdpn2p] ὡς[bo] ἐγώ[rpn-s] ὅτι[c] κἀγώ[rpn-s] ὡς[bo] σύ[rpn-p] ἀδελφός[nvmp] δέομαι[vipn1s] σύ[rpg-p] οὐδείς[aansn] ἐγώ[rpa-s] ἀδικέω[viaa2p]. **v.13** οἶδα[vixa2p] δέ[c] ὅτι[c] διά[p] ἀσθένεια[nafs] ὁ[dgfs] σάρξ[ngfs] εὐαγγελίζω[viam1s] σύ[rpd-p] ὁ[dans] πρότερος[aansn]. **v.14** καί[c] ὁ[dams] πειρασμός[nams] ἐγώ[rpg-s] ὁ[dams] ἐν[p] ὁ[ddfs] σάρξ[ndfs] ἐγώ[rpg-s] οὐ[xo] ἐξουθενέω[viaa2p] οὐδέ[bo] ἐκπτύω[viaa2p] ἀλλά[c] ὡς[bo] ἄγγελος[nams] θεός[ngms] δέχομαι[viad2p] ἐγώ[rpa-s] ὡς[bo] Χριστός[nams] Ἰησοῦς[nams]. **v.15** τίς[rqnms] οὖν[c] εἰμί[viix3s] ὁ[dnms] μακαρισμός[nnms] σύ[rpg-p] μαρτυρέω[vipa1s] γάρ[c] σύ[rpd-p] ὅτι[c] εἰ[qo] δυνατός[annsn] ὁ[damp] ὀφθαλμός[namp] σύ[rpg-p] ἐξορύσσω[vpaanmp] ἄν[xo] δίδωμι[viaa2p] ἐγώ[rpd-s]. **v.16** ὥστε[c] ἐχθρός[anmsn] σύ[rpg-p] γίνομαι[vixa1s] ἀληθεύω[vppanms] σύ[rpd-p]. **v.17** ζηλόω[vipa3p] σύ[rpa-p] οὐ[xo] καλῶς[bo] ἀλλά[c] ἐκκλείω[vnaa] σύ[rpa-p] θέλω[vipa3p] ἵνα[c] αὐτός[rpamp] ζηλόω[vspa2p]. **v.18** καλός[annsn] δέ[c] ὁ[dnns] ζηλόω[vnpp] ἐν[p] καλός[adnsn] πάντοτε[bo] καί[c] μή[xo] μόνος[bo] ἐν[p] ὁ[ddms] πάρειμι[vnpx] ἐγώ[rpa-s] πρός[p] σύ[rpa-p]. **v.19** τεκνίον[nvnp] ἐγώ[rpg-s] ὅς[rramp] πάλιν[bo] ὠδίνω[vipa1s] ἄχρι[p] ὅς[bo] μορφόω[vsap3s] Χριστός[nnms] ἐν[p] σύ[rpd-p]. **v.20** θέλω[viia1s] δέ[c] πάρειμι[vnpx] πρός[p] σύ[rpa-p] ἄρτι[bo] καί[c] ἀλλάσσω[vnaa] ὁ[dafs] φωνή[nafs] ἐγώ[rpg-s] ὅτι[c] ἀπορέω[vipm1s] ἐν[p] σύ[rpd-p]. **v.21** λέγω[vdpa2p] ἐγώ[rpd-s] ὁ[dnmp] ὑπό[p] νόμος[nams] θέλω[vppanmp] εἰμί[vnpx] ὁ[dams] νόμος[nams] οὐ[xo] ἀκούω[vipa2p]. **v.22** γράφω[vixp3s] γάρ[c] ὅτι[c] Ἀβραάμ[tp] δύο[tn] υἱός[namp] ἔχω[viaa3s] εἷς[nams] ἐκ[p] ὁ[dgfs] παιδίσκη[ngfs] καί[c] εἷς[nams] ἐκ[p] ὁ[dgfs] ἐλεύθερος[agfsn]. **v.23** ἀλλά[c] ὁ[dnms] μέν[xo] ἐκ[p] ὁ[dgfs] παιδίσκη[ngfs] κατά[p] σάρξ[nafs] γεννάω[vixp3s] ὁ[dnms] δέ[c] ἐκ[p] ὁ[dgfs] ἐλεύθερος[agfsn] διά[p] ὁ[dgfs] ἐπαγγελία[ngfs]. **v.24** ὅστις[rrnnp] εἰμί[vipx3s] ἀλληγορέω[vpppnnp] οὗτος[rdnfp] γάρ[c] εἰμί[vipx3p] ὁ[dnfp] δύο[tn] διαθήκη[nnfp] εἷς[nnfs] μέν[xo] ἀπό[p] ὄρος[ngns] Σινᾶ[tp] εἰς[p] δουλεία[nafs] γεννάω[vppanfs] ὅστις[rrnfs] εἰμί[vipx3s] Ἁγάρ[tp].

τέκνων αὐτῆς. ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευθέρα ἐστίν ἥτις ἐ- 26
στὶν μήτηρ πάντων ἡμῶν, γέγραπται γάρ Εὐφράνθητι στεῖρα 27
ἡ οὐ τίκτουσα ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ
τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ἡμεῖς δέ 28
ἀδελφοί κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν. ἀλλ ὥσπερ τότε 29
ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκεν τὸν κατὰ πνεῦμα οὕτως καὶ
νῦν. ἀλλὰ τί λέγει ἡ γραφή Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱ- 30
ὸν αὐτῆς, οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ
τοῦ υἱοῦ τῆς ἐλευθέρας. ἄρα, ἀδελφοί οὐκ ἐσμὲν παιδίσκης 31
τέκνα ἀλλὰ τῆς ἐλευθέρας.

τῇ ἐλευθερίᾳ οὖν ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσεν, στήκετε καὶ **5**
μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν 2
ὅτι ἐὰν περιτέμνησθε Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. μαρτύ- 3
ρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ ὅτι ὀφειλέτης
ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ 4
οἵτινες ἐν νόμῳ δικαιοῦσθε τῆς χάριτος ἐξεπέσατε. ἡμεῖς γὰρ 5
πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. ἐν 6
γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία ἀλ-
λὰ πίστις δι᾽ ἀγάπης ἐνεργουμένη. Ἐτρέχετε καλῶς, τίς ὑμᾶς 7
ἀνέκοψεν τῇ ἀληθείᾳ μὴ πείθεσθαι. ἡ πεισμονὴ οὐκ ἐκ τοῦ 8
καλοῦντος ὑμᾶς. μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. ἐγὼ 9, 10

---

νάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου τοῦτ᾽ἔστιν
15 τὸν διάβολον. καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ
16 παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. οὐ γὰρ δήπου ἀγγέλων
17 ἐπιλαμβάνεται ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. ὅθεν
ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι ἵνα ἐλεήμων γέ-
νηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν εἰς τὸ ἱλάσκεσθαι

---

v.7 ἐλαττόω[viaa2s] αὐτός[rpams] βραχύς[aansn] τι-σριανσ παρά[p] ἄγγελος[namp] δόξα[ndfs] καί[c] τιμή[ndfs] στεφανόω[viaa2s] αὐτός[rpams] καί[c] καθίστημι[viaa2s] αὐτός[rpams] ἐπί[p] ὁ[danp] ἔργον[nanp] ὁ[dgfp] χείρ[ngfp] σύ[rpg-s]. **v.8** πᾶς[aanpn] ὑποτάσσω[viaa2s] ὑποκάτω[bo] ὁ[dgmp] πούς[ngmp] αὐτός[rpgms] ἐν[p] γάρ[c] ὁ[ddms] ὑποτάσσω[vnaa] αὐτός[rpdms] ὁ[danp] πᾶς[aanpn] οὐδείς[aansn] ἀφίημι[viaa3s] αὐτός[rpdms] ἀνυπότακτος[aansn] νῦν[bo] δέ[c] οὔπω[bo] ὁράω[vipa1p] αὐτός[rpdms] ὁ[danp] πᾶς[aanpn] ὑποτάσσω[vpxpanp]. **v.9** ὁ[dams] δέ[c] βραχύς[aansn] τι-σριανσ παρά[p] ἄγγελος[namp] ἐλαττόω[vpxpams] βλέπω[vipa1p] Ἰησοῦς[nams] διά[p] ὁ[dans] πάθημα[nans] ὁ[dgms] θάνατος[ngms] δόξα[ndfs] καί[c] τιμή[ndfs] στεφανόω[vpxpams] ὅπως[bo] χάρις[ndfs] θεός[ngms] ὑπέρ[p] πᾶς[agmsn] γεύομαι[vsad3s] θάνατος[ngms]. **v.10** πρέπω[viia3s] γάρ[c] αὐτός[rpdms] διά[p] ὅς[rrams] ὁ[dnnp] πᾶς[annpn] καί[c] διά[p] ὅς[rrgms] ὁ[dnnp] πᾶς[annpn] πολύς[aampn] υἱός[namp] εἰς[p] δόξα[nafs] ἄγω[vpaaams] ὁ[dams] ἀρχηγός[nams] ὁ[dgfs] σωτηρία[ngfs] αὐτός[rpgmp] διά[p] πάθημα[ngnp] τελειόω[vnaa]. **v.11** ὁ[dnms] τέ[xo] γάρ[c] ἁγιάζω[vppanms] καί[c] ὁ[dnmp] ἁγιάζω[vpppnmp] ἐκ[p] εἷς[ngms] πᾶς[anmpn] διά[p] ὅς[rrafs] αἰτία[nafs] οὐ[xo] ἐπαισχύνομαι[vipn3s] ἀδελφός[namp] αὐτός[rpamp] καλέω[vnpa]. **v.12** λέγω[vppanms] ἀπαγγέλλω[vifa1s] ὁ[dans] ὄνομα[nans] σύ[rpg-s] ὁ[ddmp] ἀδελφός[ndmp] ἐγώ[rpg-s] ἐν[p] μέσος[adnsn] ἐκκλησία[ngfs] ὑμνέω[vifa1s] σύ[rpa-s]. **v.13** καί[c] πάλιν[bo] ἐγώ[rpn-s] εἰμί[vifx1s] πείθω[vpxanms] ἐπί[p] αὐτός[rpdms] καί[c] πάλιν[bo] ἰδού[vdaa2s] ἐγώ[rpn-s] καί[c] ὁ[dnnp] παιδίον[nnnp] ὅς[rranp] ἐγώ[rpd-s] δίδωμι[viaa3s] ὁ[dnms] θεός[nnms]. **v.14** ἐπεί[c] οὖν[c] ὁ[dnnp] παιδίον[nnnp] κοινωνέω[vixa3s] σάρξ[ngfs] καί[c] αἷμα[ngns] καί[c] αὐτός[rpnms] παραπλησίως[bo] μετέχω[viaa3s] ὁ[dgnp] αὐτός[rpgnp] ἵνα[c] διά[p] ὁ[dgms] θάνατος[ngms] καταργέω[vsaa3s] ὁ[dams] ὁ[dans] κράτος[nans] ἔχω[vppaams] ὁ[dgms] θάνατος[ngms] εἰμί[rdnns] ὁ[dams] διάβολος[aamsn]. **v.15** καί[c] ἀπαλλάσσω[vsaa3s] οὗτος[rdamp] ὅσος[rcnmp] φόβος[ndms] θάνατος[ngms] διά[p] πᾶς[agmsn] ὁ[dgms] ζάω[vnpa] ἔνοχος[anmpn] εἰμί[viix3p] δουλεία[ngfs]. **v.16** οὐ[xo] γάρ[c] δήπου[bo] ἄγγελος[ngmp] ἐπιλαμβάνομαι[vipn3s] ἀλλά[c] σπέρμα[ngns] Ἀβραάμ[tp] ἐπιλαμβάνομαι[vipn3s].

τὰς ἁμαρτίας τοῦ λαοῦ. ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς 18
δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Ὅθεν ἀδελφοὶ ἅγιοι κλήσεως ἐπουρανίου μέτοχοι κατανοή- **3**
σατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Χριστὸν
Ἰησοῦν. πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν ὡς καὶ Μωσῆς ἐν 2
ὅλῳ τῷ οἴκῳ αὐτοῦ. πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν 3
ἠξίωται καθ ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευ-
άσας αὐτόν, πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος ὁ δὲ 4
τὰ πάντα κατασκευάσας θεός. καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ 5
τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων εἰς μαρτύριον τῶν λαληθησομένων.
Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡ- 6
μεῖς ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι
τέλους βεβαίαν κατάσχωμεν. Διό καθὼς λέγει τὸ πνεῦμα τὸ ἅ- 7
γιον Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε. μὴ σκληρύνητε 8
τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν
τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ. οὗ ἐπείρασαν με οἱ πατέρες ὑ- 9
μῶν ἐδοκιμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη,
διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον Ἀεὶ πλανῶνται τῇ 10
καρδίᾳ αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. ὡς ὤμοσα ἐν τῇ 11
ὀργῇ μου, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. Βλέπετε 12
ἀδελφοί μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας

---

v.17 ὅθεν[bo] ὀφείλω[viia3s] κατά[p] πᾶς[aanpn] ὁ[ddmp] ἀδελφός[ndmp] ὁμοιόω[vnap] ἵνα[c] ἐλεήμων[anmsn] γίνομαι[vsad3s] καί[c] πιστός[anmsn] ἀρχιερεύς[nnms] ὁ[danp] πρός[p] ὁ[dams] θεός[nams] εἰς[p] ὁ[dans] ἱλάσκομαι[vnpp] ὁ[dafp] ἁμαρτία[nafp] ὁ[dgms] λαός[ngms]. **v.18** ἐν[p] ὅς[rrdns] γάρ[c] πάσχω[vixa3s] αὐτός[rpnms] πειράζω[vpapnms] δύναμαι[vipn3s] ὁ[ddmp] πειράζω[vpppdmp] βοηθέω[vnaa]. **3. v.1** ὅθεν[bo] ἀδελφός[nvmp] ἅγιος[avmpn] κλῆσις[ngfs] ἐπουράνιος[agfsn] μέτοχος[anmpn] κατανοέω[vdaa2p] ὁ[dams] ἀπόστολος[nams] καί[c] ἀρχιερεύς[nams] ὁ[dgfs] ὁμολογία[ngfs] ἐγώ[rpg-p] Χριστός[nams] Ἰησοῦς[nams]. **v.2** πιστός[aamsn] εἰμί[vppxams] ὁ[ddms] ποιέω[vpaadms] αὐτός[rpams] ὡς[bo] καί[c] Μωϋσῆς[nnms] ἐν[p] ὅλος[admsn] ὁ[ddms] οἶκος[ndms] αὐτός[rpgms]. **v.3** πολύς[agfsc] γάρ[c] δόξα[ngfs] οὗτος[rdnms] παρά[p] Μωϋσῆς[nams] ἀξιόω[vixp3s] κατά[p] ὅσος[rcans] πολύς[aafsc] τιμή[nafs] ἔχω[vipa3s] ὁ[dgms] οἶκος[ngms] ὁ[dnms] κατασκευάζω[vpaanms] αὐτός[rpams]. **v.4** πᾶς[anmsn] γάρ[c] οἶκος[nnms] κατασκευάζω[vipp3s] ὑπό[p] τι-σ-ριγμσ ὁ[dnms] δέ[c] ὁ[danp] πᾶς[aanpn] κατασκευάζω[vpaanms] θεός[nnms]. **v.5** καί[c] Μωϋσῆς[nnms] μέν[xo] πιστός[anmsn] ἐν[p] ὅλος[admsn] ὁ[ddms] οἶκος[ndms] αὐτός[rpgms] ὡς[bo] θεράπων[nnms] εἰς[p] μαρτύριον[nans] ὁ[dgnp] λαλέω[vpfpgnp]. **v.6** Χριστός[nnms] δέ[c] ὡς[bo] υἱός[nnms] ἐπί[p] ὁ[dams] οἶκος[nams] αὐτός[rpgms] ὅς[rrgms] οἶκος[nnms] εἰμί[vipx1p] ἐγώ[rpn-p] ἐάνπερ[qo] ὁ[dafs] παρρησία[nafs] καί[c] ὁ[dans] καύχημα[nans] ὁ[dgfs] ἐλπίς[ngfs] μέχρι[bo] τέλος[ngns] βέβαιος[aafsn] κατέχω[vsaa1p]. **v.7** διό[c] καθώς[bo] λέγω[vipa3s] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] ἅγιος[annsn] σήμερον[bo] ἐάν[qo] ὁ[dgfs] φωνή[ngfs] αὐτός[rpgms] ἀκούω[vsaa2p]. **v.8** μή[xo] σκληρύνω[vspa2p] ὁ[dafp] καρδία[nafp] σύ[rpg-p] ὡς[bo] ἐν[p] ὁ[ddms] παραπικρασμός[ndms] κατά[p] ὁ[dafs] ἡμέρα[nafs] ὁ[dgms] πειρασμός[ngms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn]. **v.9** ὅς[bo] πειράζω[viaa3p] ἐγώ[rpa-s] ὁ[dnmp] πατήρ[nnmp] σύ[rpg-p] δοκιμάζω[viaa3p] ἐγώ[rpa-s] καί[c] ὁράω[viaa3p] ὁ[danp] ἔργον[nanp] ἐγώ[rpg-s] τεσσεράκοντα[tn] ἔτος[nanp]. **v.10** διό[c] προσοχθίζω[viaa1s] ὁ[ddfs] γενεά[ndfs] ἐκεῖνος[rddfs] καί[c] λέγω[viaa1s] ἀεί[bo] πλανάω[vipp3p] ὁ[ddfs] καρδία[ndfs] αὐτός[rpnmp] δέ[c] οὐ[xo] γινώσκω[viaa3p] ὁ[dafp] ὁδός[nafp] ἐγώ[rpg-s]. **v.11** ὡς[bo] ὀμνύω[viaa1s] ἐν[p] ὁ[ddfs] ὀργή[ndfs] ἐγώ[rpg-s] εἰ[qo] εἰσέρχομαι[vifd3p] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] ἐγώ[rpg-s].

13 ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος. ἀλλὰ παρακαλεῖτε ἑαυ-
τοὺς καθ ἑκάστην ἡμέραν ἄχρις οὗ τὸ Σήμερον καλεῖται ἵνα
14 μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας. μέτοχοι γὰρ
γεγόναμεν τοῦ Χριστοῦ ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέ-
15 χρι τέλους βεβαίαν κατάσχωμεν. ἐν τῷ λέγεσθαι Σήμερον ἐὰν
τῆς φωνῆς αὐτοῦ ἀκούσητε Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν
16 ὡς ἐν τῷ παραπικρασμῷ. τίνες γὰρ ἀκούσαντες παρεπίκραναν
17 ἀλλ οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως. τίσιν
δὲ προσώχθισεν τεσσαράκοντα ἔτη οὐχὶ τοῖς ἁμαρτήσασιν ὧν
18 τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ. τίσιν δὲ ὤμοσεν μὴ εἰσελεύσε-
19 σθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ εἰ μὴ τοῖς ἀπειθήσασιν. καὶ
βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν.
4 Φοβηθῶμεν οὖν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελ-
θεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι.
2 καὶ γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι, ἀλλ οὐκ ὠ-
φέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συγκεκραμένος τῇ
3 πίστει τοῖς ἀκούσασιν. εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν
οἱ πιστεύσαντες καθὼς εἴρηκεν Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου Εἰ
εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου καίτοι τῶν ἔργων ἀπὸ
4 καταβολῆς κόσμου γενηθέντων. εἴρηκεν γάρ που περὶ τῆς ἑ-
βδόμης οὕτως Καὶ κατέπαυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ

---

v.12 βλέπω[vdpa2p] ἀδελφός[nvmp] μήποτε[bo] εἰμί[vifx3s] ἐν[p] τι-σριδμσ σύ[rpg-p] καρδία[nnfs] πονηρός[anfsn] ἀπιστία[ngfs] ἐν[p] ὁ[ddms] ἀφίστημι[vnaa] ἀπό[p] θεός[ngms] ζάω[vppagms]. **v.13** ἀλλά[c] παρακαλέω[vdpa2p] ἑαυτοῦ[rxamp] κατά[p] ἕκαστος[aafsn] ἡμέρα[nafs] ἄχρι[p] ὅς[bo] ὁ[dans] σήμερον[bo] καλέω[vipp3s] ἵνα[c] μή[xo] σκληρύνω[vsap3s] τι-σρινμσ ἐκ[p] σύ[rpg-p] ἀπάτη[ndfs] ὁ[dgfs] ἁμαρτία[ngfs]. **v.14** μέτοχος[anmpn] γάρ[c] γίνομαι[vixa1p] ὁ[dgms] Χριστός[ngms] ἐάνπερ[qo] ὁ[dafs] ἀρχή[nafs] ὁ[dgfs] ὑπόστασις[ngfs] μέχρι[bo] τέλος[ngns] βέβαιος[aafsn] κατέχω[vsaa1p]. **v.15** ἐν[p] ὁ[ddms] λέγω[vnpp] σήμερον[bo] ἐάν[qo] ὁ[dgfs] φωνή[ngfs] αὐτός[rpgms] ἀκούω[vsaa2p] μή[xo] σκληρύνω[vspa2p] ὁ[dafp] καρδία[nafp] σύ[rpg-p] ὡς[bo] ἐν[p] ὁ[ddms] παραπικρασμός[ndms]. **v.16** τίς[rinmp] γάρ[c] ἀκούω[vpaanmp] παραπικραίνω[viaa3p] ἀλλά[c] οὐ[xo] πᾶς[anmpn] ὁ[dnmp] ἐξέρχομαι[vpaanmp] ἐκ[p] Αἴγυπτος[ngfs] διά[p] Μωϋσῆς[ngms]. **v.17** τίς[rqdmp] δέ[c] προσοχθίζω[viaa3s] τεσσεράκοντα[tn] ἔτος[nanp] οὐχί[xo] ὁ[ddmp] ἁμαρτάνω[vpaadmp] ὅς[rrgmp] ὁ[dnnp] κῶλον[nnnp] πίπτω[viaa3s] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn]. **v.18** τίς[rqdmp] δέ[c] ὀμνύω[viaa3s] μή[xo] εἰσέρχομαι[vnfd] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] αὐτός[rpgms] εἰ[qo] μή[xo] ὁ[ddmp] ἀπειθέω[vpaadmp]. **v.19** καί[c] βλέπω[vipa1p] ὅτι[c] οὐ[xo] δύναμαι[viao3p] εἰσέρχομαι[vnaa] διά[p] ἀπιστία[nafs]. **4. v.1** φοβέομαι[vsao1p] οὖν[c] μήποτε[bo] καταλείπω[vpppgfs] ἐπαγγελία[ngfs] εἰσέρχομαι[vnaa] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] αὐτός[rpgms] δοκέω[vspa3s] τι-σρινμσ ἐκ[p] σύ[rpg-p] ὑστερέω[vnxa]. **v.2** καί[c] γάρ[c] εἰμί[vipx1p] εὐαγγελίζω[vpxpnmp] καθάπερ[bo] κἀκεῖνος[rdnmp] ἀλλά[c] οὐ[xo] ὠφελέω[viaa3s] ὁ[dnms] λόγος[nnms] ὁ[dgfs] ἀκοή[ngfs] ἐκεῖνος[rdamp] μή[xo] συγκεράννυμι[vpxpnms] ὁ[ddfs] πίστις[ndfs] ὁ[ddmp] ἀκούω[vpaadmp]. **v.3** εἰσέρχομαι[vipn1p] γάρ[c] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] ὁ[dnmp] πιστεύω[vpaanmp] καθώς[bo] λέγω[vixa3s] ὡς[bo] ὀμνύω[viaa1s] ἐν[p] ὁ[ddfs] ὀργή[ndfs] ἐγώ[rpg-s] εἰ[qo] εἰσέρχομαι[vifd3p] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] ἐγώ[rpg-s] καίτοι[c] ὁ[dgnp] ἔργον[ngnp] ἀπό[p] καταβολή[ngfs] κόσμος[ngms] γίνομαι[vpaognp].

ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ. καὶ ἐν τούτῳ πάλιν Εἰ εἰσελεύ- 5
σονται εἰς τὴν κατάπαυσίν μου. ἐπεὶ οὖν ἀπολείπεται τινὰς 6
εἰσελθεῖν εἰς αὐτήν καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλ-
θον δι' ἀπείθειαν. πάλιν τινὰ ὁρίζει ἡμέραν Σήμερον ἐν Δαβὶδ 7
λέγων μετὰ τοσοῦτον χρόνον καθὼς εἴρηται, Σήμερον ἐὰν τῆς
φωνῆς αὐτοῦ ἀκούσητε μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. εἰ 8
γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν οὐκ ἂν περὶ ἄλλης ἐλάλει με-
τὰ ταῦτα ἡμέρας. ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ 9
θεοῦ. ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς 10
κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ θε-
ός. σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν 11
ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. Ζῶν 12
γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν
μάχαιραν δίστομον καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε
καὶ πνεύματος ἁρμῶν τὲ καὶ μυελῶν καὶ κριτικὸς ἐνθυμήσεων
καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐ- 13
τοῦ πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ
πρὸς ὃν ἡμῖν ὁ λόγος. Ἔχοντες οὖν ἀρχιερέα μέγαν διελη- 14
λυθότα τοὺς οὐρανούς Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ κρατῶμεν τῆς
ὁμολογίας. οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπα- 15
θῆσαι ταῖς ἀσθενείαις ἡμῶν πεπειραμένον δὲ κατὰ πάντα καθ

---

v.4 λέγω[vixa3s] γάρ[c] πού[xo] περί[p] ὁ[dgfs] ἕβδομος[agfsn] οὕτω[bo] καί[c] καταπαύω[viaa3s] ὁ[dnms] θεός[nnms] ἐν[p] ὁ[ddfs] ἡμέρα[ndfs] ὁ[ddfs] ἕβδομος[adfsn] ἀπό[p] πᾶς[agnpn] ὁ[dgnp] ἔργον[ngnp] αὐτός[rpgms]. **v.5** καί[c] ἐν[p] οὗτος[rddms] πάλιν[bo] εἰ[qo] εἰσέρχομαι[vifd3p] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] ἐγώ[rpg-s]. **v.6** ἐπεί[c] οὖν[c] ἀπολείπω[vipp3s] τι-σριαμπ εἰσέρχομαι[vnaa] εἰς[p] αὐτός[rpafs] καί[c] ὁ[dnmp] πρότερος[bo] εὐαγγελίζω[vpapnmp] οὐ[xo] εἰσέρχομαι[viaa3p] διά[p] ἀπείθεια[nafs]. **v.7** πάλιν[bo] τι-σριαφσ ὁρίζω[vipa3s] ἡμέρα[nafs] σήμερον[bo] ἐν[p] Δαυίδ[tp] λέγω[vppanms] μετά[p] τοσοῦτος[rdams] χρόνος[nams] καθώς[bo] λέγω[vixp3s] σήμερον[bo] ἐάν[qo] ὁ[dgfs] φωνή[ngfs] αὐτός[rpgms] ἀκούω[vsaa2p] μή[xo] σκληρύνω[vspa2p] ὁ[dafp] καρδία[nafp] σύ[rpg-p]. **v.8** εἰ[qo] γάρ[c] αὐτός[rpamp] Ἰησοῦς[nnms] καταπαύω[viaa3s] οὐ[xo] ἄν[xo] περί[p] ἄλλος[agfsn] λαλέω[viia3s] μετά[p] οὗτος[rdanp] ἡμέρα[ngfs]. **v.9** ἄρα[xo] ἀπολείπω[vipp3s] σαββατισμός[nnms] ὁ[ddms] λαός[ndms] ὁ[dgms] θεός[ngms]. **v.10** ὁ[dnms] γάρ[c] εἰσέρχομαι[vpaanms] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] αὐτός[rpgms] καί[c] αὐτός[rpnms] καταπαύω[viaa3s] ἀπό[p] ὁ[dgnp] ἔργον[ngnp] αὐτός[rpgms] ὥσπερ[bo] ἀπό[p] ὁ[dgnp] ἴδιος[agnpn] ὁ[dnms] θεός[nnms]. **v.11** σπουδάζω[vsaa1p] οὖν[c] εἰσέρχομαι[vnaa] εἰς[p] ἐκεῖνος[rdafs] ὁ[dafs] κατάπαυσις[nafs] ἵνα[c] μή[xo] ἐν[p] ὁ[ddns] αὐτός[rpdns] τι-σ-ρινμσ ὑπόδειγμα[ndns] πίπτω[vsaa3s] ὁ[dgfs] ἀπείθεια[ngfs]. **v.12** ζάω[vppanms] γάρ[c] ὁ[dnms] λόγος[nnms] ὁ[dgms] θεός[ngms] καί[c] ἐνεργής[anmsn] καί[c] τομός[anmsc] ὑπέρ[p] πᾶς[aafsn] μάχαιρα[nafs] δίστομος[aafsn] καί[c] διϊκνέομαι[vppnnms] ἄχρι[p] μερισμός[ngms] ψυχή[ngfs] τέ[xo] καί[c] πνεῦμα[ngns] ἁρμός[ngmp] τέ[xo] καί[c] μυελός[ngmp] καί[c] κριτικός[anmsn] ἐνθύμησις[ngfp] καί[c] ἔννοια[ngfp] καρδία[ngfs]. **v.13** καί[c] οὐ[xo] εἰμί[vipx3s] κτίσις[nnfs] ἀφανής[anfsn] ἐνώπιον[bo] αὐτός[rpgms] πᾶς[annpn] δέ[c] γυμνός[annpn] καί[c] τραχηλίζω[vpxpnnp] ὁ[ddmp] ὀφθαλμός[ndmp] αὐτός[rpgms] πρός[p] ὅς[rrams] ἐγώ[rpd-p] ὁ[dnms] λόγος[nnms]. **v.14** ἔχω[vppanmp] οὖν[c] ἀρχιερεύς[nams] μέγας[aamsn] διέρχομαι[vpxaams] ὁ[damp] οὐρανός[namp] Ἰησοῦς[nams] ὁ[dams] υἱός[nams] ὁ[dgms] θεός[ngms] κρατέω[vspa1p] ὁ[dgfs] ὁμολογία[ngfs].

16 ὁμοιότητα χωρὶς ἁμαρτίας. προσερχώμεθα οὖν μετὰ παρρη-
σίας τῷ θρόνῳ τῆς χάριτος ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρω-
μεν εἰς εὔκαιρον βοήθειαν.
5 Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀν-
θρώπων καθίσταται τὰ πρὸς τὸν θεόν ἵνα προσφέρῃ δῶρά τε καὶ
2 θυσίας ὑπὲρ ἁμαρτιῶν. μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦ-
3 σιν καὶ πλανωμένοις ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν. καὶ
διὰ ταὐτὴν ὀφείλει καθὼς περὶ τοῦ λαοῦ οὕτως καὶ περὶ ἑαυ-
4 τοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. καὶ οὐχ ἑαυτῷ τις λαμβάνει
τὴν τιμήν ἀλλὰ ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ καθάπερ καὶ ὁ
5 Ἀαρών. Οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν γενηθῆ-
ναι ἀρχιερέα ἀλλ ὁ λαλήσας πρὸς αὐτόν Υἱός μου εἶ σύ ἐγὼ
6 σήμερον γεγέννηκά σε, καθὼς καὶ ἐν ἑτέρῳ λέγει Σὺ ἱερεὺς
7 εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισέδεκ. ὃς ἐν ταῖς ἡμέραις
τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον
σῴζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων
8 προσενέγκας καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας. καίπερ ὢν
9 υἱὸς ἔμαθεν ἀφ ὧν ἔπαθεν τὴν ὑπακοήν. καὶ τελειωθεὶς ἐ-
γένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου.
10 προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχι-
11 σέδεκ. Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος λέγειν

---

v.15 οὐ[xo] γάρ[c] ἔχω[vipa1p] ἀρχιερεύς[nams] μή[xo] δύναμαι[vppnams] συμπαθέω[vnaa] ὁ[ddfp] ἀσθένεια[ndfp] ἐγώ[rpg-p] πειράομαι[vpxpams] δέ[c] κατά[p] πᾶς[aanpn] κατά[p] ὁμοιότης[nafs] χωρίς[bo] ἁμαρτία[ngfs]. **v.16** προσέρχομαι[vspn1p] οὖν[c] μετά[p] παρρησία[ngfs] ὁ[ddms] θρόνος[ndms] ὁ[dgfs] χάρις[ngfs] ἵνα[c] λαμβάνω[vsaa1p] ἔλεος[nams] καί[c] χάρις[nafs] εὑρίσκω[vsaa1p] εἰς[p] εὔκαιρος[aafsn] βοήθεια[nafs]. **5. v.1** πᾶς[anmsn] γάρ[c] ἀρχιερεύς[nnms] ἐκ[p] ἄνθρωπος[ngmp] λαμβάνω[vpppnms] ὑπέρ[p] ἄνθρωπος[ngmp] καθίστημι[vipp3s] ὁ[danp] πρός[p] ὁ[dams] θεός[nams] ἵνα[c] προσφέρω[vspa3s] δῶρον[nanp] τέ[xo] καί[c] θυσία[nafp] ὑπέρ[p] ἁμαρτία[ngfp]. **v.2** μετριοπαθέω[vnpa] δύναμαι[vppnnms] ὁ[ddmp] ἀγνοέω[vppadmp] καί[c] πλανάω[vpppdmp] ἐπεί[c] καί[c] αὐτός[rpnms] περίκειμαι[vipn3s] ἀσθένεια[nafs]. **v.3** καί[c] διά[p] οὗτος[rdafs] ὀφείλω[vipa3s] καθώς[bo] περί[p] ὁ[dgms] λαός[ngms] οὕτω[bo] καί[c] περί[p] ἑαυτοῦ[rxgms] προσφέρω[vnpa] ὑπέρ[p] ἁμαρτία[ngfp]. **v.4** καί[c] οὐ[xo] ἑαυτοῦ[rxdms] τι-σρινμσ λαμβάνω[vipa3s] ὁ[dafs] τιμή[nafs] ἀλλά[c] ὁ[dnms] καλέω[vpppnms] ὑπό[p] ὁ[dgms] θεός[ngms] καθάπερ[bo] καί[c] ὁ[dnms] Ἀαρών[tp]. **v.5** οὕτω[bo] καί[c] ὁ[dnms] Χριστός[nnms] οὐ[xo] ἑαυτοῦ[rxams] δοξάζω[viaa3s] γίνομαι[vnao] ἀρχιερεύς[nams] ἀλλά[c] ὁ[dnms] λαλέω[vpaanms] πρός[p] αὐτός[rpams] υἱός[nnms] ἐγώ[rpg-s] εἰμί[vipx2s] σύ[rpn-s] ἐγώ[rpn-s] σήμερον[bo] γεννάω[vixa1s] σύ[rpa-s]. **v.6** καθώς[bo] καί[c] ἐν[p] ἕτερος[admsn] λέγω[vipa3s] σύ[rpn-s] ἱερεύς[nnms] εἰς[p] ὁ[dams] αἰών[nams] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp]. **v.7** ὅς[rrnms] ἐν[p] ὁ[ddfp] ἡμέρα[ndfp] ὁ[dgfs] σάρξ[ngfs] αὐτός[rpgms] δέησις[nafp] τέ[xo] καί[c] ἱκετηρία[nafp] πρός[p] ὁ[dams] δύναμαι[vppnams] σῴζω[vnpa] αὐτός[rpams] ἐκ[p] θάνατος[ngms] μετά[p] κραυγή[ngfs] ἰσχυρός[agfsn] καί[c] δάκρυον[ngnp] προσφέρω[vpaanms] καί[c] εἰσακούω[vpapnms] ἀπό[p] ὁ[dgfs] εὐλάβεια[ngfs]. **v.8** καίπερ[c] εἰμί[vppxnms] υἱός[nnms] μανθάνω[viaa3s] ἀπό[p] ὅς[rrgnp] πάσχω[viaa3s] ὁ[dafs] ὑπακοή[nafs]. **v.9** καί[c] τελειόω[vpapnms] γίνομαι[viad3s] ὁ[ddmp] ὑπακούω[vppadmp] αὐτός[rpdms] πᾶς[admpn] αἴτιος[anmsn] σωτηρία[ngfs] αἰώνιος[agfsn]. **v.10** προσαγορεύω[vpapnms] ὑπό[p] ὁ[dgms] θεός[ngms] ἀρχιερεύς[nnms] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp].

ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. καὶ γὰρ ὀφείλοντες εἶναι 12
διδάσκαλοι διὰ τὸν χρόνον πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν
ὑμᾶς τινὰ τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ καὶ γε-
γόνατε χρείαν ἔχοντες γάλακτος καὶ οὐ στερεᾶς τροφῆς. πᾶς 13
γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης νήπιος
γάρ ἐστιν, τελείων δέ ἐστιν ἡ στερεὰ τροφή τῶν διὰ τὴν ἕξιν 14
τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε
καὶ κακοῦ.

Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον ἐπὶ τὴν τελειό- **6**
τητα φερώμεθα μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας
ἀπὸ νεκρῶν ἔργων καὶ πίστεως ἐπὶ θεόν. βαπτισμῶν διδαχῆς 2
ἐπιθέσεώς τε χειρῶν ἀναστάσεώς τε νεκρῶν καὶ κρίματος αἰω-
νίου. καὶ τοῦτο ποιήσομεν ἐάνπερ ἐπιτρέπῃ ὁ θεός. Ἀδύνα- 3, 4
τον γὰρ τοὺς ἅπαξ φωτισθέντας γευσαμένους τε τῆς δωρεᾶς τῆς
ἐπουρανίου καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου. καὶ 5
καλὸν γευσαμένους θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος.
καὶ παραπεσόντας πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν ἀνασταυ- 6
ροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας.
γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν καὶ 7
τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται μετα-
λαμβάνει εὐλογίας ἀπὸ τοῦ θεοῦ, ἐκφέρουσα δὲ ἀκάνθας καὶ 8
τριβόλους ἀδόκιμος καὶ κατάρας ἐγγύς ἧς τὸ τέλος εἰς καῦ-

---

v.11 περί[p] ὅς[rrgms] πολύς[anmsn] ἐγώ[rpd-p] ὁ[dnms] λόγος[nnms] καί[c] δυσερμήνευτος[anmsn] λέγω[vnpa] ἐπεί[c] νωθρός[anmpn] γίνομαι[vixa2p] ὁ[ddfp] ἀκοή[ndfp]. **v.12** καί[c] γάρ[c] ὀφείλω[vppanmp] εἰμί[vnpx] διδάσκαλος[nnmp] διά[p] ὁ[dams] χρόνος[nams] πάλιν[bo] χρεία[nafs] ἔχω[vipa2p] ὁ[dgms] διδάσκω[vnpa] σύ[rpa-p] τι-σρχννπ ὁ[dnnp] στοιχεῖον[nnnp] ὁ[dgfs] ἀρχή[ngfs] ὁ[dgnp] λόγιον[ngnp] ὁ[dgms] θεός[ngms] καί[c] γίνομαι[vixa2p] χρεία[nafs] ἔχω[vppanmp] γάλα[ngns] καί[c] οὐ[xo] στερεός[agfsn] τροφή[ngfs]. **v.13** πᾶς[anmsn] γάρ[c] ὁ[dnms] μετέχω[vppanms] γάλα[ngns] ἄπειρος[anmsn] λόγος[ngms] δικαιοσύνη[ngfs] νήπιος[anmsn] γάρ[c] εἰμί[vipx3s]. **v.14** τέλειος[agmpn] δέ[c] εἰμί[vipx3s] ὁ[dnfs] στερεός[anfsn] τροφή[nnfs] ὁ[dgmp] διά[p] ὁ[dafs] ἕξις[nafs] ὁ[danp] αἰσθητήριον[nanp] γυμνάζω[vpxpanp] ἔχω[vppagmp] πρός[p] διάκρισις[nafs] καλός[agnsn] τέ[xo] καί[c] κακός[agnsn]. **6. v.1** διό[c] ἀφίημι[vpaanmp] ὁ[dams] ὁ[dgfs] ἀρχή[ngfs] ὁ[dgms] Χριστός[ngms] λόγος[nams] ἐπί[p] ὁ[dafs] τελειότης[nafs] φέρω[vspp1p] μή[xo] πάλιν[bo] θεμέλιος[nams] καταβάλλω[vppmnmp] μετάνοια[ngfs] ἀπό[p] νεκρός[agnpn] ἔργον[ngnp] καί[c] πίστις[ngfs] ἐπί[p] θεός[nams]. **v.2** βαπτισμός[ngmp] διδαχή[ngfs] ἐπίθεσις[ngfs] τέ[xo] χείρ[ngfp] ἀνάστασις[ngfs] τέ[xo] νεκρός[agmpn] καί[c] κρίμα[ngns] αἰώνιος[agnsn]. **v.3** καί[c] οὗτος[rdans] ποιέω[vifa1p] ἐάνπερ[qo] ἐπιτρέπω[vspa3s] ὁ[dnms] θεός[nnms]. **v.4** ἀδύνατος[annsn] γάρ[c] ὁ[damp] ἅπαξ[bo] φωτίζω[vpapamp] γεύομαι[vpadamp] τέ[xo] ὁ[dgfs] δωρεά[ngfs] ὁ[dgfs] ἐπουράνιος[agfsn] καί[c] μέτοχος[aampn] γίνομαι[vpaoamp] πνεῦμα[ngns] ἅγιος[agnsn]. **v.5** καί[c] καλός[aansn] γεύομαι[vpadamp] θεός[ngms] ῥῆμα[nans] δύναμις[nafp] τέ[xo] μέλλω[vppagms] αἰών[ngms]. **v.6** καί[c] παραπίπτω[vpaaamp] πάλιν[bo] ἀνακαινίζω[vnpa] εἰς[p] μετάνοια[nafs] ἀνασταυρόω[vppaamp] ἑαυτοῦ[rxdmp] ὁ[dams] υἱός[nams] ὁ[dgms] θεός[ngms] καί[c] παραδειγματίζω[vppaamp]. **v.7** γῆ[nnfs] γάρ[c] ὁ[dnfs] πίνω[vpaanfs] ὁ[dams] ἐπί[p] αὐτός[rpgfs] πολλάκις[bo] ἔρχομαι[vppnams] ὑετός[nams] καί[c] τίκτω[vppanfs] βοτάνη[nafs] εὔθετος[aafsn] ἐκεῖνος[rddmp] διά[p] ὅς[rramp] καί[c] γεωργέω[vipp3s] μεταλαμβάνω[vipa3s] εὐλογία[ngfs] ἀπό[p] ὁ[dgms] θεός[ngms].

9 σιν. Πεπείσμεθα δὲ περὶ ὑμῶν ἀγαπητοί τὰ κρείττονα καὶ
10 ἐχόμενα σωτηρίας εἰ καὶ οὕτως λαλοῦμεν. οὐ γὰρ ἄδικος ὁ
θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης
ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ διακονήσαντες τοῖς ἁγίοις
11 καὶ διακονοῦντες. ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν
ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄ-
12 χρι τέλους. ἵνα μὴ νωθροὶ γένησθε μιμηταὶ δὲ τῶν διὰ πίστεως
13 καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας. Τῷ γὰρ
Ἀβραὰμ ἐπαγγειλάμενος ὁ θεός ἐπεὶ κατ οὐδενὸς εἶχεν μείζονος
14 ὀμόσαι ὤμοσεν καθ ἑαυτοῦ. λέγων˜ Ἠ μὴν εὐλογῶν εὐλογήσω
15 σε καὶ πληθύνων πληθυνῶ σε, καὶ οὕτως μακροθυμήσας ἐπέ-
16 τυχεν τῆς ἐπαγγελίας. ἄνθρωποι μεν γὰρ κατὰ τοῦ μείζονος
ὀμνύουσιν καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ
17 ὅρκος, ἐν ᾧ περισσότερον βουλόμενος ὁ θεὸς ἐπιδεῖξαι τοῖς
κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ
18 ἐμεσίτευσεν ὅρκῳ. ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων ἐν οἷς
ἀδύνατον ψεύσασθαι θεόν ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ κα-
19 ταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος, ἣν ὡς ἄγκυ-
ραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν καὶ εἰσερχομένην
20 εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος. ὅπου πρόδρομος ὑπὲρ
ἡμῶν εἰσῆλθεν Ἰησοῦς κατὰ τὴν τάξιν Μελχισέδεκ ἀρχιερεὺς

---

v.8 ἐκφέρω[vppanfs] δέ[c] ἄκανθα[nafp] καί[c] τρίβολος[namp] ἀδόκιμος[anmsn] καί[c] κατάρα[ngfs] ἐγγύς[bo] ὅς[rrgfs] ὁ[dnns] τέλος[nnns] εἰς[p] καῦσις[nafs]. **v.9** πείθω[vixp1p] δέ[c] περί[p] σύ[rpg-p] ἀγαπητός[avmpn] ὁ[danp] κρείττων[aanpn] καί[c] ἔχω[vpppanp] σωτηρία[ngfs] εἰ[qo] καί[c] οὕτω[bo] λαλέω[vipa1p]. **v.10** οὐ[xo] γάρ[c] ἄδικος[anmsn] ὁ[dnms] θεός[nnms] ἐπιλανθάνομαι[vnad] ὁ[dgns] ἔργον[ngns] σύ[rpg-p] καί[c] ὁ[dgms] κόπος[ngms] ὁ[dgfs] ἀγάπη[ngfs] ὅς[rrgfs] ἐνδείκνυμι[viam2p] εἰς[p] ὁ[dans] ὄνομα[nans] αὐτός[rpgms] διακονέω[vpaanmp] ὁ[ddmp] ἅγιος[admpn] καί[c] διακονέω[vppanmp]. **v.11** ἐπιθυμέω[vipa1p] δέ[c] ἕκαστος[aamsn] σύ[rpg-p] ὁ[dafs] αὐτός[rpafs] ἐνδείκνυμι[vnpm] σπουδή[nafs] πρός[p] ὁ[dafs] πληροφορία[nafs] ὁ[dgfs] ἐλπίς[ngfs] ἄχρι[p] τέλος[ngns]. **v.12** ἵνα[c] μή[xo] νωθρός[anmpn] γίνομαι[vsad2p] μιμητής[nnmp] δέ[c] ὁ[dgmp] διά[p] πίστις[ngfs] καί[c] μακροθυμία[ngfs] κληρονομέω[vppagmp] ὁ[dafp] ἐπαγγελία[nafp]. **v.13** ὁ[ddms] γάρ[c] Ἀβραάμ[tp] ἐπαγγέλλομαι[vpadnms] ὁ[dnms] θεός[nnms] ἐπεί[c] κατά[p] οὐδείς[agmsn] ἔχω[viia3s] μέγας[agmsc] ὀμνύω[vnaa] ὀμνύω[viaa3s] κατά[p] ἑαυτοῦ[rxgms]. **v.14** λέγω[vppanms] ἤ[xo] μήν[xo] εὐλογέω[vppanms] εὐλογέω[vifa1s] σύ[rpa-s] καί[c] πληθύνω[vppanms] πληθύνω[vifa1s] σύ[rpa-s]. **v.15** καί[c] οὕτω[bo] μακροθυμέω[vpaanms] ἐπιτυγχάνω[viaa3s] ὁ[dgfs] ἐπαγγελία[ngfs]. **v.16** ἄνθρωπος[nnmp] μέν[xo] γάρ[c] κατά[p] ὁ[dgms] μέγας[agmsc] ὀμνύω[vipa3p] καί[c] πᾶς[agfsn] αὐτός[rpdmp] ἀντιλογία[ngfs] πέρας[nnns] εἰς[p] βεβαίωσις[nafs] ὁ[dnms] ὅρκος[nnms]. **v.17** ἐν[p] ὅς[rrdms] περισσός[annsc] βούλομαι[vppnnms] ὁ[dnms] θεός[nnms] ἐπιδείκνυμι[vnaa] ὁ[ddmp] κληρονόμος[ndmp] ὁ[dgfs] ἐπαγγελία[ngfs] ὁ[dans] ἀμετάθετος[aansn] ὁ[dgfs] βουλή[ngfs] αὐτός[rpgms] μεσιτεύω[viaa3s] ὅρκος[ndms]. **v.18** ἵνα[c] διά[p] δύο[tn] πρᾶγμα[ngnp] ἀμετάθετος[agnpn] ἐν[p] ὅς[rrdnp] ἀδύνατος[annsn] ψεύδομαι[vnad] θεός[nams] ἰσχυρός[aafsn] παράκλησις[nafs] ἔχω[vspa1p] ὁ[dnmp] καταφεύγω[vpaanmp] κρατέω[vnaa] ὁ[dgfs] πρόκειμαι[vppngfs] ἐλπίς[ngfs]. **v.19** ὅς[rrafs] ὡς[bo] ἄγκυρα[nafs] ἔχω[vipa1p] ὁ[dgfs] ψυχή[ngfs] ἀσφαλής[aafsn] τέ[xo] καί[c] βέβαιος[aafsn] καί[c] εἰσέρχομαι[vppnafs] εἰς[p] ὁ[dans] ἐσώτερος[aansn] ὁ[dgns] καταπέτασμα[ngns].

γενόμενος εἰς τὸν αἰῶνα.
Οὗτος γὰρ ὁ Μελχισέδεκ βασιλεὺς Σαλήμ ἱερεὺς τοῦ θεοῦ **7**
τοῦ ὑψίστου ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κο-
πῆς τῶν βασιλέων καὶ εὐλογήσας αὐτόν. ᾧ καὶ δεκάτην ἀπὸ 2
πάντων ἐμέρισεν Ἀβραάμ πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς
δικαιοσύνης ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ ὅ ἐστιν βασιλεὺς
εἰρήνης. ἀπάτωρ ἀμήτωρ ἀγενεαλόγητος μήτε ἀρχὴν ἡμε- 3
ρῶν μήτε ζωῆς τέλος ἔχων ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ
μένει ἱερεὺς εἰς τὸ διηνεκές. Θεωρεῖτε δὲ πηλίκος οὗτος ᾧ 4
καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.
καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες ἐντο- 5
λὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον τοῦτ΄ἔστιν
τοὺς ἀδελφοὺς αὐτῶν καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀ-
βραάμ, ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν δεδεκάτωκεν τὸν 6
Ἀβραάμ καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκεν. χωρὶς δὲ 7
πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.
καὶ ὧδε μὲν δεκάτας ἀποθνῄσκοντες ἄνθρωποι λαμβάνουσιν ἐ- 8
κεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ. καὶ ὡς ἔπος εἰπεῖν διὰ Ἀβραὰμ 9
καὶ Λευὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται, ἔτι γὰρ ἐν τῇ ὀσφύϊ 10
τοῦ πατρὸς ἦν ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισέδεκ. Εἰ μὲν οὖν 11
τελείωσις διὰ τῆς Λευιτικῆς ἱερωσύνης ἦν ὁ λαὸς γὰρ ἐπ αὐτῇ
νενομοθέτητο, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισέδεκ ἕτερον

---

v.20 ὅπου[bo] πρόδρομος[anmsn] ὑπέρ[p] ἐγώ[rpg-p] εἰσέρχομαι[viaa3s] Ἰησοῦς[nnms] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp] ἀρχιερεύς[nnms] γίνομαι[vpadnms] εἰς[p] ὁ[dams] αἰών[nams]. **7. v.1** οὗτος[rdnms] γάρ[c] ὁ[dnms] Μελχισέδεκ[tp] βασιλεύς[nnms] Σαλήμ[tp] ἱερεύς[nnms] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ὕψιστος[agmsn] ὁ[dnms] συναντάω[vpaanms] Ἀβραάμ[tp] ὑποστρέφω[vppadms] ἀπό[p] ὁ[dgfs] κοπή[ngfs] ὁ[dgmp] βασιλεύς[ngmp] καί[c] εὐλογέω[vpaanms] αὐτός[rpams]. **v.2** ὅς[rrdms] καί[c] δέκατος[aafsn] ἀπό[p] πᾶς[agnpn] μερίζω[viaa3s] Ἀβραάμ[tp] πρῶτος[bo] μέν[xo] ἑρμηνεύω[vppnms] βασιλεύς[nnms] δικαιοσύνη[ngfs] ἔπειτα[bo] δέ[c] καί[c] βασιλεύς[nnms] Σαλήμ[tp] ὅς[rrnns] εἰμί[vipx3s] βασιλεύς[nnms] εἰρήνη[ngfs]. **v.3** ἀπάτωρ[anmsn] ἀμήτωρ[anmsn] ἀγενεαλόγητος[anmsn] μήτε[c] ἀρχή[nafs] ἡμέρα[ngfp] μήτε[c] ζωή[ngfs] τέλος[nans] ἔχω[vppanms] ἀφομοιόω[vpxpnms] δέ[c] ὁ[ddms] υἱός[ndms] ὁ[dgms] θεός[ngms] μένω[vipa3s] ἱερεύς[nnms] εἰς[p] ὁ[dans] διηνεκής[aansn]. **v.4** θεωρέω[vipa2p] δέ[c] πηλίκος[anmsn] οὗτος[rdnms] ὅς[rrdms] καί[c] δέκατος[aafsn] Ἀβραάμ[tp] δίδωμι[viaa3s] ἐκ[p] ὁ[dgnp] ἀκροθίνιον[ngnp] ὁ[dnms] πατριάρχης[nnms]. **v.5** καί[c] ὁ[dnmp] μέν[xo] ἐκ[p] ὁ[dgmp] υἱός[ngmp] Λευί[tp] ὁ[dafs] ἱερατεία[nafs] λαμβάνω[vppanmp] ἐντολή[nafs] ἔχω[vipa3p] ἀποδεκατόω[vnpa] ὁ[dams] λαός[nams] κατά[p] ὁ[dams] νόμος[nams] εἰμί[rdnns] ὁ[damp] ἀδελφός[namp] αὐτός[rpgmp] καίπερ[c] ἐξέρχομαι[vpxaamp] ἐκ[p] ὁ[dgfs] ὀσφύς[ngfs] Ἀβραάμ[tp]. **v.6** ὁ[dnms] δέ[c] μή[xo] γενεαλογέω[vpppnms] ἐκ[p] αὐτός[rpgmp] δεκατόω[vixa3s] ὁ[dams] Ἀβραάμ[tp] καί[c] ὁ[dams] ἔχω[vppaams] ὁ[dafp] ἐπαγγελία[nafp] εὐλογέω[vixa3s]. **v.7** χωρίς[bo] δέ[c] πᾶς[agfsn] ἀντιλογία[ngfs] ὁ[dnns] ἐλάσσων[annsn] ὑπό[p] ὁ[dgms] κρείττων[agmsn] εὐλογέω[vipp3s]. **v.8** καί[c] ὧδε[bo] μέν[xo] δέκατος[aafpn] ἀποθνῄσκω[vppanmp] ἄνθρωπος[nnmp] λαμβάνω[vipa3p] ἐκεῖ[bo] δέ[c] μαρτυρέω[vpppnms] ὅτι[c] ζάω[vipa3s]. **v.9** καί[c] ὡς[bo] ἔπος[nans] λέγω[vnaa] διά[p] Ἀβραάμ[tp] καί[c] Λευί[tp] ὁ[dnms] δέκατος[aafpn] λαμβάνω[vppanms] δεκατόω[vixp3s]. **v.10** ἔτι[bo] γάρ[c] ἐν[p] ὁ[ddfs] ὀσφύς[ndfs] ὁ[dgms] πατήρ[ngms] εἰμί[viix3s] ὅτε[bo] συναντάω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] Μελχισέδεκ[tp].

12 ἀνίστασθαι ἱερέα καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι. μετα-
τιθεμένης γὰρ τῆς ἱερωσύνης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις
13 γίνεται. ἐφ ὃν γὰρ λέγεται ταῦτα φυλῆς ἑτέρας μετέσχηκεν
14 ἀφ ἧς οὐδεὶς προσέσχηκεν τῷ θυσιαστηρίῳ, πρόδηλον γὰρ ὅτι
ἐξ Ἰούδα ἀνατέταλκεν ὁ κύριος ἡμῶν εἰς ἣν φυλὴν οὐδὲν περὶ
15 ἱερωσυνής Μωσῆς ἐλάλησεν. καὶ περισσότερον ἔτι κατάδηλόν
ἐστιν εἰ κατὰ τὴν ὁμοιότητα Μελχισέδεκ ἀνίσταται ἱερεὺς ἕτε-
16 ρος. ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκίκης γέγονεν ἀλλὰ κατὰ
17 δύναμιν ζωῆς ἀκαταλύτου. μαρτυρεῖ γὰρ ὅτι Σὺ ἱερεὺς εἰς τὸν
18 αἰῶνα κατὰ τὴν τάξιν Μελχισέδεκ. ἀθέτησις μὲν γὰρ γίνεται
19 προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές. οὐ-
δὲν γὰρ ἐτελείωσεν ὁ νόμος ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος
20 δι' ἧς ἐγγίζομεν τῷ θεῷ. Καὶ καθ ὅσον οὐ χωρὶς ὁρκωμοσίας,
21 οἵ μέν γάρ χωρίς ὁρκωμοσίας εἰσιν ἱερεῖς γεγονότες ὁ δὲ μετὰ
ὁρκωμοσίας, διὰ τοῦ λέγοντος πρὸς αὐτόν, Ὤμοσεν κύριος καὶ
οὐ μεταμεληθήσεται, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν
22 Μελχισεδέκ. κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγ-
23 γυος Ἰησοῦς. καὶ οἱ μὲν πλειονές εἰσιν γεγονότες ἱερεῖς διὰ
24 τὸ θανάτῳ κωλύεσθαι παραμένειν, ὁ δὲ διὰ τὸ μένειν αὐτὸν
25 εἰς τὸν αἰῶνα ἀπαράβατον ἔχει τὴν ἱερωσύνην, ὅθεν καὶ σῴ-
ζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ

---

v.11 εἰ[qo] μέν[xo] οὖν[c] τελείωσις[nnfs] διά[p] ὁ[dgfs] Λευιτικός[agfsn] ἱερωσύνη[ngfs] εἰμί[viix3s] ὁ[dnms] λαός[nnms] γάρ[c] ἐπί[p] αὐτός[rpdfs] νομοθετέω[viyp3s] τίς[rqnfs] ἔτι[bo] χρεία[nnfs] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp] ἕτερος[aamsn] ἀνίστημι[vnpm] ἱερεύς[nams] καί[c] οὐ[xo] κατά[p] ὁ[dafs] τάξις[nafs] Ἀαρών[tp] λέγω[vnpp]. **v.12** μετατίθημι[vppgfs] γάρ[c] ὁ[dgfs] ἱερωσύνη[ngfs] ἐκ[p] ἀνάγκη[ngfs] καί[c] νόμος[ngms] μετάθεσις[nnfs] γίνομαι[vipn3s]. **v.13** ἐπί[p] ὅς[rrams] γάρ[c] λέγω[vipp3s] οὗτος[rdnnp] φυλή[ngfs] ἕτερος[agfsn] μετέχω[vixa3s] ἀπό[p] ὅς[rrgfs] οὐδείς[anfsn] προσέχω[vixa3s] ὁ[ddns] θυσιαστήριον[ndns]. **v.14** πρόδηλος[annsn] γάρ[c] ὅτι[c] ἐκ[p] Ἰούδας[ngms] ἀνατέλλω[vixa3s] ὁ[dnms] κύριος[nnms] ἐγώ[rpg-p] εἰς[p] ὅς[rrafs] φυλή[nafs] οὐδείς[aansn] περί[p] ἱερωσύνη[ngfs] Μωϋσῆς[nnms] λαλέω[viaa3s]. **v.15** καί[c] περισσός[annsc] ἔτι[bo] κατάδηλος[annsn] εἰμί[vipx3s] εἰ[qo] κατά[p] ὁ[dafs] ὁμοιότης[nafs] Μελχισέδεκ[tp] ἀνίστημι[vipm3s] ἱερεύς[nnms] ἕτερος[anmsn]. **v.16** ὅς[rrnms] οὐ[xo] κατά[p] νόμος[nams] ἐντολή[ngfs] σαρκικός[agfsn] γίνομαι[vixa3s] ἀλλά[c] κατά[p] δύναμις[nafs] ζωή[ngfs] ἀκατάλυτος[agfsn]. **v.17** μαρτυρέω[vipa3s] γάρ[c] ὅτι[c] σύ[rpn-s] ἱερεύς[nnms] εἰς[p] ὁ[dams] αἰών[nams] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp]. **v.18** ἀθέτησις[nnfs] μέν[xo] γάρ[c] γίνομαι[vipn3s] προάγω[vppagfs] ἐντολή[ngfs] διά[p] ὁ[dans] αὐτός[rpgfs] ἀσθενής[aansn] καί[c] ἀνωφελής[aansn]. **v.19** οὐδείς[aansn] γάρ[c] τελειόω[viaa3s] ὁ[dnms] νόμος[nnms] ἐπεισαγωγή[nnfs] δέ[c] κρείττων[agfsn] ἐλπίς[ngfs] διά[p] ὅς[rrgfs] ἐγγίζω[vipa1p] ὁ[ddms] θεός[ndms]. **v.20** καί[c] κατά[p] ὅσος[rcans] οὐ[xo] χωρίς[bo] ὁρκωμοσία[ngfs]. **v.21** ὁ[dnmp] μέν[xo] γάρ[c] χωρίς[bo] ὁρκωμοσία[ngfs] εἰμί[vipx3p] ἱερεύς[nnmp] γίνομαι[vpxanmp] ὁ[dnms] δέ[c] μετά[p] ὁρκωμοσία[ngfs] διά[p] ὁ[dgms] λέγω[vppagms] πρός[p] αὐτός[rpams] ὀμνύω[viaa3s] κύριος[nnms] καί[c] οὐ[xo] μεταμέλομαι[vifo3s] σύ[rpn-s] ἱερεύς[nnms] εἰς[p] ὁ[dams] αἰών[nams] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp]. **v.22** κατά[p] τοσοῦτος[rdans] κρείττων[agfsn] διαθήκη[ngfs] γίνομαι[vixa3s] ἔγγυος[anmsn] Ἰησοῦς[nnms]. **v.23** καί[c] ὁ[dnmp] μέν[xo] πολύς[anmpc] εἰμί[vipx3p] γίνομαι[vpxanmp] ἱερεύς[nnmp] διά[p] ὁ[dans] θάνατος[ndms] κωλύω[vnpp] παραμένω[vnpa]. **v.24** ὁ[dnms] δέ[c] διά[p] ὁ[dans] μένω[vnpa] αὐτός[rpams] εἰς[p] ὁ[dams] αἰών[nams] ἀπαράβατος[aafsn] ἔχω[vipa3s] ὁ[dafs] ἱερωσύνη[nafs].

θεῷ πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. Τοιοῦτος γὰρ 26
ἡμῖν ἔπρεπεν ἀρχιερεύς ὅσιος ἄκακος ἀμίαντος κεχωρισμένος
ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος.
ὃς οὐκ ἔχει καθ ἡμέραν ἀνάγκην ὥσπερ οἱ ἀρχιερεῖς πρότερον 27
ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν ἔπειτα τῶν τοῦ λα-
οῦ, τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. ὁ νόμος 28
γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν ὁ λό-
γος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα
τετελειωμένον.

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις τοιοῦτον ἔχομεν ἀρχιερέα **8**
ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐ-
ρανοῖς. τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς 2
ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος. πᾶς γὰρ ἀρχιερεὺς 3
εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται, ὅθεν ἀναγ-
καῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ. εἰ μὲν γὰρ ἦν ἐπὶ 4
γῆς οὐδ ἂν ἦν ἱερεύς ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ
τὸν νόμον τὰ δῶρα, οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσιν 5
τῶν ἐπουρανίων καθὼς κεχρημάτισται Μωσῆς μέλλων ἐπιτελεῖν
τὴν σκηνήν Ὅρα γάρ φησίν ποιήσῃς πάντα κατὰ τὸν τύπον
τὸν δειχθέντα σοι ἐν τῷ ὄρει, νυνὶ δὲ διαφορωτέρας τέτευχεν 6
λειτουργίας ὅσῳ καὶ κρείττονός ἐστιν διαθήκης μεσίτης ἥτις

---

v.25 ὅθεν[bo] καί[c] σῴζω[vnpa] εἰς[p] ὁ[dans] παντελής[aansn] δύναμαι[vipn3s] ὁ[damp] προσέρχομαι[vppnamp] διά[p] αὐτός[rpgms] ὁ[ddms] θεός[ndms] πάντοτε[bo] ζάω[vppanms] εἰς[p] ὁ[dans] ἐντυγχάνω[vnpa] ὑπέρ[p] αὐτός[rpgmp]. **v.26** τοιοῦτος[rdnms] γάρ[c] ἐγώ[rpd-p] πρέπω[viia3s] ἀρχιερεύς[nnms] ὅσιος[anmsn] ἄκακος[anmsn] ἀμίαντος[anmsn] χωρίζω[vpxpnms] ἀπό[p] ὁ[dgmp] ἁμαρτωλός[agmpn] καί[c] ὑψηλός[anmsc] ὁ[dgmp] οὐρανός[ngmp] γίνομαι[vpadnms]. **v.27** ὅς[rrnms] οὐ[xo] ἔχω[vipa3s] κατά[p] ἡμέρα[nafs] ἀνάγκη[nafs] ὥσπερ[bo] ὁ[dnmp] ἀρχιερεύς[nnmp] πρότερος[bo] ὑπέρ[p] ὁ[dgfp] ἴδιος[agmpn] ἁμαρτία[ngfp] θυσία[nafp] ἀναφέρω[vnpa] ἔπειτα[bo] ὁ[dgfp] ὁ[dgms] λαός[ngms] οὗτος[rdans] γάρ[c] ποιέω[viaa3s] ἐφάπαξ[bo] ἑαυτοῦ[rxams] ἀναφέρω[vpaanms]. **v.28** ὁ[dnms] νόμος[nnms] γάρ[c] ἄνθρωπος[namp] καθίστημι[vipa3s] ἀρχιερεύς[namp] ἔχω[vppaamp] ἀσθένεια[nafs] ὁ[dnms] λόγος[nnms] δέ[c] ὁ[dgfs] ὁρκωμοσία[ngfs] ὁ[dgfs] μετά[p] ὁ[dams] νόμος[nams] υἱός[nams] εἰς[p] ὁ[dams] αἰών[nams] τελειόω[vpxpams]. **8. v.1** κεφάλαιον[nnns] δέ[c] ἐπί[p] ὁ[ddnp] λέγω[vpppdnp] τοιοῦτος[rdams] ἔχω[vipa1p] ἀρχιερεύς[nams] ὅς[rrnms] καθίζω[viaa3s] ἐν[p] δεξιός[adfsn] ὁ[dgms] θρόνος[ngms] ὁ[dgfs] μεγαλωσύνη[ngfs] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp]. **v.2** ὁ[dgnp] ἅγιος[agnpn] λειτουργός[nnms] καί[c] ὁ[dgfs] σκηνή[ngfs] ὁ[dgfs] ἀληθινός[agfsn] ὅς[rrafs] πήγνυμι[viaa3s] ὁ[dnms] κύριος[nnms] καί[c] οὐ[xo] ἄνθρωπος[nnms]. **v.3** πᾶς[anmsn] γάρ[c] ἀρχιερεύς[nnms] εἰς[p] ὁ[dans] προσφέρω[vnpa] δῶρον[nanp] τέ[xo] καί[c] θυσία[nafp] καθίστημι[vipp3s] ὅθεν[bo] ἀναγκαῖος[annsn] ἔχω[vnpa] τι-σριανσ καί[c] οὗτος[rdams] ὅς[rrans] προσφέρω[vsaa3s]. **v.4** εἰ[qo] μέν[xo] γάρ[c] εἰμί[viix3s] ἐπί[p] γῆ[ngfs] οὐδέ[bo] ἄν[xo] εἰμί[viix3s] ἱερεύς[nnms] εἰμί[vppxgmp] ὁ[dgmp] ἱερεύς[ngmp] ὁ[dgmp] προσφέρω[vppagmp] κατά[p] ὁ[dams] νόμος[nams] ὁ[danp] δῶρον[nanp]. **v.5** ὅστις[rrnmp] ὑπόδειγμα[ndns] καί[c] σκιά[ndfs] λατρεύω[vipa3p] ὁ[dgnp] ἐπουράνιος[agnpn] καθώς[bo] χρηματίζω[vixp3s] Μωϋσῆς[nnms] μέλλω[vppanms] ἐπιτελέω[vnpa] ὁ[dafs] σκηνή[nafs] ὁράω[vdpa2s] γάρ[c] φημί[vipx3s] ποιέω[vsaa2s] πᾶς[aanpn] κατά[p] ὁ[dams] τύπος[nams] ὁ[dams] δείκνυμι[vpapams] σύ[rpd-s] ἐν[p] ὁ[ddns] ὄρος[ndns].

7 ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. Εἰ γὰρ ἡ πρώτη
8 ἐκείνη ἦν ἄμεμπτος οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. μεμ-
φόμενος γὰρ αὐτοῖς λέγει Ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος
καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα
9 διαθήκην καινήν. οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πα-
τράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν
ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν
10 τῇ διαθήκῃ μου κἀγὼ ἠμέλησα αὐτῶν λέγει κύριος, ὅτι αὕτη
ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐ-
κείνας λέγει κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν
καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς καὶ ἔσομαι αὐτοῖς εἰς
11 θεὸν καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν, καὶ οὐ μὴ διδάξωσιν ἕκα-
στος τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγων
Γνῶθι τὸν κύριον ὅτι πάντες εἰδήσουσίν με ἀπὸ μικροῦ αὐτῶν
12 ἕως μεγάλου αὐτῶν. ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ
τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν, οὐ μὴ μνησθῶ ἔτι.
13 ἐν τῷ λέγειν Καινὴν πεπαλαίωκεν τὴν πρώτην, τὸ δὲ παλαιού-
μενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ.
9 εἶχέν μὲν οὖν καὶ ἡ πρώτη σκηνή δικαιώματα λατρείας τό
2 τε ἅγιον κοσμικόν. σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη ἐν ᾗ ἥ
τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων ἥτις λέγεται

---

v.6 νυνί[bo] δέ[c] διάφορος[agfsc] τυγχάνω[vixa3s] λειτουργία[ngfs] ὅσος[rcdns] καί[c] κρείττων[agfsn] εἰμί[vipx3s] διαθήκη[ngfs] μεσίτης[nnms] ὅστις[rrnfs] ἐπί[p] κρείττων[adfpn] ἐπαγγελία[ndfp] νομοθετέω[vixp3s]. **v.7** εἰ[qo] γάρ[c] ὁ[dnfs] πρῶτος[anfsn] ἐκεῖνος[rdnfs] εἰμί[viix3s] ἄμεμπτος[anfsn] οὐ[xo] ἄν[xo] δεύτερος[agfsn] ζητέω[viip3s] τόπος[nnms]. **v.8** μέμφομαι[vppnnms] γάρ[c] αὐτός[rpdmp] λέγω[vipa3s] ἰδού[vdaa2s] ἡμέρα[nnfp] ἔρχομαι[vipn3p] λέγω[vipa3s] κύριος[nnms] καί[c] συντελέω[vifa1s] ἐπί[p] ὁ[dams] οἶκος[nams] Ἰσραήλ[tp] καί[c] ἐπί[p] ὁ[dams] οἶκος[nams] Ἰούδας[ngms] διαθήκη[nafs] καινός[aafsn]. **v.9** οὐ[xo] κατά[p] ὁ[dafs] διαθήκη[nafs] ὅς[rrafs] ποιέω[viaa1s] ὁ[ddmp] πατήρ[ndmp] αὐτός[rpgmp] ἐν[p] ἡμέρα[ndfs] ἐπιλαμβάνομαι[vpadgms] ἐγώ[rpg-s] ὁ[dgfs] χείρ[ngfs] αὐτός[rpgmp] ἐξάγω[vnaa] αὐτός[rpamp] ἐκ[p] γῆ[ngfs] Αἴγυπτος[ngfs] ὅτι[c] αὐτός[rpnmp] οὐ[xo] ἐμμένω[viaa3p] ἐν[p] ὁ[ddfs] διαθήκη[ndfs] ἐγώ[rpg-s] κἀγώ[rpn-s] ἀμελέω[viaa1s] αὐτός[rpgmp] λέγω[vipa3s] κύριος[nnms]. **v.10** ὅτι[c] οὗτος[rdnfs] ὁ[dnfs] διαθήκη[nnfs] ὅς[rrafs] διατίθημι[vifd1s] ὁ[ddms] οἶκος[ndms] Ἰσραήλ[tp] μετά[p] ὁ[dafp] ἡμέρα[nafp] ἐκεῖνος[rdafp] λέγω[vipa3s] κύριος[nnms] δίδωμι[vppanms] νόμος[namp] ἐγώ[rpg-s] εἰς[p] ὁ[dafs] διάνοια[nafs] αὐτός[rpgmp] καί[c] ἐπί[p] καρδία[nafp] αὐτός[rpgmp] ἐπιγράφω[vifa1s] αὐτός[rpamp] καί[c] εἰμί[vifx1s] αὐτός[rpdmp] εἰς[p] θεός[nams] καί[c] αὐτός[rpnmp] εἰμί[vifx3p] ἐγώ[rpd-s] εἰς[p] λαός[nams]. **v.11** καί[c] οὐ[xo] μή[xo] διδάσκω[vsaa3p] ἕκαστος[anmsn] ὁ[dams] πλησίον[bo] αὐτός[rpgms] καί[c] ἕκαστος[anmsn] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] λέγω[vppanms] γινώσκω[vdaa2s] ὁ[dams] κύριος[nams] ὅτι[c] πᾶς[anmpn] οἶδα[vifa3p] ἐγώ[rpa-s] ἀπό[p] μικρός[agmsn] αὐτός[rpgmp] ἕως[c] μέγας[agmsn] αὐτός[rpgmp]. **v.12** ὅτι[c] ἵλεως[anmsa] εἰμί[vifx1s] ὁ[ddfp] ἀδικία[ndfp] αὐτός[rpgmp] καί[c] ὁ[dgfp] ἁμαρτία[ngfp] αὐτός[rpgmp] καί[c] ὁ[dgfp] ἀνομία[ngfp] αὐτός[rpgmp] οὐ[xo] μή[xo] μιμνῄσκομαι[vsap1s] ἔτι[bo]. **v.13** ἐν[p] ὁ[ddms] λέγω[vnpa] καινός[aafsn] παλαιόω[vixa3s] ὁ[dafs] πρῶτος[aafsn] ὁ[dnns] δέ[c] παλαιόω[vpppnns] καί[c] γηράσκω[vppanns] ἐγγύς[bo] ἀφανισμός[ngms]. **9. v.1** ἔχω[viia3s] μέν[xo] οὖν[c] καί[c] ὁ[dnfs] πρῶτος[anfsn] σκηνή[nnfs] δικαίωμα[nanp] λατρεία[ngfs] ὁ[dnns] τέ[xo] ἅγιος[annsn] κοσμικός[aansn].

ἁγία, μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἅ- 3
για ἁγίων. χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς 4
διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ ἐν ᾗ στάμνος
χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα
καὶ αἱ πλάκες τῆς διαθήκης. ὑπεράνω δὲ αὐτῆς χερουβιμ δό- 5
ξης κατασκιάζοντα τὸ ἱλαστήριον, περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν
κατὰ μέρος. Τούτων δὲ οὕτως κατεσκευασμένων εἰς μὲν τὴν 6
πρώτην σκηνὴν διαπαντός εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπι-
τελοῦντες. εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ 7
ἀρχιερεύς οὐ χωρὶς αἵματος ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν
τοῦ λαοῦ ἀγνοημάτων. τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ 8
ἁγίου μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν ἔτι τῆς πρώτης
σκηνῆς ἐχούσης στάσιν. ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν 9
ἐνεστηκότα καθ ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται μὴ δυνά-
μεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα. μόνον ἐπὶ 10
βρώμασιν καὶ πόμασιν καὶ διαφόροις βαπτισμοῖς καὶ δικαιώ-
μασιν σαρκὸς μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. Χριστὸς 11
δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς
μείζονος καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου τοῦτ᾽ἔστιν,
οὐ ταύτης τῆς κτίσεως. οὐδὲ δι᾽ αἵματος τράγων καὶ μόσχων 12
διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια αἰω-

---

v.2 σκηνή^{nnfs} γάρ^{c} κατασκευάζω^{viap3s} ὁ^{dnfs} πρῶτος^{anfsn} ἐν^{p} ὅς^{rrdfs} ὁ^{dnfs} τέ^{xo} λυχνία^{nnfs} καί^{c} ὁ^{dnfs} τράπεζα^{nnfs} καί^{c} ὁ^{dnfs} πρόθεσις^{nnfs} ὁ^{dgmp} ἄρτος^{ngmp} ὅστις^{rrnfs} λέγω^{vipp3s} ἅγιος^{anfsn}. **v.3** μετά^{p} δέ^{c} ὁ^{dans} δεύτερος^{aansn} καταπέτασμα^{nans} σκηνή^{nnfs} ὁ^{dnfs} λέγω^{vpppnfs} ἅγιος^{anfsn} ἅγιος^{agnpn}. **v.4** χρυσοῦς^{aansn} ἔχω^{vppanfs} θυμιατήριον^{nans} καί^{c} ὁ^{dafs} κιβωτός^{nafs} ὁ^{dgfs} διαθήκη^{ngfs} περικαλύπτω^{vpxpafs} πάντοθεν^{bo} χρυσίον^{ndns} ἐν^{p} ὅς^{rrdfs} στάμνος^{anmsn} χρυσοῦς^{anfsn} ἔχω^{vppanfs} ὁ^{dans} μάνναth καί^{c} ὁ^{dnfs} ῥάβδος^{nnfs} Ἀαρών^{tp} ὁ^{dnfs} βλαστάνω^{vpaanfs} καί^{c} ὁ^{dnfp} πλάξ^{nnfp} ὁ^{dgfs} διαθήκη^{ngfs}. **v.5** ὑπεράνω^{bo} δέ^{c} αὐτός^{rpgfs} Χερούβ^{tp} δόξα^{ngfs} κατασκιάζω^{vppannp} ὁ^{dans} ἱλαστήριος^{nans} περί^{p} ὅς^{rrgnp} οὐ^{xo} εἰμί^{vipx3s} νῦν^{bo} λέγω^{vnpa} κατά^{p} μέρος^{nans}. **v.6** οὗτος^{rdgmp} δέ^{c} οὕτω^{bo} κατασκευάζω^{vpxpgmp} εἰς^{p} μέν^{xo} ὁ^{dafs} πρῶτος^{aafsn} σκηνή^{nafs} διά&πᾶς^{bo} εἴσειμι^{vipx3p} ὁ^{dnmp} ἱερεύς^{nnmp} ὁ^{dafp} λατρεία^{nafp} ἐπιτελέω^{vppanmp}. **v.7** εἰς^{p} δέ^{c} ὁ^{dafs} δεύτερος^{aafsn} ἅπαξ^{bo} ὁ^{dgms} ἐνιαυτός^{ngms} μόνος^{anmsn} ὁ^{dnms} ἀρχιερεύς^{nnms} οὐ^{xo} χωρίς^{bo} αἷμα^{ngns} ὅς^{rrans} προσφέρω^{vipa3s} ὑπέρ^{p} ἑαυτοῦ^{rxgms} καί^{c} ὁ^{dgnp} ὁ^{dgms} λαός^{ngms} ἀγνόημα^{ngnp}. **v.8** οὗτος^{rdans} δηλόω^{vppagns} ὁ^{dgns} πνεῦμα^{ngns} ὁ^{dgns} ἅγιος^{agnsn} μήπω^{bo} φανερόω^{vnxp} ὁ^{dafs} ὁ^{dgnp} ἅγιος^{agnpn} ὁδός^{nafs} ἔτι^{bo} ὁ^{dgfs} πρῶτος^{agfsn} σκηνή^{ngfs} ἔχω^{vppagfs} στάσις^{nafs}. **v.9** ὅστις^{rrnfs} παραβολή^{nnfs} εἰς^{p} ὁ^{dams} καιρός^{nams} ὁ^{dams} ἐνίστημι^{vpxaams} κατά^{p} ὅς^{rrams} δῶρον^{nnnp} τέ^{xo} καί^{c} θυσία^{nnfp} προσφέρω^{vipp3p} μή^{xo} δύναμαι^{vppnnfp} κατά^{p} συνείδησις^{nafs} τελειόω^{vnaa} ὁ^{dams} λατρεύω^{vppaams}. **v.10** μόνος^{bo} ἐπί^{p} βρῶμα^{ndnp} καί^{c} πόμα^{ndnp} καί^{c} διάφορος^{admpn} βαπτισμός^{ndmp} καί^{c} δικαίωμα^{ndnp} σάρξ^{ngfs} μέχρι^{bo} καιρός^{ngms} διόρθωσις^{ngfs} ἐπίκειμαι^{vppnnnp}. **v.11** Χριστός^{nnms} δέ^{c} παραγίνομαι^{vpadnms} ἀρχιερεύς^{nnms} ὁ^{dgnp} μέλλω^{vppagnp} ἀγαθός^{agnpn} διά^{p} ὁ^{dgfs} μέγας^{agfsc} καί^{c} τέλειος^{agfsc} σκηνή^{ngfs} οὐ^{xo} χειροποίητος^{agfsn} εἰμί^{rdnns} οὐ^{xo} οὗτος^{rdgfs} ὁ^{dgfs} κτίσις^{ngfs}.

13 νίαν λύτρωσιν εὑράμενος. εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων
καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει
14 πρὸς τὴν τῆς σαρκὸς καθαρότητα. πόσῳ μᾶλλον τὸ αἷμα τοῦ
Χριστοῦ ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμω-
μον τῷ θεῷ καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων
15 εἰς τὸ λατρεύειν θεῷ ζῶντι. Καὶ διὰ τοῦτο διαθήκης καινῆς
μεσίτης ἐστίν ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν
ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων τὴν ἐπαγγελίαν λάβωσιν
16 οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας. ὅπου γὰρ διαθήκη
17 θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου, διαθήκη γὰρ ἐπὶ
18 νεκροῖς βεβαία ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος. ὅ-
19 θεν οὐδ᾽ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται, λαληθείσης
γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ
λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων μετὰ ὕδατος καὶ ἐρίου
κοκκίνου καὶ ὑσσώπου αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν
20 ἐρράντισεν. λέγων Τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς ἐνετείλατο
21 πρὸς ὑμᾶς ὁ θεός. καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη
22 τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐρράντισεν. καὶ σχεδὸν ἐν
αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον καὶ χωρὶς αἱματεκχυ-
23 σίας οὐ γίνεται ἄφεσις. Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν
ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι αὐτὰ δὲ τὰ ἐπουράνια

---

v.12 οὐδέ[bo] διά[p] αἷμα[ngns] τράγος[ngmp] καί[c] μόσχος[ngmp] διά[p] δέ[c] ὁ[dgns] ἴδιος[agmsn] αἷμα[ngns] εἰσέρχομαι[viaa3s] ἐφάπαξ[bo] εἰς[p] ὁ[danp] ἅγιος[aanpn] αἰώνιος[aafsn] λύτρωσις[nafs] εὑρίσκω[vpamnms]. **v.13** εἰ[qo] γάρ[c] ὁ[dnns] αἷμα[nnns] ταῦρος[ngpm] καί[c] τράγος[ngmp] καί[c] σποδός[nnfs] δάμαλις[ngfs] ῥαντίζω[vppanfs] ὁ[damp] κοινόω[vpxpamp] ἁγιάζω[vipa3s] πρός[p] ὁ[dafs] ὁ[dgfs] σάρξ[ngfs] καθαρότης[nafs]. **v.14** πόσος[rodns] μᾶλλον[bo] ὁ[dnns] αἷμα[nnns] ὁ[dgms] Χριστός[ngms] ὅς[rrnms] διά[p] πνεῦμα[ngns] αἰώνιος[agnsn] ἑαυτοῦ[rxams] προσφέρω[viaa3s] ἄμωμος[aamsn] ὁ[ddms] θεός[ndms] καθαρίζω[vifa3s] ὁ[dafs] συνείδησις[nafs] σύ[rpg-p] ἀπό[p] νεκρός[agnpn] ἔργον[ngnp] εἰς[p] ὁ[dans] λατρεύω[vnpa] θεός[ndms] ζάω[vppadms]. **v.15** καί[c] διά[p] οὗτος[rdans] διαθήκη[ngfs] καινός[agfsn] μεσίτης[nnms] εἰμί[vipx3s] ὅπως[bo] θάνατος[ngms] γίνομαι[vpadgms] εἰς[p] ἀπολύτρωσις[nafs] ὁ[dgfp] ἐπί[p] ὁ[ddfs] πρῶτος[adfsn] διαθήκη[ndfs] παράβασις[ngfp] ὁ[dafs] ἐπαγγελία[nafs] λαμβάνω[vsaa3p] ὁ[dnmp] καλέω[vpxpnmp] ὁ[dgfs] αἰώνιος[agfsn] κληρονομία[ngfs]. **v.16** ὅπου[bo] γάρ[c] διαθήκη[nnfs] θάνατος[nams] ἀνάγκη[nnfs] φέρω[vnpp] ὁ[dgms] διατίθημι[vpamgms]. **v.17** διαθήκη[nnfs] γάρ[c] ἐπί[p] νεκρός[admpn] βέβαιος[anfsn] ἐπεί[c] μήποτε[bo] ἰσχύω[vipa3s] ὅτε[bo] ζάω[vipa3s] ὁ[dnms] διατίθημι[vpamnms]. **v.18** ὅθεν[bo] οὐδέ[bo] ὁ[dnfs] πρῶτος[anfsn] χωρίς[bo] αἷμα[ngns] ἐγκαινίζω[vixp3s]. **v.19** λαλέω[vpapgfs] γάρ[c] πᾶς[agfsn] ἐντολή[ngfs] κατά[p] νόμος[nams] ὑπό[p] Μωϋσῆς[ngms] πᾶς[admsn] ὁ[ddms] λαός[ndms] λαμβάνω[vpaanms] ὁ[dans] αἷμα[nans] ὁ[dgmp] μόσχος[ngmp] καί[c] τράγος[ngmp] μετά[p] ὕδωρ[ngns] καί[c] ἔριον[ngns] κόκκινος[agnsn] καί[c] ὕσσωπος[ngms] αὐτός[rpans] τέ[xo] ὁ[dans] βιβλίον[nans] καί[c] πᾶς[aamsn] ὁ[dams] λαός[nams] ῥαντίζω[viaa3s]. **v.20** λέγω[vppanms] οὗτος[rdnns] ὁ[dnns] αἷμα[nnns] ὁ[dgfs] διαθήκη[ngfs] ὅς[rrgfs] ἐντέλλομαι[viad3s] πρός[p] σύ[rpa-p] ὁ[dnms] θεός[nnms]. **v.21** καί[c] ὁ[dafs] σκηνή[nafs] δέ[c] καί[c] πᾶς[aanpn] ὁ[danp] σκεῦος[nanp] ὁ[dgfs] λειτουργία[ngfs] ὁ[ddns] αἷμα[ndns] ὁμοίως[bo] ῥαντίζω[viaa3s]. **v.22** καί[c] σχεδόν[bo] ἐν[p] αἷμα[ndns] πᾶς[annpn] καθαρίζω[vipp3s] κατά[p] ὁ[dams] νόμος[nams] καί[c] χωρίς[bo] αἱματεκχυσία[ngfs] οὐ[xo] γίνομαι[vipn3s] ἄφεσις[nnfs].

κρείττοσιν θυσίαις παρὰ ταύτας. οὐ γὰρ εἰς χειροποίητα ἅγια 24
εἰσῆλθεν ὁ Χριστός ἀντίτυπα τῶν ἀληθινῶν ἀλλ εἰς αὐτὸν τὸν
οὐρανόν νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν,
οὐδ ἵνα πολλάκις προσφέρῃ ἑαυτόν ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρ- 25
χεται εἰς τὰ ἅγια κατ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. ἐπεὶ ἔδει 26
αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου, νυ˜ν δὲ ἅπαξ
ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας
αὐτοῦ πεφανέρωται. καὶ καθ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις 27
ἅπαξ ἀποθανεῖν μετὰ δὲ τοῦτο κρίσις. οὕτως ὁ Χριστός ἅπαξ 28
προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας ἐκ δευτέρου
χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σω-
τηρίαν.

Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν οὐκ αὐτὴν **10**
τὴν εἰκόνα τῶν πραγμάτων κατ ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς
προσφέρουσιν εἰς τὸ διηνεκὲς οὐδέποτε δύναται τοὺς προσερ-
χομένους τελειῶσαι, ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι 2
διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύον-
τας ἅπαξ κεκαθαρμένους. ἀλλ ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν 3
κατ ἐνιαυτόν, ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν 4
ἁμαρτίας. Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει Θυσίαν καὶ 5
προσφορὰν οὐκ ἠθέλησας σῶμα δὲ κατηρτίσω μοι, ὁλοκαυτώ- 6

---

v.23 ἀνάγκη[nnfs] οὖν[c] ὁ[danp] μέν[xo] ὑπόδειγμα[nanp] ὁ[dgnp] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] οὗτος[rddnp] καθαρίζω[vnpp] αὐτός[rpanp] δέ[c] ὁ[danp] ἐπουράνιος[aanpn] κρείττων[adfpn] θυσία[ndfp] παρά[p] οὗτος[rdafp]. **v.24** οὐ[xo] γάρ[c] εἰς[p] χειροποίητος[aanpn] ἅγιος[aanpn] εἰσέρχομαι[viaa3s] ὁ[dnms] Χριστός[nnms] ἀντίτυπος[aanpn] ὁ[dgnp] ἀληθινός[agnpn] ἀλλά[c] εἰς[p] αὐτός[rpams] ὁ[dams] οὐρανός[nams] νῦν[bo] ἐμφανίζω[vnap] ὁ[ddns] πρόσωπον[ndns] ὁ[dgms] θεός[ngms] ὑπέρ[p] ἐγώ[rpg-p]. **v.25** οὐδέ[bo] ἵνα[c] πολλάκις[bo] προσφέρω[vspa3s] ἑαυτοῦ[rxams] ὥσπερ[bo] ὁ[dnms] ἀρχιερεύς[nnms] εἰσέρχομαι[vipn3s] εἰς[p] ὁ[danp] ἅγιος[aanpn] κατά[p] ἐνιαυτός[nams] ἐν[p] αἷμα[ndns] ἀλλότριος[adnsn]. **v.26** ἐπεί[c] δεῖ[viiq3s] αὐτός[rpams] πολλάκις[bo] πάσχω[vnaa] ἀπό[p] καταβολή[ngfs] κόσμος[ngms] νῦν[bo] δέ[c] ἅπαξ[bo] ἐπί[p] συντέλεια[ndfs] ὁ[dgmp] αἰών[ngmp] εἰς[p] ἀθέτησις[nafs] ἁμαρτία[ngfs] διά[p] ὁ[dgfs] θυσία[ngfs] αὐτός[rpgms] φανερόω[vixp3s]. **v.27** καί[c] κατά[p] ὅσος[rcans] ἀπόκειμαι[vipn3s] ὁ[ddmp] ἄνθρωπος[ndmp] ἅπαξ[bo] ἀποθνῄσκω[vnaa] μετά[p] δέ[c] οὗτος[rdans] κρίσις[nnfs]. **v.28** οὕτω[bo] ὁ[dnms] Χριστός[nnms] ἅπαξ[bo] προσφέρω[vpapnms] εἰς[p] ὁ[dans] πολύς[agmpn] ἀναφέρω[vnaa] ἁμαρτία[nafp] ἐκ[p] δεύτερος[agnsn] χωρίς[bo] ἁμαρτία[ngfs] ὁράω[vifp3s] ὁ[ddmp] αὐτός[rpams] ἀπεκδέχομαι[vppndmp] εἰς[p] σωτηρία[nafs]. **10.** **v.1** σκιά[nafs] γάρ[c] ἔχω[vppanms] ὁ[dnms] νόμος[nnms] ὁ[dgnp] μέλλω[vppagnp] ἀγαθός[agnpn] οὐ[xo] αὐτός[rpafs] ὁ[dafs] εἰκών[nafs] ὁ[dgnp] πρᾶγμα[ngnp] κατά[p] ἐνιαυτός[nams] ὁ[ddfp] αὐτός[rpdfp] θυσία[ndfp] ὅς[rrafp] προσφέρω[vipa3p] εἰς[p] ὁ[dans] διηνεκής[aansn] οὐδέποτε[bo] δύναμαι[vipn3s] ὁ[damp] προσέρχομαι[vppnamp] τελειόω[vnaa]. **v.2** ἐπεί[c] οὐ[xo] ἄν[xo] παύω[viam3p] προσφέρω[vpppnfp] διά[p] ὁ[dans] μηδείς[aafsn] ἔχω[vnpa] ἔτι[bo] συνείδησις[nafs] ἁμαρτία[ngfp] ὁ[damp] λατρεύω[vppaamp] ἅπαξ[bo] καθαίρω[vpxpamp]. **v.3** ἀλλά[c] ἐν[p] αὐτός[rpdfp] ἀνάμνησις[nnfs] ἁμαρτία[ngfp] κατά[p] ἐνιαυτός[nams]. **v.4** ἀδύνατος[annsn] γάρ[c] αἷμα[nnns] ταῦρος[ngpm] καί[c] τράγος[ngmp] ἀφαιρέω[vnpa] ἁμαρτία[nafp]. **v.5** διό[c] εἰσέρχομαι[vppnnms] εἰς[p] ὁ[dams] κόσμος[nams] λέγω[vipa3s] θυσία[nafs] καί[c] προσφορά[nafs] οὐ[xo] θέλω[viaa2s] σῶμα[nans] δέ[c] καταρτίζω[viam2s] ἐγώ[rpd-s].

7 ματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας. τότε εἶπον Ἰδοὺ ἥκω
ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ τοῦ ποιῆσαι ὁ θεός τὸ
8 θέλημά σου. ἀνώτερον λέγων ὅτι θυσίαν καὶ προσφορὰν καὶ
ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας οὐδὲ εὐδόκη-
9 σας αἵτινες κατὰ τόν νόμον προσφέρονται. τότε εἴρηκεν Ἰδοὺ
ἥκω τοῦ ποιῆσαι ὁ Θεός, τὸ θέλημά σου ἀναιρεῖ τὸ πρῶτον ἵνα
10 τὸ δεύτερον στήσῃ. ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν οἱ διὰ τῆς
11 προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ἐφάπαξ. Καὶ πᾶς
μὲν ἱερεὺς ἕστηκεν καθ ἡμέραν λειτουργῶν καὶ τὰς αὐτὰς πολ-
λάκις προσφέρων θυσίας αἵτινες οὐδέποτε δύνανται περιελεῖν
12 ἁμαρτίας. αὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν
13 εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ. τὸ λοιπὸν ἐκ-
δεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν
14 αὐτοῦ. μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς
15 ἁγιαζομένους. Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον, με-
16 τὰ γὰρ τὸ προειρηκέναι, Αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς
αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας λέγει κύριος, διδοὺς νόμους
μου ἐπὶ καρδίας αὐτῶν καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω
17 αὐτούς. καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ
18 μνησθῶ ἔτι. ὅπου δὲ ἄφεσις τούτων οὐκέτι προσφορὰ περὶ ἁ-
19 μαρτίας. Ἔχοντες οὖν ἀδελφοί παρρησίαν εἰς τὴν εἴσοδον τῶν

---

